


3 vols

£10.15.0

SCRIPTORES EROTICI GRAECI. Scriptores erotici Graeci . . . adiecit Christ. Guil. Mitscherlich.

3 vols., 8vo., *contemporary calf, gilt panelled backs and frame sides.* *Deux-ponts,* 1792-94

Contents :—Vol. 1, Achilles Tatius ; Vol. 2, Heliodorus ; Vol. 3, Longus et Xenophontis Ephesiacorum.

4- '59

wage P.E 4/2

SCRIPTORES EROTICI

GRAECI

VOLUMEN PRIMUM

ACHILLEM TATIUM

CONTINENS

SCRIPTORES EROTICI
GRAECI

VOLUMEN PRIMUM
ACHILLEM TATIUM
CONTINENS.

ΑΧΙΛΛΕΩΣ ΤΑΤΙΟΥ

ΑΛΕΞΑΝΔΡΕΩΣ

ΕΡΩΤΙΚΩΝ

ΒΙΒΛΙΑ Η

ACHILLIS TATII

ALEXANDRINI

DE

CLITOPHONTIS ET LEUCIPPES

AMORIBUS

LIBRI VIII

GRAECE ET LATINE

TEXTUM RECOGNOVIT, SELECTAMQUE LECTIONIS VARIETATEM ADIECIT

CHRIST. GUIL. MITSCHERLICH

PROFESSOR GOTTINGENSIS

BIPONTI

EX TYPOGRAPHIA SOCIETATIS

CIƆIƆCCXCII

PRAEFATIO.

Cum Erotici ſcriptores Graeci ab iis fere evolvi ſoleant, qui iam accurata Graecae linguae ſcientia, iudicioque, lectione veterum ſcriptorum ſubacto atque polito praediti hoc ſolum agant, ut, quid ab hac parte ſequioris aevi ſcriptores praeſtiterint, qua arte antiquiores imitando expreſſerint, vel quomodo, a recto tramite devii, ſeculi ſui ſordes prodiderint, atque immiſcuerint, omninoque orationis, ſententiarum, compoſitioniſque rationem cognoſcant; hoc ſibi muneris unice impoſitum exiſtimabit is, qui ad edendos eos animum adiicit, ut textum, quem vocant, quoad eius fieri poſſit, emendate expreſſum exhibeat, qui adeo abſque ulla gravi offenſione tractari atque perlegi poſſit. Primum igitur, cum hanc ſpartam ſuſciperem, idque unicum datum mihi negotium credidi, ut contextum librariorum hallucinationibus typothetarum-

que vitiis, quibus priores editiones ſcatent innumeris, purgatum exhiberem, probiſque vel Codd. lectionibus, quas ab interpretibus allatas reperiſſem, vel adeo virorum doctorum coniecturis, quae firmo ſatis talo incedere viderentur, locum in eo facerem. Quo tamen in genere, ut temeritatis crimen effugerem, emendatioris lectionis fontem in notis diligenter appoſui. In quibus omnino ſecutus ſum hoc, ut virorum doctorum rationes, quibus novam ſeu potius antiquam Achilli lectionem afferent, cum ipſorum fere verbis afferrem, meumque qualecunque iudicium interponerem. Raro meas in contextum admiſi emendationes, meamque potius collocandam operam ſtatui in hoc, ut orationem, nova interpunctione facta, melius conſtituerem, atque expedirem, quam ab hac inprimis parte laborare viderem. Superſunt tamen nonnulla loca, quae vel a Codicibus melioris notae, vel a viris doctis, qui in hoc ſcriptore periculum criticum facere volent, adhuc medicinam exſpectant; in quorum maxime gratiam Cruceii verſionem, e bono Codice factam, quae adeo indagandae verae lectioni viam aperire poſſit, adiici curavi. Denique, quo rectius lectores de totius operis ſumma, artificio, atque compoſitione iudicare poſſint, argumentum huius fabulae e Bibliothecae Criticae Amſtel. T. I, Parte II, p. 44, delibatum in ipſa libri fronte apponi iuſſi. Ex eadem Bibliotheca obſervationes quaſdam, quae noſtro ſcriptori

novam passim lucem affundunt, cum suo loco omiserim, hic apponere non gravabor:

Lib. I, cap. 6. Τῇ γαστρὶ μετρήσαντες τὴν ἡδονὴν, est dictio Demosthenica ex Or. p. Corona p. 324, τῇ γαστρὶ μετροῦντες, καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν· quod multi imitando expresserunt; v. c. Cicero Nat. Deor. I, 40, *quae ad beatam vitam pertineant, ventre metiri.* Plutarch. T. II, p. 97. D. Herodian. Hist. I, 6, 2: ὅσοι τε κόλακες τραπέζης, καὶ τὸ εὔδαιμον γαστρὶ καὶ τοῖς αἰσχίστοις μετροῦσιν. Theodoret. de Provid. IX, p. 214.

Ibid. cap. 9. Τὸ σύνηθες τῆς κοινωνίας εἰς χάριν αἰδεσιμώτερον. Sunt Cliniae verba consolantis Clitophontem impatienter amantem. Χάριν pro venero amplexu accipiendum esse, res ipsa suadet, & ita exquisite loquuntur. Sed quid sibi vult, *consuetudo quotidiana maiorem venerationem ad complexum venereum habet?* Vitium est in αἰδεσιμώτερον, in quo licet Eclogae Maximi & Antonii consentiant, ubi hic locus exstat p. 566, tamen corrigendum ἀνυσιμώτερον, i. e. vim habet ad conciliandam venerem. Eleganter haec vox dicitur de persuadendo. Plutarch. T. II, p. 442. C. ἀγωγαῖς, τὸ πειθήνιον ἁπάσης ἀνάγκης καὶ βίας ἐχούσαις ἀνυσιμώτερον. Lucianus T. III, pag. 145: ἀνυσιμώτατον — εἶδος διαβολῆς, calumnia, cui facile creditur. Aristaen. I, 15: οὐδὲν — πιθανώτερον πέφυκεν, οὐδ' ἀνυσιμώτερον Ἀφροδίτης.

Lib. II, cap. 31, in capienda fuga dicitur, ὄχημα δὲ εὐπρεπὲς ἡμᾶς πρὸ τῶν πυλῶν ἐξεδέχετο. Cui autem bono *pulcher currus* erat? Lege εὐτρεπὲς, paratus.

Ibid. cap. 35, cum Menelaus dixisset inter alia de puerorum amore, καὶ τὸ κάλλος αὐτοῖς (παισὶ) δριμύτερον εἰς ἡδονήν· reprehendit eum Clitophon his verbis: ποῖ δριμύτερον — ὅτι παρακύψαν μόνον οἴχεται. Reponendum vero ὅγε pro ὅτι.

Lib. VI, cap. 20, de Therſandro dicitur, ἀτυχήσας δὲ, ὧν ἤλπισεν, ἀφῆκεν τῷ θυμῷ τὰς ἡδονάς. Interpres in ſuo Codice videtur habuiſſe τοῦ θυμοῦ, cum vertit: *conceptarum animo voluptatum oblitus.* Vulgatam lectionem quis ita interpretari poſſit, *conceſſit voluptates irae:* at nos quidem pro ἡδονὰς corrigimus ἡνίας. Eadem forma p. 270 de Therſandro dictum erat.

Ibid. cap. 21, in verbis Leucippes ad Therſandrum: οὐδὲ τὴν Ἄρτεμιν, εἰπέ μοι, τὴν σὴν φοβῇ; ἀλλὰ βιάζῃ παρθένον ἐν πόλει παρθένου; pro εἰπέ μοι, corrigendum videtur ἐπ' ἐμοὶ, *mea cauſa.*

Lib. VIII, cap. 8, Therſander vocat Clitophontem ἐν ἀνδρὸς χώρᾳ τὴν οἰκίαν τὴν ἐμὴν, οὐκ ἐν μοιχοῦ μόνον καθεστηκότα. Levi mutatione legendum κατεσχηκότα.

NOTITIA LITERARIA
DE
ACHILLE TATIO

ex Io. Alb. Fabricii Bibliotheca Graeca, Lib. V, cap. 6.

Achilles Tatius (velut Tatii libertus, vel filius, ut Salmasio [1] placet) apud Suidam [2] Στάτιος, Alexandrinus, Ethnicus primum, post Christianus, ac, si eidem Suidae credimus, Epi-

1 Immo Tatii libertum fuisse hunc Achillem censebat Salmas. in notis ad I, 1. Contra Tatii filium habebat Casaub. ad Athen. Animadv. II, cap. 15, p. 113.

2 Voc. Ἀχιλλεύς· Ἀχιλλεὺς Στάτιος, Ἀλεξανδρεὺς, ὁ γράψας τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα, καὶ ἄλλα ἐρωτικὰ, ἐν βιβλίοις η΄. γέγονεν ἔσχατον Χριστιανὸς καὶ ἐπίσκοπος. ἔγραψε δὲ καὶ περὶ σφαίρας, καὶ ἐτυμολογίας, καὶ ἱστορίαν σύμμικτον, πολλῶν καὶ μεγάλων, καὶ θαυμασίων ἀνδρῶν μνημονεύουσαν. Ὁ δὲ λόγος αὐτοῦ κατὰ πάντα ὅμοιος τοῖς ἐρωτικοῖς. Rhetorem eum vocat Thomas Mag. v. ἀναβαίνω· Ἀχιλλεὺς ὁ ῥήτωρ ἐν Λευκίππῃ. Eundem, ethnicum adhuc, hanc de Clitophontis & Leucippes amoribus composuisse fabulam contendit cum Salmasio postremus eius editor, Boden. Insunt tamen nonnulla, quae hanc opinionem elevent, & Christianum satis diserte prodant. Quo pertinere arbitror voc. οὐρανοῦ in plurali numero adhibitum, & alia, quae lector paulo attentior facile animadvertet.

ſcopus, incertae admodum aetatis [1], praeter librum περὶ σφαίρας [2], cuius pars hodieque exſtat ſub titulo *Iſagoges in Phaenomena Arati*, ſcripſit etiam libros VIII Ἐρωτικῶν τῶν περὶ Λευκίππην καὶ Κλειτοφῶντα, ſive *de Amoribus Clitophontis & Leucippes*. Laudatur a Photio Codice LXXXVII & XCV & CLXVI; Mich. Pſello apud Allatium cap. 4 de patria Homeri p. 1753; & a Iohanne Phoca in Allatii συμμίκτοις p. 10, cui dicitur ὁ τὴν Λευκίππην γράψας. Exſtat & MS. in Bibl. Io. Mori Elienſis Epiſcopi n. 219. Photii (vel Leonis Philoſophi potius) iambos decem [3] in hos Tatii libros ex inedita Epigrammatum Graecorum Anthologia Salmaſius ſuae Tatii editioni praefixit.

Latine primum lucem viderunt *Annibale Cruceio*, Mediolanenſi, interprete, Baſil. 1554, 8. Deinde Graece e Codice Palatino vulgavit, Cruceiique translationem adiunxit *Io. Commelinus* [4],

1 Seculo tertio vel quarto, certe poſt Muſaeum vixiſſe videtur, cuius poërae dictionem haud raro preſſe admodum ſecutus eſt, notante iam Schradero ad Muſaeum.

2 De quo vide Fabric. L. III, cap. 5, §. 23.

3 Hoc carmen in Anthol. Reisk. p. 126, ita, adhibita medela, legitur:

Ἔρωτα πικρὸν, ἀλλὰ σώφρονα βίον,
Ὁ Κλειτοφῶντος μὲν παρεμφαίνει λόγος,
Ὁ Λευκίππης δὲ σωφρονέστερος βίος
Ἅπαντας ἐξίστησι, πῶς τετυμμένη,
Κεκαρμένη τε, καὶ κατηχρειωμένη,
Τὸ δὴ μέγιστον, τρὶς θανοῦσ' ἐκαρτέρει.
Εἴπερ δὴ καὶ σὺ σωφρονεῖν θέλεις, φίλος,
Μὴ τὴν πάρεργον τῆς γραφῆς σκόπει θέαν,
Τὴν τοῦ λόγου δὲ πρὸς τὶ συνδρομὴν μάθε,
Νυμφοστολεῖ γὰρ τοὺς ποθοῦντας ἐμφρόνως.

4 Commelino, antequam opus finiretur, mortuo, ad finem perduxere illud *Iudas & Nicolaus Bonnvitii* nepotes ex ſorore. Lacunas habet haud paucas, & in extremo libro p. 210 & 211 duae fere paginae deſiderantur.

Heidelbergae a. 1601, 8. Emendatiorem ab eo tempore editionem debemus *Claudio Salmaſio*, Lugd. Bat. 1640, 12; qui uſus Codice Thuanaeo, & collatione duorum exemplarium bibliothecae Chriſtianiſſimi regis, tum Codice Caſauboni, qui eſt in bibliotheca reg. Angliae, atque comparatione Codicum Romani ac Florentini, tantam in illis varietatem reperit, ut non dubitet, duas olim ἐκδόσεις huius ſcripti ab ipſo Achille prodiiſſe. Idem Salmaſius Graecis a ſe recenſitis adiunxit iam dictam Cruceii (qui male Cruccius apud Voſſium p. 315 de Hiſt. Graecis audit) verſionem, & in calce libri breves notas, in quibus varias lectiones perſequitur, & interpretem ſubinde caſtigat.

Salmaſio ſucceſſit *B. G. L. Boden*, Profeſſor Vitebergenſis, qui Achillem Tatium varietate lectionis, notiſque Salmaſii, Carpzovii, Bergeri ac ſuis illuſtratum prodire iuſſit Lipſiae a. 1776, 8, apud I. Fr. Iunium. Textum fere dedit Salmaſianum, ſuaſque coniecturas, paucas admodum, & ſatis leves, in notis repoſuit, ne forte, ut ipſe ait, obtrudantur auctori, de quibus nunquam ſomniaſſet. Verſatur maxime eius opera in comparandis aliorum Eroticorum ſcriptorum locis ſimilibus, & hactenus non omni laude deſtituta eſt. Carpzovii obſervationes, peculiari antea libro editae [1], neque emendando neque illuſtrando auctori inſerviunt. Quod idem fere valet de Bergeri notulis, in quibus raro acumen criticum deprehendas.

Gothofredus quoque Iungermannus novam-

1 Obſervationum philologicarum in Palaephatum periculum: accedunt aliae animadverſiones in nonnulla Muſaei & Achillis Tatii loca. Lipſiae 1743, 8.

Tatii editionem versionemque molitus fuisse cognoscitur ex literis Gruteri, quae leguntur inter Gudianas p. 210.

Gallice prodiit, Anonymo (Francisco Belleforesto forte, v. A. Verdier Bibl. Gall. p. 5, & Crucimanium p. 9) interprete, Paris. 1568, 1575, 8; & huius sec. a. 1735, sub titulo: *Les Amours de Clitophon & de Leucippe. Traduction libre du Grec d'Achilles Tatius avec des notes, par le Sieur D*** D***. à la Haye, chez Isaac Beauregard,* 1735, 8. Aliam a. 1733 memorat Boden in praef. p. XI, quae Amstelaedami prodierit.

Italice, interprete Coccio, sub titulo: *Achille Tazio Alessandrino dell' Amore di Clitofonte e Leucippe, tradotto di Lingua Greca in Toscana dal Sig.* Francesco Angelo Coccio, *con nuova aggiunta di Sommarii a ogni Libro e una Tavola copiosissima di tutto quello che nell' opere si contiene. In Fiorenza per Filippo Giunti MDIIC,* 8.

Anglice quoque prodierunt Erotica Tatii Oxonii 1638, 8.

Denique Teutonico idiomate Tatium reddidit Seyboldus, V. Cl. Professor Buxovillensis.

ARGUMENTUM
FABULAE.

Hippias Tyrius bis matrimonium inierat: ex priore filium Clitophontem, ex posteriore filiam Calligonen susceperat. Hos liberos cum mutuo inter se matrimonio coniungere vellet, iamque fere in eo esset, ut nuptias eorum celebraret, veniunt Byzantio Tyrum fratris eius Sostrati uxor Panthia, & Leucippe filia. Clitophon, qui hucusque sororem satis amasset, neque ab eius coniugio abhorruisset, repente mutatur Leucippes adspectu: ad hanc toto animo convertitur, a Calligone avertitur. Ignis conceptus quotidie crescit, videndo puellam, colloquendoque cum ea; sed quomodo ea potiretur, non inveniebat, inops quippe consilii & recens in amore. Quod quidem partim edocetur a Clinia consobrino, duobus annis maiore, eodemque amoribus haud inexercitato iuvene; partim adiuvatur Satyri, summae servi astutiae, opera. Habebat autem Leucippe, ut summam formae pulchritudinem, ita ingenium haud superbum atque durum, sed suave, humanum, atque elegans; unde obsequio & amore Clitophontis paulatim vincitur, eumque vicissim amare incipit. Fit etiam, quo liberior Clitophontis animus a destinatis ei Calligones nuptiis esset, ut ea raperetur a Callisthene, Byzantio iuvene. Persuaderi sibi patitur, a Clitophonte, Leucippe, ut eum noctu clam ad se recipiat. Et quamquam in eodem cum matre cubiculo dormiret, quae filiae pudicitiam & ipsa omni cura, & servorum vigiliis, & forum claustris custodiebat, totam tamen istius diligentiam fefellit Satyri astutia, qui eius sibi ancillam Clionem conciliaverat. Intromittitur Clitophon: sed nondum amplexus erat puellam, cum mater, somnii visu exterrita, repente

ad filiae lectum se proripit. Ille vix effugiendi tempus habet, tamen ita evadit, ut a Panthia non cognosceretur. Haec vero ira atque dolore incensa, servos clamare, omnia turbare, quaerere, quis in cubiculo adfuerit, Leucippen increpare, conviciari, Clionem in quaestionem tradere velle, ut cruciatibus ex ea veritatem extorqueat. At Clio commodum fuga se subduxerat, ut Panthia nil certi comperire posset. Leucippe, suspicionum matris criminationumque quotidianarum pertaesa, tandem fugae consilium capit, & cum Clitophonte communicat. Parat omnia Satyrus, eluditur matris custodia, clam domum egrediuntur noctu, currum conscendunt, &, socio Clinia, Berytum perveniunt, ibique navem nacti, quae iam in eo erat, ut ex portu solveret, Alexandriam tendunt. Erat forte in eadem navi Menelaus Aegyptius, liberali adolescens ingenio, & honesto loco natus, quocum eos in convictum amicitiamque conciliat itineris societas. Sed cum per aliquod tempus prospero usi fuissent vento, oritur subito gravissima tempestas, quae navem diu misere agitatam scopulo tandem illidit ac dissolvit. Reliqui omnes undis obruuntur: una prorae pars ea, qua Clitophon solus cum Leucippe consederat, integra manet, & Pelusium appellitur. Ibi, refectis corporibus, navem conducunt, & Alexandriam petunt. Tenebant vero illo tempore pastores regiones inferioris Aegypti palustres, easque latrocinio infestabant. Hi navem intercipiunt, spoliant, Clitophontem ac Leucippen vinciunt, & cum reliquis captivis custodiunt. Quae calamitas quamvis, ut erat, maxima esset, alia tamen velut malorum cumulus accessit. Oraculo monebantur latrones, exercitum lustrare captae virginis sacrificio. Statim accurritur ad Leucippen: abstrahitur reluctans a Clitophonte, nequidquam & ipso reluctante. Interea superveniunt Aegyptiae legiones, emissae a praefecto ad coërcendos delendosque latrones, eosque in fugam vertunt, intra paludes reiiciunt, & cum aliis captivis Clitophontem etiam ex eorum potestate eripiunt. Pastores nil prius habent, quam, ex oraculi iussu, sacri-

ficio defungi. Struitur ara, adducitur a duobus iuvenibus Leucippe, caeditur, & eodem loco terra continuo conditur. Atque haec omnia in conspectu Aegyptii exercitus & Clitophontis peragebantur, qui virgini opem ferre, propter interiectam fossam, non poterant. Clitophon stupefactus & fere enectus spectaculi atrocitate, cum primum ad se rediit & congestam vidit fossam, currit eo, ubi Leucippen caedi viderat, ut se eo ipso loco interficeret. Iamque gladium admoverat iugulo, cum derepente exsistunt Satyrus & Menelaus, qui eum amplexantur & a mortis consilio ad vitam revocant: Leucippen enim vivere: omnia ei exponunt: ut ex naufragio enatarint: ut in pastorum manus inciderint: ut, agnita Leucippe, ab eorum duce sacrificii peragendi provinciam poposcerint & impetraverint: qua eos inspectantes arte eluserint, ut, cum iugulatam putarent virginem, ea tamen viva manserit. Et Leucippen quidem continuo protrahunt ex loculo, quo condita erat, eique reddunt. Hoc tum primum fuit tempus, quo libere solus cum sola esset; itaque veneris tandem fructum percipere vult. Contra dimovet eum puella, dicens, Minervam sibi pridie, quam sacrificanda esset, apparuisse, salutemque promisisse ea conditione, ut virginitatem servaret, donec ab ipsa Dea Clitophonti dicaretur. Haud multo post eam deperit Charmides militum dux, eaque potiri intemperanter cupit. Quem dum differunt Satyrus & Menelaus, Leucippe in furorem incidit ex philtro, quod ei Gorgias miles, ipse quoque eius amore captus, miscuerat. Mox Charmides & Gorgias a pastoribus caeduntur: liberataque erat ab eorum potestate Leucippe, non item a furore. Ingravescebat quotidie mali vis, donec eius originem aperit Chaereas miles, medicumque adducit, qui virginem sanitati restituit. Veniunt Alexandriam, comite Chaerea. Hic quoque eius amore incensus, rapere puellam studet. Invitat eam cum reliquis domum suam, in Pharo insula. Eunt contra Menelai consilium & ominum quoque monita. Neque vanus fuerat metus: nam inter coenandum, velut aliud agens,

primum ſurgit Chaereas, tum irrumpunt latrones, qui Leucippen abripiunt, in navem imponunt, & remis veliſque aufugiunt. Clitophon ab inſulae praefecto auxilium poſtulat, & navem ab eo impetrat armatam, qua latrones perſequatur. Hi cum perſequentium vim velocitatemque effugere non poſſent, iamque teneri ſe viderent, callido ſe conſilio expediunt. In puppis enim tabulata mulierem adducunt in adverſariorum conſpectum, ei caput abſcindunt, truncumque in mare proiiciunt, his verbis ad Clitophontem ſociosque clamantes: *en vobis corpus, de quo pugnaturi eratis!* Clitophon, qui noctis obſcuritate mulierem caeſam oculis cognoſcere non ſatis poterat, Leucippen interfectam eſſe arbitratus, a perſequendo deſiſtit, truncum expiſcatur & in inſula ſepelit; ipſe Alexandriam revertitur. Ibi moerore confectum & rerum omnium taedio laborantem ſuſtinet conſolaturque Menelaus: tempus quoque paulatim maiorem luctus partem demit. Sexto menſe in Cliniam forte incidit. Hunc Sidonii e naufragio ſuſtulerant, ſalvumque Sidona advexerant, ubi a Soſtrato literae ad Hippiam allatae erant, quibus ille filiam Leucippen Clitophonti deſpondebat. Atque hunc tam laetum nuntium ut Clitophonti afferret, Clinias iterum Alexandriam repetierat, ſi forte eum ex naufragio ſervatum ibi invenire poſſet: quibus adiiciebat, patrem quoque Hippiam ipſum propediem adfuturum, ut filium recuperaret. Hoc nuntio animus Clitophontis non tam ad aequitatem revocatur, quam obducta luctui cicatrix refricatur memoria Leucippes. Igitur conſtituit patris ſe adſpectui ſubducere, Alexandriamque relinquere. Dum abitum parat, nuntiant ei Menelaus & Satyrus, Melitten, in cuius notitiam Alexandriae venerat, vehementi eius amore flagrantem ei nubere velle. Erat haec mulier Epheſia, florente aetate, pulchritudine haud vulgari, divitiis affluens, & recens vidua, marito per naufragium amiſſo. Clitophon primum omnem nuptiarum mentionem averſatur: poſtea, paulatim amicorum precibus exoratus, ut fortunae & rebus ſuis conſulat, conditionem accipit: ea

tamen lege, ut ne nuptiae fierent, donec Ephefum perveniffet: neque enim vel in Aegypto, neque mari, ubi Leucippe tot mala perpeffa erat, & mortem quoque obierat, fibi fas effe putabat, Veneri operari. Proficifcuntur Alexandria: falvi Ephefum veniunt. Et primo quidem die in villam Melittes divertuntur, ut interea nuptiae parentur in urbe. Operabatur vero inter fervas in agro mulier recens emta, tonfo capillo, fqualore pannifque obfita, virgis etiam crudeliter lacerata: elucebat tamen quaedam ex facie habituque honeftas. Haec fe ad Melittes genua abiicit, oratque, ut fe, honeftis ingenuifque natam parentibus, in libertatem reftituat, & a Softhenis libidine vindicet. Hic licet ipfe fervus effet, fervorum operumque in villa erat praefectus, mulieremque hanc, nuper a latronibus advectam, formae caufa emerat, pudicitiamque eius, quam blanditiis primum follicitaverat, poftea verberibus expugnare nitebatur. Melitte eam benigne fufcipit, folvi vinculis, &, donec in patriam abiret, liberaliter haberi iubet: Softhenem abigit. Ceterum Clitophon ad mulieris eius adfpectum turbatur, & tacito praefagio percutitur, quod in eius vultu habituque magnam cum Leucippe fimilitudinem deprehendere fibi videbatur. Neque temere: nam erat ipfa Leucippe. Cum domum rediiffet, inter coenandum eum Satyrus feorfim vocat, literas a Leucippe tradit, & totam rem exponit. Clitophon laetitia & fpe exfultat, neque quidquam prius habet, quam confeftim ad Leucippen accurrere. Retinet eum Satyrus: conftituunt, rem a Melittes notitia cohibere, & prima quaque occafione aufugere. Sed, reperta puella, Clitophon multo magis, quam antea, abhorrebat a Melittes amplexu: neque tamen habebat, quomodo mulierem, amore ferventem, & ad Veneris opus impatienter feftinantem, diutius fruftraretur; praefertim cum eius blanditias lacrimafque iam Alexandriae & in itinere una hac confolatus effet fpe, nuptias fe eius accepturum, quamprimum Ephefum perveniffet. Sed hanc eius curam nova calamitas fupervacaneam fecit. Nam Therfander, maritus Melittes, infcia illa, ex nau-

fragio evaserat, & salvus domum redierat. Qui audiens ab obviis, uxorem suam secundas hodie nuptias celebrare, ira percutitur, confestim in aedes irrumpit, turbat, aestuat, Clitophontem multis modis misere verberat, & constrictum servis custodiendum tradit: quibus peractis, domo egreditur, & amicos visere festinat. In hac lucta Clitophon epistolam Leucippes, quam intra tunicam abdiderat, amittit: hanc tollit Melitte, & totam rem cognoscit. Tum ipsa secum tristem suam indignata sortem, omnia experiri statuit, saltem ne frustra secundo viro nupsisse sibi videretur. Intrat igitur in custodiam, solvit eum ex vinculis, memorat suum in eum amorem, miseratur fortunam ipsa suam, quod adulterii infamiam quidem susceperit, voluptatem non perceperit: omnia ei blanditiarum lenocinia admovet, ad lacrimas quoque precesque confugit. Vincitur Clitophon; fitque illud, quod Amor diu voluerat. Illa, peracta re, vestes suas cum eo permutat, & donis liberaliter ornatum, postremum exosculata dimittit. At vix egressus erat foras, seque tandem in tuto arbitrabatur, cum in Thersandrum redeuntem incidit: cognoscitur, comprehenditur, & pro adultero in carcerem publicum abducitur. Neque vero Leucippe in libertatem restituta erat. Sosthenes enim, cognito Heri adventu, sponte in agrum redierat, & Leucippen denuo in potestatem redegerat suam, ut eam dono offerret Thersandro, atque ita magnam ab eo gratiam iniret. Hic simulatque eam vidit, amore exarsit, eamque omnibus modis sollicitare coepit: illa contra, nec vivam se, nec mortuam, alterius quam Clitophontis fore, asseverat. Quare in eam cogitationem incidit, ita se Leucippe potiturum, si Clitophontem interfecisset, & cum Melitta divortium fecisset. Hanc igitur in adulterii iudicium vocat: illum ut clam occidi curaret, carceris praefecto persuadere conatur: postea, huius consilii periculo deterritus, aliam init rationem cum praefecto. Subornant hominem, cui praecipiunt, ut se veluti maleficum in carcerem abduci patiatur, ibique Clitophonti narret, Leucippen interfectam esse. Sperabant enim ita

fore, ut, obiecto isto terrore, Clitophon eo citius, si ei evadendi facultas data esset, ea uteretur, & Ephesum relinqueret. Contra, longe res aliter cecidit, ac putarant. Adducitur in carcerem homo, &, velut aliud agens, praesente tamen Clitophonte, adversam fortunam incusat, quod ipse innocens, loco eius, qui Leucippen interfecisset, in carcerem abreptus sit. Contremiscit ad Leucippes nomen Clitophon, totamque rem sibi ab homine narrari postulat. Narrat ille, Melitten, feminam primariam inter Ephesiacas, iuvenis cuiusdam Tyrii amore captam, per invidiam & aemulationem, eius uxorem Leucippen interficiendam curasse: interfectorem evasisse, se vero, dum iter faceret cum eo, comprehensum esse. Hac fabula peracta, histrio clam ex carcere dimittitur. Clitophon, tanta nuntii acerbitate ab animi statu deiectus, rerumque omnium pertaesus, vitam finire statuit, ita tamen, ut Melitten etiam ulciscatur: nequidquam dissuadente Clinia, qui ad eum consolandum in carcerem venerat. Agitur adulterii iudicium magno apparatu: producitur Clitophon, & ipse adulterum se Melittes esse, eaque conscia Leucippen interfecisse, sponte profitetur. Melitte eiusque patroni inopinato casu perturbantur, neque, quid agant, reperiunt. Accurrit Clinias: dicendi veniam petit: docet, Clitophontem, fractum aegrotumque animo, falsa narrasse, ut mortem oppeteret. Necdum, quid statuant, iudices habent. Thersander enim omni ratione caverat, ne veritas patefieret: Leucippe occulta tenebatur: Sosthenes, quem Melitte ad quaestionem postulabat, effugerat. Itaque poscit a iudicibus Thersander, ut reum, qui se ipse caedis accusasset, ex lege damnatum capitis, morte multarent. Condemnatur Clitophon, &, antequam ultimo supplicio afficitur, tormenta ei adhibentur, ut quaeratur, an Melitte quoque caedis conscia fuerit. Iam denudato stat corpore, rota, ignis, flagra afferuntur; cum subito, ecce, advenit Dianae sacerdos, & inhibere iubet quaestionem. Erat enim illa Ephesiorum lex, ut, cum pompam advexissent peregrini, continuo iustitium indiceretur. Et nunc quidem

Byzantii, oraculi iuſſu, propter victoriam de Thracibus, dona Dianae Epheſiae miſerant, eorumque legatio modo urbem intraverat. Eius forte princeps erat ipſe Soſtratus, qui ad forum veniens cum ſacerdote, ut audiit de Leucippes caede quaeri, agnovitque Clitophontem, ſtatim ira exarſit, neque quidquam propius habuit, quam ut in eum involans ipſe ab eo de filiae caede poenas ſumeret. Retinetur vix tandem a Clinia, &, quid rei ſit, audit. Interea Leucippe e cuſtodia in Dianae templum evaſerat: nam Soſthenes, capta ſubito fuga, fores cuſtodiae claudere oblitus erat. Itaque res denuo in iudicium adducitur, auctore inprimis defenſoreque reorum ſacerdote: cauſa magno apparatu ab accuſatore & reis inſtruitur: patroni omnem utrinque eloquentiae vim expromunt. Aeſtuare indignarique Therſander, quod eriperetur ſibi condemnatus reus, & ſerva, quam optimo iure emtionis poſſideret: in Soſtratum & ſacerdotem contumelioſe invehi. Sacerdos contra accuſatoris crimina diluere, eumque, ad comici Ariſtophanis imitationem, acriter ſimul & feſtive exagitare. Tum Therſander, artes omnes ſuas fruſtra conſumtas, exitumque iudicii in eo poſitum eſſe videns, ut Leucippe intactam ſe virginem, Melitte puram ab adulterio, probaret, ambabus religionis terrorem obiicit. Erat enim in templo Dianae ſacra fiſtula, ex cuius cantu de puellarum virginitate iudicabatur: erat item Stygii fontis lavacrum, quo cognoſcebatur uxorum fides caſtitaſque. Accipit conditionem Leucippe magno cum gaudio: nec Melitte eam detrectat, quod ei a Therſandro hac formula offerebatur, ſi abſente marito rem cum Clitophonte non habuiſſet. Et mulieres quidem ita experimenti religionem ſubierunt, ut innocentiae documentum utraque auferret. Tum vero univerſorum conviciis laceratur Therſander, &, ni fugam cepiſſet, nil erat propius, quam ut lapidibus obrueretur. Soſtratus Leucippen denuo Clitophonti deſpondet: abeunt Byzantium, & inde Tyrum. Ibi Calligonen etiam cum Calliſthene inveniunt. Hic eam, poſtquam rapuiſſet, honeſte habuerat, ac, mutata vitae

ratione, ad frugem redierat, & in bello contra Thraces additus Sostrato collega, egregiam patriae navaverat operam: neque tamen ipse adhuc puellae matrimonio potitus erat. Itaque Hippias & Sostratus eodem die liberorum nuptias celebrant.

Atque ex hac quidem fabulae summa intelligitur, eam argumentum habere satis magnum & varium, neque similitudine veri & consuetudine vitae abhorrens. Similes vero laudes in singularum etiam partium compositione expolitioneque tribuere ei non possumus. Primum ducitur ab exordio parum verisimili: nam totam historiam narrat Clitophon, auctori nunquam antea cognitus, sed casu ad eandem spectandam tabulam, de Europae raptu, delatus; & quidem ita narrat, ut per octo libros nunquam intermittat sermonem. Aliter apud veteres, v. c. Platonem, qui, verisimilitudinis causa, narrationem, praesertim longiorem, interrumpunt, & ad res cum ipsis narrantibus coniunctas divertunt. Similiter Longus exordium duxit a tabula picta: sed longe melius ipse solus consumsit orationem descriptione casuum, quos tabula exhibebat. Deinde illud magnopere desideramus, quod hominum, quorum praecipuae sunt in fabula partes, indoles nec depingatur, nec dictis factisque significetur iis, quae eius indicia prodant, nec forma exprimatur ingenii, animi, ac morum. Quid est in Clitophonte, quod non in aliis plerisque eiusdem loci, aetatis, conditionisque sit iuvenibus? quid in Leucippe, quin idem in omnibus fere liberaliter & ingenue institutis puellis reperiatur? Neque aliorum hominum indoles moresque melius significantur. Contra nimius est in descriptionibus, communi Sophistarum vitio, v. c. regionum, locorum, urbium, tabularum, & inprimis, animi perturbationum, in quibus quidem omnibus exsultat oratorie, & verborum sono fervet. Est omnino utile & inprimis elegans, passionum, quibus animi moventur, fontes rationesque describere, sed ita ut ex ipsis factis & rebus cognoscantur, neque lector subito ad aliam quasi picturam convertatur, sed leniter ipsa serie narratio-

nis ductus, motuum originem, successionem, exitumque cognoscat. Atque in his locis philosophum agit Tatius, sed ita, ut quasi ex Sophistae commentario sententias & rationes afferat. In aliis vero libri partibus multo plus habet diligentiae atque verisimilitudinis, veluti in colloquiis atque orationibus. Sed quod initio iam dixeramus, habet Noster magnam cum Heliodoro convenientiam, & cum aliis, qui vel perierunt, vel adhuc in bibliothecis latent: quosque omnes a Diogenis Antonii imitatione pendere, auctor est Photius Cod. 166. Heliodorus argumento compositioneque ad heroicum carmen vel tragoediam accedit. Omnino si Aethiopica ut poëma spectentur, multa probabuntur, vel certe mitigabuntur legentium sensu, quae in historia, aut simili opere, haudquaquam ferenda sint. Achilles contra manet in quotidianae vitae lege ac consuetudine, & propior est comoediae: & nonnunquam ad hilaritatem & festivitatem remittitur. Sed longum est de hac fabula in utramque partem disputare. Laudes eius praecipuae sunt duae: altera, doctrina varia & iucunda, partim ex philosophia, partim ex aliarum rerum scientia, gentium locorumque petita; altera, stilus elegans, tersus, quamquam, uno alteroque loco, verborum novitate ac sono, compositionisque curiositate laborans.

ΑΧΙΛΛΕΩΣ ΤΑΤΙΟΥ

ΑΛΕΞΑΝΔΡΕΩΣ

ΟΙ ΠΕΡΙ

ΚΛΕΙΤΟΦΩΝΤΑ ΚΑΙ ΛΕΥΚΙΠΠΗΝ

ΛΟΓΟΙ Η

ΑΧΙΛΛΕΩΣ ΤΑΤΙΟΥ

ΑΛΕΞΑΝΔΡΕΩΣ

ΤΩΝ ΠΕΡΙ

ΚΛΕΙΤΟΦΩΝΤΑ ΚΑΙ ΛΕΥΚΙΠΠΗΝ[1]

ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

ΣΙΔΩΝ ἐπὶ θαλάττῃ πόλις, Ἀσσυρίων ἡ θάλασσα, μήτηρ Φοινίκων ἡ πόλις, Θηβαίων ὁ δῆμος πα-

ACHILLIS TATII

ALEXANDRINI

DE

CLITOPHONTIS ET LEUCIPPES

AMORIBUS

LIBER PRIMUS.

SIDON Phoeniciae princeps civitas, Thebanorumque generis origo, in Aſſyrii maris litore poſita eſt. Gemi-

1 Variat inſcriptio. Quidam: περὶ Λευκίππης καὶ Κλειτοφῶντος, quod vulgarius eſt. Suidas: Ἀχιλλεὺς Τάτιος, ὁ γράψας τὰ ΚΑΤΑ Λευκ. καὶ Κλ. quod & Cod. Angl. pro varia lectione ſuperſcriptum eſt. Aeque recte. Longus: τῶν ΚΑΤΑ Δάφνιν καὶ Χλόην. Et Euſtathius: ΚΑΘ' Ἰσμηνίαν καὶ Ἰσμήνην.

τήρ [1]. Δίδυμος λιμὴν ἐν κόλπῳ πλατὺς, ἠρέμα κλείων τὸ πέλαγος. ᾗ γὰρ ὁ κόλπος κατὰ πλευρὰν ἐπὶ δεξιᾷ κοιλαίνεται, στόμα δεύτερον ὀρώρυκται, καὶ τὸ ὕδωρ αὖθις εἰσρεῖ, καὶ γίνεται τοῦ λιμένος ἄλλος λιμὴν, ὡς χειμάζειν μὲν ταύτῃ [2] τὰς ὁλκάδας ἐν γαλήνῃ, θερίζειν δὲ τοῦ λιμένος εἰς τὸ προκόλπιον. Ἐνταῦθα ἥκων ἐκ πολλοῦ χειμῶνος, σῶστρα τε ἔθυον ἐν αὐτῷ [3] τῇ τῶν Φοινίκων· καλοῦσιν αὐτὴν Ἀστάρτην [4] οἱ Σιδώνιοι. Περιϊὼν οὖν καὶ τὴν ἄλλην πόλιν καὶ περισκοπῶν τὰ ἀναθήματα, ὁρῶ γραφὴν ἀνακειμένην γῆς ἅμα καὶ

num ea portum amplo admodum ſinu, verum aditu anguſto, maris aquam ſenſim accipiente, complectitur. Ubi enim dexterum ſinus latus curvatur, aditus illic alter patet: per quem aqua rurſum illabitur: itaque portus portui adiungitur, ut in illo hieme, aeſtate in hoc, tutam naves habeant ſtationem. Eo cum ex alto tempeſtate reiectus fuiſſem, Phoenicum Deae, Sidonii Aſtarten vocant, quae pro recepta ſalute conſueverunt, ſacra feci. Deinceps cum alia civitatis loca perluſtrarem, ac in Deorum templis munera tholis ſuſpenſa contemplarer, tabulam animadverti pictam, terram ac mare, nec non Europae fa-

1 Iſidorus Orig. XV, 1: *Phoenices a rubro mari profecti, Sidonem urbem opulentiſſimam condiderunt . . . Ipſi etiam Tyrum in Syria — ipſi Thebas in Boeotia.* Diſertis etiam verbis Plinius V, c. 19: *Sidon artifex vitri, Thebarumque Boeotiarum parens.*

2 Ὡς χειμάζειν μὲν ταύτῃ) Legebatur in editione Palatina, ἐν ταύτῃ. Et ſic etiam habet Anglicanus Codex. Sed Florentinus & Romanus, ut & Regii, legunt: μὲν ταύτῃ· unde ſuſpiceris, olim fuiſſe: μὲν ἐν ταύτῃ.

3 Ἐν αὐτῷ) Intell. τῷ λιμένι. Nam in ipſis portubus fana Diis exſtructa erant. Nota quoque Venus εὔπλοια· v. ad Horat. C. I, v. 1. At Cod. Bav. cum ed. Commelin. leg. ἐμαυτοῦ, minus bene.

4 Ἀστάρτην) Cicero de Nat. Deorum L. III, c. 23: *Venus prima Coelo & Die nata — altera, ſpuma procreata — tertia, Iove nata & Diana, quae nupſit Vulcano — quarta, Syria, Tyroque concepta: quae Aſtarte vocatur: quam Adonidi nupſiſſe proditum eſt.* De hac conſule *Io. Seldeni de diis Syris Syntagma* II, c. 2.

θαλάσσης. Εὐρώπης ἡ γραφή. Φοινίκων ἡ θάλαττα. Σιδῶνος ἡ γῆ. Ἐν τῇ γῇ λειμὼν, καὶ χορὸς παρθένων. Ἐν τῇ θαλάττῃ ταῦρος ἐπενήχετο, καὶ τοῖς νώτοις καλὴ παρθένος ἐπεκάθητο, ἐπὶ Κρήτην [τῷ ταύρῳ] πλέουσα. Ἐκόμα πολλοῖς ἄνθεσιν ὁ λειμών. δένδρων αὐτοῖς ἀνεμέμικτο φάλαγξ καὶ φυτῶν. συνεχῆ τὰ δένδρα. συνηρεφῆ τὰ πέταλα. συνῆπτον οἱ πτόρθοι τὰ φύλλα, καὶ ἐγίνετο τοῖς ἄνθεσιν ὄροφος ἡ τῶν φύλλων συμπλοκή.[1] ἔγραψεν ὁ τεχνίτης ὑπὸ τὰ πέταλα καὶ τὴν σκιάν· καὶ ὁ ἥλιος ἠρέμα τοῦ λειμῶνος κάτω σποράδην διέῤῥει, ὅσον τὸ συνηρεφὲς τῆς τῶν φύλλων κόμης ἀνέῳξεν ὁ γραφεύς. Ὅλον ἐτείχιζε τὸν λειμῶνα περιβολή· εἴσω δὲ τοῦ τῶν ὀρόφων στεφανώματος ὁ λειμὼν ἐκάθητο. αἱ δὲ πρασιαὶ τῶν ἀνθῶν ὑπὸ τὰ πέταλα τῶν φυτῶν στιχηδὸν ἐπεφύκεσαν, νάρκισσος, καὶ ῥόδα,

bulam, continentem: ac mare Phoenicum, Sidoniorum terra esse dignoscebatur. In terra pratum erat virginibus refertum. In mari taurus natabat, formosamque humeris puellam sustinens Cretam versus cursum tenebat. Pratum multa florum varietate distinctum, arborumque & fruticum copia intersitum erat: quarum rami atque frondes mutuo complexu ita sese nectebant, ut tecti usum floribus praestarent. Umbram quin etiam sub frondibus pictor effinxerat eo artificio, ut locis aliquot radii solis modice pratum illustrarent, tantum scilicet, quantum quidem contextas frondes patere voluit pictor. Ceterum harundinum corona pratum universum undique munierat. Sub foliis fruticum, narcisso, rosa, myrtoque, ordinatim sati pul-

1 Ἡ τῶν φύλλων συμπλοκὴ) Ita exhibet Palat. Cod. cum Angl. & interprete Latino. At Regii & Florentinus: ἡ τῶν φ. συνέχεια, ex interpretamento. Pariter infra I, 15 init. αἱ γείτονες τῶν πετάλων περιπλοκαί.

καὶ μύῤῥιναι. ὕδωρ δὲ κατὰ μέσον ἔῤῥει τοῦ λειμῶνος τῆς γραφῆς, τὸ μὲν ἀναβλύζον κάτωθεν ἀπὸ τῆς γῆς, τὸ δὲ τοῖς ἄνθεσιν καὶ τοῖς φυτοῖς περιχεόμενον. ὀχετηγός τις ἐγέγραπτο δίκελλαν κατέχων, καὶ περὶ μίαν ἀμάραν κεκυφὼς, καὶ ἀνοίγων τὴν ὁδὸν τῷ ῥεύματι. Ἐν δὲ τῷ τοῦ λειμῶνος τέλει πρὸς ταῖς ἐπὶ θάλατταν τῆς γῆς ἐκβολαῖς τὰς παρθένους ἔταξεν ὁ τεχνίτης. τὸ σχῆμα ταῖς παρθένοις καὶ χαρᾶς καὶ φόβου. στέφανοι περὶ τοῖς μετώποις δεδεμένοι· κόμαι κατὰ τῶν ὤμων λελυμέναι· τὸ σκέλος ἅπαν γεγυμνωμέναι· τὸ μὲν ἄνω, τοῦ χιτῶνος, τὸ δὲ κάτω, τοῦ πεδίλου· τὸ γὰρ ζῶσμα μέχρι γόνατος ἀνεῖλκε τὸν χιτῶνα. τὸ πρόσωπον ὠχραί· σεσηρυῖαι τὰς παρειάς· τοὺς ὀφθαλμοὺς ἀνοίξασαι πρὸς τὴν θάλατταν· μικρὸν ὑποκεχηνυῖαι τὸ στόμα, ὥσπερ ἀφήσειν ὑπὸ φόβου μέλλουσαι καὶ βοήν· τὰς χεῖρας ὡς ἐπὶ τὸν βοῦν ὤρεγον. ἐπέβαινον ἄκρας τῆς θαλάττης, ὅσον ὑπεράνω μικρὸν τῶν ταρσῶν ὑπερέχειν τὸ κῦμα· ἐῴκεισαν δὲ βούλε-

vini cernebantur. Sed & ima ex terra ſcatebat fons, qui medium pratum, floreſque ac plantas, hac illac diſcurrens, irrigabat. Nec deerat, qui, ſumto ligone rivulo imminens, aquae viam patefaceret. In ea prati parte, quae mare attingebat, virgines pictor expreſſerat, vultu cum hilaritatem, tum moerorem indicantes. Corollae iis in capite erant, crines per humeros effuſi, pedes vinculis exuti, crura veſtibus, zona genutenus ſuccinctis, nudata: os pallidum, genae contractae, oculi mare intuentes, labia nonnihil hiulca, quaſi prae metu vox praecluſa fuiſſet, manus taurum verſus protentae. Ad mare autem eo uſque proceſſerant, ut pedis partem ſuperiorem aqua pertingeret: corporis totius ſtatus is erat, ut & ad

σθαι μὲν ὡς ἐπὶ τὸν ταῦρον δραμεῖν, φοβεῖσθαι δὲ τῇ θαλάττῃ προσελθεῖν. Τῆς δὲ θαλάττης ἡ χροιὰ διπλῆ· τὸ μὲν γὰρ πρὸς τὴν γῆν ὑπέρυθρον· κυάνεον δὲ τὸ πρὸς τὸ πέλαγος. ἀφρὸς ἐπεποίητο [1], καὶ πέτραι, καὶ κύματα. αἱ πέτραι τῆς γῆς ὑπερβεβλημέναι, ὁ ἀφρὸς περιλευκαίνων τὰς πέτρας, τὸ κῦμα κορυφούμενον καὶ ἐπὶ τὰς πέτρας λυόμενον εἰς τοὺς ἀφρούς. Ταῦρος ἐν μέσῃ τῇ θαλάττῃ ἐγέγραπτο τοῖς κύμασιν ἐποχούμενος, ὡς ὄρους ἀναβαίνοντος τοῦ κύματος, ἔνθεν καμπτόμενον τοῦ βοὸς κυρτοῦται τὸ σκέλος. Ἡ παρθένος μέσοις ἐπεκάθητο τοῖς νώτοις τοῦ βοὸς, οὐ περιβάδην, ἀλλὰ κατὰ πλευρὰν, ἐπὶ δεξιᾷ συμβᾶσα τὼ πόδε, τῇ λαιᾷ τοῦ κέρως ἐχομένη, ὥσπερ ἡνίοχος χαλινοῦ. καὶ γὰρ ὁ βοῦς ἐπέστραπτο ταύτῃ μᾶλλον πρὸς τὸ τῆς χειρὸς ἕλκον ἡνιοχούμενος. Χιτὼν ἀμφὶ τὰ στέρνα τῆς παρθένου μέχρις αἰδοῦς, τοὐντεῦ-

taurum contendere velle, & undis credere ſe vereri viderentur. Mari color inerat duplex: terrae enim propinquior pars ſubrubebat; remotior vero & profundior caerulea erat. Efficta quoque erat & ſpuma, & ſcopuli, & fluctus. Illic ſcopuli etiam e terra proiecti exſtabant: quos e tumeſcentibus & ſaxo alliſis fluctibus facta ſpuma dealbabat. Medio in mari pictus taurus ab undis vehebatur, montis inſtar attollente ſe unda, qua bovis crura flectebantur. Tauri dorſo virgo inſidebat, non equitum more, ſed utriſque dexterum in latus pedibus apte demiſſis; laevaque cornu, quomodo habenas aurigae ſolent, tenebat: manum enim taurus ſequebatur. Virginis pectus ad pudenda uſque alba tunica, corpus reliquum purpurea lae-

1 Τὸ μὲν γὰρ — ἐπεποίητο) Ita corr. Salmaſius, cum antea legeretur: τὸ μὲν γὰρ πρὸς τὴν γῆν, ὑπέρυθρον καὶ κυάνεον· τὸ δὲ πρὸς τὸ πέλαγος, ἀφρὸς ἐπεποίητο &c.

θεν ἐπεκάλυπτεν χλαῖνα τὰ κάτω τοῦ σώματος. λευκὸς ὁ χιτών. ἡ χλαῖνα πορφυρᾶ. τὸ δὲ σῶμα διὰ τῆς ἐσθῆτος ὑπεφαίνετο. βαθὺς ὀμφαλὸς, γαστὴρ τεταμένη. λαπάρα στενή. τὸ στέρνον εἰς ὀξὺ καταβαῖνον ηὐρύνετο. μαζοὶ τῶν στέρνων ἠρέμα προκύπτοντες. ἡ συνάγουσα ζώνη τοὺς μαζοὺς καὶ τὸν χιτῶνα ἔκλειεν, καὶ ἐγίνετο τοῦ σώματος κάτοπτρον ὁ χιτών. Αἱ χεῖρες ἄμφω διετέταντο, ἡ μὲν ἐπὶ κέρας, ἡ δὲ ἐπὶ οὐράν. ἤρτητο δὲ ἀμφοῖν ἑκατέρωθεν ὑπὲρ τὴν κεφαλὴν ἡ καλύπτρα κύκλῳ τῶν νώτων ἐμπεπετασμένη· ὁ δὲ κόλπος τοῦ πέπλου πάντοθεν ἐτέτατο κυρτούμενος· καὶ ἦν οὗτος ἄνεμος τοῦ ζωγράφου. ἡ δὲ δίκην ἐπεκάθητο τῷ ταύρῳ πλεούσης νηὸς, ὥσπερ ἱστίῳ τῷ πέπλῳ χρωμένη [1]. Ἐπὶ δὲ τὸν βοῦν ὠρχοῦντο δελφῖνες, ἔπαιζον Ἔρωτες. εἶπες ἂν αὐτῶν ἐγγεγράφθαι καὶ τὰ κινήματα. Ἔρως εἷλκε τὸν βοῦν, Ἔρως, μικρὸν παιδίον ἥπλωκει τὸ πτερὸν, ἤρτητο φαρέτραν, ἐκράτει τὸ πῦρ·

na contegebatur: omnia tamen per veſtem cernere licebat. Nam & profundus umbilicus, & planus venter, & anguſta ilia, pectus in acutum dilatabatur. papillae modice tumebant, zonaque adducta una cum tunica, quae corporis ſpeculum erat, ſuccingebantur. Manu altera cornu, caudam altera virgo apprehenderat, & utriſque humeris etiam capitis tegmen utrinque circum humeros effuſum ſuſtinebat: cuius ſinum depictus ventus ita implebat, ut omni ex parte intumeſceret. Puella tauro inſidens navis inſtar ferebatur, peplo veli uſum praebente. Tauro delphini aſſultabant, illudebant Amores: quorum quidem motus etiam illic pictos eſſe diceres. Alter Amor taurum trahebat, alter parvulus infanti alas expandens, pha-

1 Moſchus: Κολπώθη δ' ὤμοισι πέπλος βαθὺς Εὐρωπείης,
Ἱστίον οἷά τε νηός.

ἐπέστραπτο δὲ ὡς ἐπὶ τὸν Δία καὶ ὑπεμειδία, ὥσπερ αὐτοῦ καταγελῶν, ὅτι δι' αὐτὸν γέγονε βοῦς.

β'. Ἐγὼ δὲ καὶ τ' ἄλλα μὲν ἐπῄνουν τῆς γραφῆς· ἅτε δὲ ὢν ἐρωτικὸς, περιεργότερον ἔβλεπον τὸν ἄγοντα τὸν βοῦν Ἔρωτα. καὶ, Οἷον, εἶπον, ἄρχει βρέφος οὐρανοῦ, καὶ γῆς, καὶ θαλάττης; Ταῦτά μου λέγοντος, νεανίσκος καὶ αὐτὸς παρεστώς· Ἐγὼ ταῦτα ἂν εἰδείην, ἔφη, τοσαύτας ὕβρεις ἐξ ἔρωτος παθών. Καὶ, Τί πέπονθας, εἶπον, ὦ ἀγαθέ; καὶ γὰρ ὁρῶ σοῦ τὴν ὄψιν οὐ μακρὰν τῆς τελετῆς τοῦ θεοῦ. Σμῆνος ἀνεγείρεις, εἶπε, λόγων. τὰ γὰρ ἐμὰ, μύθοις ἔοικε. Μὴ κατοκνήσῃς, ὦ βέλτιστε, ἔφην, πρὸς τοῦ Διὸς καὶ τοῦ Ἔρωτος αὐτοῦ, ταύτῃ μᾶλλον ὀνήσειν, εἰ καὶ μύθοις ἔοικε. Καὶ ταῦτα δὲ λέγων, δεξιοῦμαί

retram geſtans, faces vibrans; atque ad Iovem converſus ridebat, quaſi eum, quod ſua opera in taurum mutatatus eſſet, irrideret.

II. Ego igitur cum alias picturae partes laudabam, tum, quod & ego amori indulgeo, Cupidinem taurum trahentem accuratius intuens, ita mecum loquebar: En ut infantis iuſſa coelum, terra, mare faciunt? Tum adoleſcens, qui tum forte aderat, meaque verba intellexerat: Huius equidem, inquit, ego quoque rei teſtis eſſe poſſum, cui tot amoris cauſa incommoda evenerunt. Tum ego, Cuiuſnam modi ſunt, inquam, o bone vir, quae perpeſſus fuiſti? tuus enim adſpectus huius Dei myſteriis te non abhorrentem declarat. Tum ille: Ad permixtam, inquit, confuſamque rerum ſeriem commemorandam me revocas: fabulis enim ea omnia ſimilia ſunt. Tum ego: Ne per Iovem, perque Amorem ipſum, inquam, moleſtum tibi ſit, hac me ratione magis iuvare, tametſi fabuloſa videantur. Haec cum dixiſſem, manu prehenſum hominem vici-

τε αὐτὸν, καὶ ἐπί τινος ἄλσους ἄγω γείτονος, ἔνθα πλάτανοι μὲν ἐπεφύκεσαν πολλαὶ καὶ πυκναὶ, παρέῤῥει δὲ ὕδωρ ψυχρόν τε καὶ διαυγὲς, οἷον ἀπὸ χιόνος ἄρτι λυθείσης ἄρχεται. [1] Καθίσας οὖν αὐτὸν ἐπί τινος θώκου χαμαιζήλου, καὶ αὐτὸς παρακαθισάμενος· Ὥρα νῦν, ἔφην, τῆς τῶν λόγων ἀκροάσεως· πάντως δὲ ὁ τοιοῦτος τόπος ἡδὺς, καὶ μύθων ἄξιος ὑπάρχει ἐρωτικῶν.

γ'. Ὁ δὲ ἄρχεται λέγειν ὧδε· Ἐμοὶ Φοινίκη γένος, Τύρος ἡ πατρὶς, ὄνομα Κλειτοφῶν, πατὴρ Ἱππίας, ἀδελφὸς πατρὸς Σώστρατος. οὐ πάντως δὲ ἀδελφοὶ, ἀλλ' ὅσον ἀμφοῖν εἷς πατήρ· αἱ γὰρ μητέρες, τῷ μὲν, ἦν Βυζαντία, τῷ δὲ ἐμῷ πατρὶ, Τυρία. Ὁ μὲν οὖν τὸν πάντα χρόνον εἶχεν ἐν Βυζαντίῳ· πολὺς γὰρ ὁ τῆς μητρὸς κλῆρος ἦν αὐτῷ. ὁ δὲ ἐμὸς πατὴρ ἐν Τύρῳ κατῴκει. τὴν δὲ μητέρα οὐκ οἶδα τὴν ἐμήν·

num quoddam in nemus perduxi, ubi permultae atque opacae platani ſuccreverant, perſpicuaque ac tanquam nuper liquefacta nive, frigida aqua dimanabat. Illic cum humili quodam in loco ſedere hominem iuſſiſſem, ipſeque pariter aſſediſſem: Tempus eſt, inquam, initium narrandi ut facias. Delectationis omnino locus hic plenus, amatoriiſque fabellis plane dignus eſt.

III. Tum ille ab hoc principio exorſus eſt dicere: Gentis mihi origo e Phoenicia eſt, patria Tyrus, nomen Clitophon, pater Hippias, patris frater Soſtratus, quod quidem ad patrem attinet: nam matres duae fuere, Soſtrati Byſantia, Hippiae Tyria. Soſtratus Byſantii, propterea quod inibi matris hereditatem ſane non exiguam creverat, ſemper commoratus eſt: pater meus Tyri. Matrem

1 Ἄρχεται) Sic Fl. cum Regiis. At Angl. cum aliis: ἔρχεται, quod & ipſum probum. Salm. inſuper legendum coni. ἀρύεται. Temere.

ἔτι νηπίῳ γάρ μοι τέθνηκεν. ἐδέησεν οὖν τῷ πατρὶ γυναικὸς ἑτέρας, ἐξ ἧς ἀδελφή μοι Καλλιγόνη γίνεται. καὶ ἐδόκει μὲν τῷ πατρὶ συνάψαι μᾶλλον ἡμᾶς γάμῳ· αἱ δὲ μοῖραι τῶν ἀνθρώπων κρείττονες, ἄλλην ἐτήρουν μοὶ γυναῖκα. Φιλεῖ δὲ τὸ Δαιμόνιον πολλάκις ἀνθρώποις τὸ μέλλον νύκτωρ λαλεῖν· οὐχ ἵνα φυλάξωνται μὴ παθεῖν· οὐ γὰρ εἱμαρμένης δύνανται κρατεῖν· ἀλλ' ἵνα κουφότερον πάσχοντες φέρωσιν. τὸ μὲν γὰρ ἐξαίφνης ἀθρόον καὶ ἀπροσδόκητον ἐκπλήσσει τὴν ψυχὴν, ἄφνω προσπεσὸν, καὶ κατεβάπτισε· τὸ δὲ πρὸ τοῦ παθεῖν προσδοκώμενον, κατηνάλωσε κατὰ μικρὸν μελετώμενον τοῦ πάθους τὴν ἀκμήν. Ἐπεὶ γὰρ εἶχον ἔννατον ἔτος ἐπὶ τοῖς δέκα, καὶ παρεσκεύαζεν ὁ πατὴρ εἰς νέωτα ποιῆσαι τοὺς γάμους, ἤρχετο τοῦ δράματος ἡ τύχη. Ὄναρ ἐδόκουν συμφῦναι τῇ παρθένῳ τὰ κάτω μέρη μέχρις ὀμφαλοῦ, δύο δ' ἐντεῦ-

ipſe meam nunquam vidi, ut quae ſuum infante me obierit diem: itaque alteram ſibi pater uxorem adiunxit: ex qua ſororem mihi nomine Calligonen genuit, quam mihi uxorem dare decreverat. Sed potentiora hominibus fata mihi aliam ſervabant. Frequenter autem Dei mortalibus futura in ſomnis pronuntiare conſueverunt, non quo mala praecavendo evitent, neque enim fato iri obviam poteſt, ſed quo aequiore, cum evenerint, animo ferant. Repentina enim & inexſpectata perculſam improviſo adventu mentem frangunt atque proſternunt: praeviſa vero, & praecauta, dum ad eorum cogitationem animus pedetentim deducitur, longe minus affligunt. Itaque cum nonum & decimum agerem annum, nuptiaſque non ita multo poſt pater facturus eſſet, fabulam fortuna incoeptavit. Nam cum me quieti dediſſem, viſus ſum ita cum virgine coniungi, ut a capite ad umbilicum uſque duo corpora

θεν τὰ ἄνω σώματα. ἐφίσταται δέ μοι γυνὴ φοβερὰ καὶ μεγάλη, τὸ πρόσωπον ἀγρία, ὀφθαλμὸς ἐν αἵματι, βλοσυραὶ παρειαὶ, ὄφεις αἱ κόμαι· ἅρπην ἐκράτει τῇ δεξιᾷ, δᾷδα τῇ λαιᾷ. ἐπιπεσοῦσα οὖν μοι θυμῷ, καὶ ἀνατείνασα τὴν ἅρπην, καταφέρει τῆς ἰξύος, ἔνθα τῶν δύο σωμάτων ἦσαν αἱ συμβολαὶ, καὶ ἀποκόπτει μοῦ τὴν παρθένον. περιδεὴς οὖν ἀναθορῶν ἐκ τοῦ δείματος, φράζω μὲν πρὸς οὐδένα, κατ' ἐμαυτὸν δὲ πονηρὰ ἐσκεπτόμην. Ἐν δὲ τούτῳ συμβαίνει τοιάδε. Ἦν ἀδελφὸς, ὡς ἔφην, τοῦ πατρὸς Σώστρατος. παρὰ τούτου τις ἔρχεται κομίζων ἐπιστολὴν ἀπὸ Βυζαντίου· καὶ ἦν τὰ γεγραμμένα τοιάδε·

Ἱππίᾳ τῷ ἀδελφῷ χαίρειν Σώστρατος.

Ἥκουσι πρὸς σὲ θυγάτηρ ἐμὴ Λευκίππη, καὶ Πανθία γυνή. πόλεμος γὰρ περιελαύνει [1] Βυζαντίους Θρᾳ-

essemus, deinceps vero in unum coaluissemus, mulieremque adspectu horribili, magna statura, vultu agresti, sanguineis oculis, genis asperis, vipereis crinibus, falcem dextera, laeva faculam tenentem, nobis imminere; atque iratam extenta falce plagam, qua duo in unum corpora coierant, imponere, virginemque a me abscindere. Quam ob rem timore perculsus, ac ex somno excitatus, mala haec nemini palam feci: sed in eorum cogitatione solus versabar. Interea Bysantio literae ab eo, quem dixi, patris mei fratre, hoc exemplo allatae sunt:

Sostratus Hippiae fratri S. D.

Leucippe filia, & Panthia uxor mea proficiscuntur ad te: bellum enim a Thracibus Bysantiis infertur. Tu carif-

1 Περιελαύνει) Flor. περιλαμβάνει· aeque bene. Alterum tamen aptius h. l. videtur. Nam & equitatum, quo fere Thraces in bello utebantur, innuit, & Byzantiorum metum rei male gerendae declarat. Ad rem Polyb. IV, c. 45: Ἀΐδιον ἔχουσι (Βυζαντίοι) πόλεμον καὶ δυσχερῆ πρὸς τούτους (Θρᾷκας.)

κικός. Σῶζε δέ μοι τὰ φίλτατα τοῦ γένους μέχρι τῆς τοῦ πολέμου τύχης.

δ΄. Ταῦτα ὁ πατὴρ ὁ ἀναγνοὺς, ἀναπηδᾷ, καὶ ἐπὶ τὴν θάλατταν ἐκτρέχει, καὶ μικρὸν ὕστερον αὖθις ἐπανῄκεν. εἵπετο δὲ αὐτῷ κατόπιν πολὺ πλῆθος οἰκετῶν καὶ θεραπαινίδων, ἃς συνεκπέμψας ὁ Σώστρατος ἔτυχεν ταῖς γυναιξίν. Ἐν μέσῳ δὲ ἦν γυνὴ μεγάλη καὶ πλουσία τῇ στολῇ. ὡς δὲ ἐπέτεινα τοὺς ὀφθαλμοὺς ἐπ᾽ αὐτὴν, ἐν ἀριστερᾷ παρθένος ἐμφαίνεταί μοι, καὶ καταστράπτει μοῦ τοὺς ὀφθαλμοὺς τῷ προσώπῳ. τοιαύτην εἶδον ἐγώ ποτε ἐπὶ ταύρῳ γεγραμμένην Εὐρώπην· ὄμμα γοργὸν ἐν ἡδονῇ·[1] κόμη ξανθὴ, τὸ ξανθὸν οὖλον· ὀφρὺς μέλαινα, τὸ μέλαν ἄκρατον· λευκὴ παρειά· τὸ λευκὸν εἰς μέσον ἐφοινίσσετο, καὶ ἐμιμεῖτο πορφύραν, οἵαν εἰς τὸν ἐλέφαντα[2] Λυδίη βάπτει

ſima pignora nobis ad belli exitum uſque cuſtodi. Vale.

IV. Cognita literarum ſententia conſurrexit pater, ſtatimque ad mare ſe contulit: atque haud multo poſt magna cum ſervorum, ancillarumque, quas cum uxore ac filia Soſtratus miſerat, turba ſequente reverſus eſt. Inter eas mulier erat procera, pretioſamque ſtolam induta: in quam ſimul atque oculos intendi, ad ſiniſtram virgo incedens mihi apparebat, cuius adſpectus vehementer tangebat oculos meos. Sic ego depictam videram Europam in tauro. Erant ei quadam cum iucunditate truces oculi, crines flavi criſpique, ſupercilia puro nigrore delibuta, genae candidae: niſi quod earum medium rubore, purpuram, qua Lydiae mulieres ebur inficiunt, imitante ſuffuſum

1 Anacr. XXIX, 12: Μέλαν ὄμμα γοργὸν ἔστω, Κεκερασμένον γαλήνῃ. Adde Sil. It. V, 562, de Scipione: *Flagrabant lumina miti Adſpectu, gratuſque inerat viſentibus horror.*

2 Claudian. R. Proſ. I, 274: *non ſic decus ardet eburnum, Lydia Sidonio quod femina tinxerat oſtro;* coll. Hom. Il. IV, 141, & Virg. Aen. XII, 67.

γυνή· τὸ στόμα ῥόδων ἄνθος ἦν, ὅταν ἄρχηται τὸ ῥόδον ἀνοίγειν τῶν φύλλων τὰ χείλη. Ὡς δὲ εἶδον, εὐθὺς ἀπωλώλειν. κάλλος γὰρ ὀξύτερον τιτρώσκει βέλους, καὶ διὰ τῶν ὀφθαλμῶν εἰς τὴν ψυχὴν καταῤῥεῖ. [1] ὀφθαλμὸς γὰρ ὁδὸς ἐρωτικῷ τραύματι. Πάντα δέ με εἶχεν ὁμοῦ, ἔπαινος, ἔκπληξις, τρόμος, αἰδὼς, ἀναίδεια· ἐπῄνουν τὸ μέγεθος, ἐκπεπλήγμην τὸ κάλλος, ἔτρεμον τὴν καρδίαν, ἔβλεπον ἀναιδῶς, ᾐδούμην ἁλῶναι. τοὺς δὲ ὀφθαλμοὺς ἀφέλκειν μὲν ἀπὸ τῆς κόρης ἐβιαζόμην· οἱ δὲ οὐκ ἤθελον, ἀλλ' ἀνθεῖλκον ἑαυτοὺς ἐκεῖ τῷ τοῦ κάλλους ἑλκόμενοι πείσματι [2], καὶ τέλος, ἐνίκησαν.

έ. Αἱ μὲν δὴ κατήγοντο πρὸς ἡμᾶς, καὶ αὐταῖς

erat: os rosae foliorum labra aperire incipienti persimile. Itaque statim, ut eam contemplatus sum, occidi. Forma enim ad inferendum vulnus telo acutior est, per oculosque amatorio vulneri aditum patefaciens in animum penetrat. Omnia me simul agitabant, laus, admiratio, tremor, pudor, impudentia; & proceritatem laudare, & pulchritudine obstupefieri, & corde tremere, & oculis lascivius intueri, ac ne deprehenderer vereri coactus sum: saneque oculos a virgine avertere conabar; sed illi repugnabant, formaeque suavitate pellecti eo sese referebant, & victoria tandem potiti sunt.

V. Ceterum mulieribus intro ad nos ductis, domusque

1 Musaeus v. 92 seqq.
Κάλλος γὰρ περίπυστον ἀμωμήτοιο γυναικὸς
Ὀξύτερον μερόπεσσι πέλει πτερόεντος ὀϊστοῦ.
Ὀφθαλμὸς δ' ὁδός ἐστιν· ἀπ' ὀφθαλμοῖο βολάων
Ἕλκος ὀλισθαίνει, καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει.
Εἷλε δέ μιν τότε θάμβος, ἀναιδείη, τρόμος, αἰδώς.
Ἔτρεμε μὲν κραδίην, αἰδὼς δέ μιν εἶχεν ἁλῶναι.
Θάμβεε δ' εἶδος ἄριστον, ἔρως δ' ἀπενόσφισεν αἰδῶ.

2 Τῷ τοῦ κάλλους ἑλκόμενοι πείσματι) Formae illicio persuasi & adducti. Sic reponere placuit Salmasio, pro vulgata lectione, πταίσματι. In aliis Codicibus, τραύματι, non tam bene.

ὁ πατὴρ μέρος τι τῆς οἰκίας ἀπονεμόμενος, εὐτρεπίζει δεῖπνον. καὶ ἐπεὶ καιρὸς ἦν, συνεπίνομεν κατὰ δύο τὰς κλίνας διαλαχόντες. οὕτω γὰρ ἔταξεν ὁ πατήρ· αὐτὸς κἀγὼ τὴν μέσην, αἱ μητέρες αἱ δύο τὴν ἐν ἀριστερᾷ, τὴν δεξιὰν εἶχον αἱ παρθένοι. Ἐγὼ δὲ ὡς ταύτην ἤκουσα τὴν εὐταξίαν, μικροῦ προσελθὼν τὸν πατέρα κατεφίλησα, ὅτι μου κατ' ὀφθαλμοὺς ἀνέκλινε τὴν παρθένον. Τί μὲν οὖν ἔφαγον, μὰ τοὺς θεοὺς, ἔγωγε οὐκ ᾔδειν. ἐῴκειν γὰρ τοῖς ἐν ὀνείροις ἐσθίουσιν. ἐρείσας δὲ κατὰ τῆς στρωμνῆς τὸν ἀγκῶνα, καὶ ἐγκλίνας ἐμαυτὸν, ὅλοις ἔβλεπον τὴν κόρην τοῖς προσώποις, κλέπτων ἅμα τὴν θέαν· τοῦτο γάρ μοι ἦν τὸ δεῖπνον. Ὡς δὲ ἦμεν ἀπὸ τοῦ δείπνου, παῖς ἔρχεται κιθάραν ἁρμοσάμενος, τοῦ πατρὸς οἰκέτης, καὶ ψιλαῖς τὸ πρῶτον διατινάξας ταῖς χερσὶ, τὰς χορδὰς ἔκρουε· καί τι κρουμάτιον ὑπολιγήνας ὑποψιθυρίζουσι τοῖς δακτύλοις,

parte quadam eis attributa, pater coenam parari iuſſit: ac quoniam tempus eius venerat, bini ſingulis lectis accubuimus, huiuſmodi ab Hippia ordine adhibito, ut ipſe & ego mediam, matres ſiniſtram, dextram virgines obtinerent. Quod cum ipſe animadvertiſſem, parum abfuit, quin ad patrem, propterea quod virginem exadverſum oculis meis collocaverat, oſculando procederem. Verum enimvero quid in ea coena comederim, ita me Dii ament, dicere haud ſcio, iis nimirum ſimilis, qui coenare ſeſe ſomniant; ſed cubito menſae innixus, ac toto capite inclinatus, puellam contemplabar, illius interim obtutus ſuffurans: atque hoc mihi coena erat. Poſteaquam finis edendi factus eſt, e pueris domeſticis unus cum cithara proceſſit: ac primum nudis manibus fidem tentans, exilem quendam ſonum, digitis murmur adiuvantibus, edidit.

μετὰ τοῦτο ἤδη τῷ πλήκτρῳ τὰς χορδὰς ἔκρουεν, καὶ ὀλίγον ὅσον κιθαρίσας συνῇδε τοῖς κρούμασι. τὸ δὲ ᾆσμα ἦν, Ἀπόλλων μεμφόμενος φεύγουσαν τὴν Δάφνην, καὶ διώκων ἅμα καὶ μέλλων καταλαμβάνειν· καὶ γινομένη φυτὸν ἡ κόρη, καὶ Ἀπόλλων τῷ φυτῷ στεφανούμενος. Τοῦτό μου μᾶλλον, [1] ᾀσθὲν εἰς τέλος, τὴν ψυχὴν ἐξέκαυσεν. ὑπέκκαυμα γὰρ ἐπιθυμίας λόγος ἐρωτικός· κἂν εἰς σωφροσύνην τις ἑαυτὸν νουθετῇ, τῷ παραδείγματι πρὸς τὴν μίμησιν ἐρεθίζεται, καὶ μάλισθ' ὅταν ἐκ τοῦ κρείττονος ᾖ παράδειγμα. ἡ γὰρ ὧν ἁμαρτάνει τις αἰδὼς, τῷ τοῦ βελτίονος ἀξιώματι παῤῥησία γίνεται. Καὶ ταῦτα πρὸς ἐμαυτὸν ἔλεγον· Ἰδοὺ καὶ Ἀπόλλων ἐρᾷ κἀκεῖνος παρθένου, καὶ ἐρῶν οὐκ αἰσχύνεται, ἀλλὰ διώκει τὴν

Deinde ſumto plectro, cum aliquantulum chordas percuſſiſſet, citharae ſono vocem ipſe ſuam addidit: concinuitque, ut fugientem Daphnen Apollo incuſaret, ſimulque perſequeretur, ut iamiam comprehenſurus eſſet, ut puella in arborem mutaretur: cuius ille frondibus coronam ſibi demum fingeret. Quae ſane cantilena meo ardentiores faces amori ſubiecit. Amatorius enim ſermo vehemens quaedam cupiditatis incitatio eſt. Ac quamquam ad temperantiam aliquis comparatus eſt, exemplo tamen ad imitandum trahitur; eoque facilius, quo nobilius proponitur exemplum. Nam pudor, qui a peccando revocabat, praeſtantioris alicuius dignitate loco pulſus, in licentiam commutatur. Hiſce itaque verbis memet alloquebar: An non Apollinem amore captum eſſe, & pudorem abieciſſe, & virginem palam ſequi vides? Quid tu igitur deſidia tor-

1 Ita Florent. In aliis notatur haec lectio: Τοῦτό μου μᾶλλον ἀσθενοῦσαν τὴν ψυχὴν εἰς τέλος ἐξέκ. quae ſane magis convenit cum vocibus μᾶλλον & εἰς τέλος. Ceterum εἰς τέλος non habet Cod. Bavar. & ed. Commel. & ſane poſt μᾶλλον rectius abſunt, niſi diſtinctione, quam nos induximus, ſervari poſſe putes.

παρθένον· σὺ δὲ ὀκνεῖς καὶ αἰδῇ, καὶ ἀκαίρως σωφρονεῖς; μὴ κρείττων εἶ τοῦ Θεοῦ;

στ΄. Ὡς δὲ ἦν ἑσπέρα, πρότεραι μὲν πρὸς ὕπνον ἐτράπησαν αἱ γυναῖκες· μικρὸν δὲ ὕστερον καὶ ἡμεῖς· οἱ μὲν δὴ ἄλλοι τῇ γαστρὶ μετρήσαντες τὴν ἡδονήν· ἐγὼ δὲ τὴν εὐωχίαν ἐν τοῖς ὀφθαλμοῖς φέρων, τῶν τε τῆς κόρης προσώπων γεμισθεὶς, καὶ ἀκράτῳ θεάματι, καὶ μέχρι κόρου προελθὼν, ἀπῆλθον μεθύων ἔρωτι. Ὡς δὲ εἰς τὸ δωμάτιον παρῆλθον, ἔνθα μοι καθεύδειν ἔθος ἦν, οὔτε ὕπνου τυχεῖν ἠδυνάμην. ἔστι μὲν γὰρ φύσει καὶ τὰ ἄλλα νοσήματα, καὶ τὰ τοῦ σώματος τραύματα νυκτὶ χαλεπώτερα, καὶ ἐπανίσταται μᾶλλον ἡμῖν ἡσυχάζουσιν, καὶ ἐρεθίζει τὰς ἀλγηδόνας. ὅταν γὰρ ἀναπαύηται τὸ σῶμα, τότε σχολάζει τὸ ἕλκος νοσεῖν. τὰ δὲ τῆς ψυχῆς τραύματα, μὴ κινουμένου τοῦ σώματος, πολὺ μᾶλλον ὀδυνᾷ. ἐν ἡμέρᾳ

pes, & pudore victus alieno tempore continentiam prae te fers? Num tu Deo praestantior es?

VI. Ceterum cum advesperasset, primae cubitum ivere mulieres; nec multo post nos: alii quidem coenae voluptatem ventri, ego vero oculis largitus. Nam puellae imagine, merisque obtutibus exsaturatus, ac plane amore ipso ebrius, intra cubiculum, in quo cubare consueveram, me recepi: ubi somnum nulla unquam ratione capere quivi. Natura equidem ita fert, ut cum alii morbi, tum corporis vulnera noctu molestiora sint, & quiescentibus nobis vehementius intendantur, & maiores efficiant dolores: quietem enim capientibus membris, vulneri otium datur saeviendi. Nec sane alia est vulnerati animi conditio. Nam dum motu corpus vacat, saucius ille maiorem in modum excruciatur. Oculi enim atque aures multis in re-

γὰρ ὀφθαλμοὶ καὶ ὦτα πολλῆς γεμιζόμενα περιεργίας, ἐπικουφίζει τῆς νόσου τὴν ἀκμὴν, ἀντιπεριάγοντα τὴν ψυχὴν τῆς εἰς τὸ πονεῖν σχολῆς. ἐὰν δὲ ἡσυχίᾳ τὸ σῶμα πεδηθῇ, καθ' ἑαυτὴν ἡ ψυχὴ γενομένη [1] τῷ κακῷ κυμαίνεται. πάντα γὰρ ἐξεγείρεται τέως κοιμώμενα· τοῖς πενθοῦσιν, αἱ λῦπαι· τοῖς μεριμνῶσιν, αἱ φροντίδες· τοῖς κινδυνεύουσιν, οἱ φόβοι· τοῖς ἐρῶσι, τὸ πῦρ. Περὶ δὲ τὴν ἕω μόλις ἐλεήσας με τὶς ὕπνος, ἀνέπαυσεν ὀλίγον. ἀλλ' οὐδὲ τότε μου τῆς ψυχῆς ἀπελθεῖν ἤθελεν ἡ κόρη· πάντα δὲ ἦν μοι Λευκίππη τὰ ἐνύπνια, διελεγόμην αὐτῇ, συνέπαιζον, συνεδείπνουν, ἡπτόμην, πλείονα εἶχον ἀγαθὰ τῆς ἡμέρας. καὶ γὰρ κατεφίλησα, καὶ ἦν τὸ φίλημα ἀληθινόν. ὥστ' ἐπειδή με ἤγειρεν ὁ οἰκέτης, ἐλοιδορούμην αὐτῷ τῆς ἀκαιρίας, ἀπολέσας ὄνειρον οὕτω γλυκύν. Ἀνα-

bus interdiu occupatae, sollicitudinum aculeos minus sentiunt, animumque distrahunt, ut dolendi tempus non supersit. Quod si otio membra detineantur, animus se ipse colligens, assiduis malorum procellis iactatur. Quae enim eousque sopita iacuerant, exsuscitantur, & praesto sunt omnia. In luctu videlicet constitutis moerores, aliqua de re sollicitis cogitationes, in periculo versantibus metus, amore ardentibus ignes. Tandem appropinquante aurora misertus mei somnus levationis aliquantulum mihi attulit, nec tamen meo ex animo puella tunc abiit. Sed omnia mihi de Leucippe somnia erant: cum illa loquebar, ludebam, coenabam, ac maiora quidem tum, quam interdiu, bona consequebar: osculabar enim, veraque osculatio erat. Itaque cum me famulus excitasset, importunitatem illius, quod tam dulce mihi somnium eripuisset, maledictis pro-

1 Καθ' ἑαυτὴν ἡ ψυχὴ γενομένη) Codd. Regii & Florent. καθ' ἑαυτὴν ἡ ψυχὴ μένει, καὶ τότε τῷ κ. κ. minus commode.

στὰς οὖν ἐβάδιζον ἐξεπίτηδες ἐν παραδείσῳ τῆς οἰκίας [1], κατὰ πρόσωπον τῆς κόρης· βιβλίον ἅμα κρατῶν, καὶ ἐγκεκυφὼς, ἀνεγίνωσκον· τὸν δὲ ὀφθαλμὸν, εἰ κατὰ θύρας ἐγενοίμην, ὑπείλιττον κάτωθεν, καί τινας ἐμπεριπατήσας διαύλους, καὶ ἐποχετευσάμενος ἐκ τῆς θέας ἔρωτα σαφῶς, ἀπήειν ἔχων τὴν ψυχὴν κακῶς· καὶ ταῦτά μοι τριῶν ἡμερῶν ἐπυρσεύετο.

ζ΄. Ἦν δέ μοι Κλεινίας ἀνεψιὸς, ὀρφανὸς καὶ νέος δύο ἀναβεβηκὼς ἔτη τῆς ἡλικίας τῆς ἐμῆς, ἔρωτι τετελεσμένος· μειρακίου δὲ ὁ ἔρως ἦν. οὕτω δὲ εἶχε φιλοτιμίας πρὸς αὐτὸ, ὥστε καὶ ἵππον πριάμενος, ἐπεὶ θεασάμενον τὸ μειράκιον ἐπῄνεσεν, εὐθὺς ἐχαρίσατο, φέρων αὐτῷ τὸν ἵππον. ἔσκωπτον οὖν αὐτὸν ἀεὶ τῆς

secutus sum. E stratis autem surgens, & domo de industria egressus, in conspectu puellae deambulabam, tenens librum, quem fronte demissa legere videbar, & si quando ex adverso ianuae constitutus, oculos limos & demissos ad puellam convertebam; denique, peractis inambulando aliquot spatiis, amorem videndo hauriens palam discessi, animo misere affecto. Hunc in modum tres mihi dies consumti sunt.

VII. Erat consanguineus meus utroque parente orbatus, cui Cliniae nomen fuit. Is duobus annis me natu maior, artis amatoriae peritissimus, scilicet adolescentuli amore tenebatur: tantaque erga illum liberalitate usus fuerat, ut, cum equum emisset, visumque adolescens laudasset, eum illi statim sit elargitus. Hunc ego conviciis in-

1 Ἐξεπίτηδες ἐν παραδείσῳ τῆς οἰκίας) Omnes libri: ἐξεπίτηδες εἴσω τῆς οἰκίας. Quod quam falsum sit, patet e seqq. Statim enim subiicitur, Clitophontem ante domum puellae inambulasse, ibique aliquot διαύλους confecisse. Salmasius corr. ἔξω τῆς οἰκίας. Sed nos auctoris manum propius assecuti videmur. Infra I, 15 init. ἡ δὲ (κόρη) ἦν ἐν τῷ παραδείσῳ τῆς οἰκίας.

ἀμεριμνίας, ὅτι σχολάζει φιλεῖν, καὶ δοῦλός ἐστιν ἐρωτικῆς ἡδονῆς. ὁ δέ μοι μειδιῶν, καὶ τὴν κεφαλὴν ἐπισείων, ἔλεγεν· ἔσῃ καὶ σύ μοί ποτε δοῦλος. Ταχὺ δὲ πρὸς τοῦτον ἀπιὼν, καὶ ἀσπασάμενος, καὶ παρακαθισάμενος· Ἔδωκα, ἔφην, Κλεινία, σοι δίκην τῶν σκωμμάτων. δοῦλος γέγονα κἀγώ. ἀνακροτήσας οὖν τὰς χεῖρας, ἐξεγέλασεν, καὶ ἀναστὰς κατεφίλησέ μου τὸ πρόσωπον, ἐμφαῖνον ἐρωτικὴν ἀγρυπνίαν. καὶ, Ἐρᾷς, εἶπεν, ἐρᾷς ἀληθῶς· οἱ ὀφθαλμοί σου λέγουσιν. Ἄρτι δὲ λέγοντος αὐτοῦ, Χαρικλῆς εἰστρέχει. τοῦτο γὰρ ἦν ὄνομα τῷ μειρακίῳ· τεθορυβημένος· Οἴχομαί σοι, λέγων, Κλεινία. Καὶ συνεστέναξεν ὁ Κλεινίας, ὥσπερ ἐκ τῆς ἐκείνου ψυχῆς κρεμάμενος. καὶ τῇ φωνῇ τρέμων· Ἀποκτείνεις, εἶπεν, σιωπῶν. τί σε λυπεῖ; τίνι δεῖ μάχεσθαι; Καὶ ὁ Χαρικλῆς· Γάμον, εἶπεν, ὁ

ſectari non ceſſabam, quod tantum ſibi a re ſua otii eſſet, ut amori operam daret, eiuſque illecebris irretitus teneretur. Ille autem me irridens, & caput quaſſans: Futurum aliquando eſt, inquit, ut tu quoque irretiaris. Ad eum igitur ſtatim cum veniſſem, ac data ſalute aſſediſſem: Iactatorum in te nunc, inquam, Clinia, conviciorum tibi poenas luo: captus enim ego quoque ſum. Tum ille iactatis manibus plaudens, in riſum ſeſe effudit: conſurgenſque amatorias vigilias indicantem faciem mihi ſuaviatus eſt: Revera, inquiens, amore captus es: tui enim id oculi declarant. Haec vix protulerat, cum Charicles, id erat adoleſcenti nomen, introiit, ac, vehementer conturbatus: Adſum, inquit, o Clinia, certiorem te ut faciam. Atque hic una cum eo ſuſpirans, Clinia, tanquam ex adoleſcentuli anima penderet, lingua titubante: Perdis me tuo, inquit, iſto cum ſilentio. Quid eſt, quod te excruciat? aut quîcum pugnandum erit? Tum Charicles: Uxorem, in-

πατήρ μοι προξενεῖ, καὶ γάμον ἀμόρφου κόρης, ἵνα διπλῷ συνοικῶ τῷ κακῷ. πονηρὸν μὲν γὰρ γυνὴ, κἂν εὔμορφος ᾖ· ἐὰν δὲ καὶ ἀμορφίαν δυστυχῇ, τὸ κακὸν διπλοῦν. ἀλλὰ πρὸς τὸν πλοῦτον ὁ πατὴρ ἀποβλέπων, σπουδάζει τὸ κῆδος. ἐκδίδομαι ὁ δυστυχὴς τοῖς ἐκείνης χρήμασιν, ἵνα γήμω πωλούμενος.

η΄. Ὡς οὖν ταῦτα ἤκουσεν ὁ Κλεινίας, ὠχρίασεν. ἐπιπαρώξυνεν οὖν τὸ μειράκιον ἀποθέσθαι τὸν γάμον, τὸ τῶν γυναικῶν γένος λοιδορῶν· Γάμον, εἶπεν, ἤδη σοι δίδωσιν ὁ πατήρ; τί γὰρ ἠδίκησας ἵνα πεδηθῇς; οὐκ ἀκούεις λέγοντος τοῦ Διός [1];

Τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακὸν, ᾧ κεν ἅπαντες
Τέρπωνται κατὰ θυμὸν, ἑὸν κακὸν ἀμφαγαπῶντες.

αὕτη κακῶν ἡδονή. καὶ ἔοικε τῇ τῶν Σειρήνων φύσει. κἀκεῖναι γὰρ ἡδονῇ φονεύουσιν ᾠδῆς· ἔστι δέ σοι συνιέναι τὸ μέγεθος τοῦ κακοῦ, καὶ ἀπ' αὐτῆς τῆς τοῦ

quit, mihi pater dare ſtudet, eamque deformem, duplici ut malo mulcter. Nam cum magnum malum ſit formoſa mulier, quî poterit deformis non duplo maius eſſe? Sed pater meus divitiis inhians, affinitatem iſtam affectat. Me miſerum, qui pecuniae trador, ut uxoris mancipium ſim!

VIII. Quae Clinia cum audiviſſet, expalluit, atque in mulierum genus acerbius invectus, adoleſcentem a re uxoria dehortatus eſt: Tibi ergo uxorem iam dat pater? Quidnam commeruiſti, ut in vincula coniiciaris? An non Iovem audis ita canentem?

His ego ſurrepti pretium ignis ab aethere peſtem
Demittam: laeta cuncti quam mente ſequantur.

Eiuſmodi eſt, quae malis e rebus percipitur voluptas, Sirenum ſcilicet naturae perſimilis; illae enim cantus ſuavitate mortales perdunt. Mali autem magnitudinem ipſo

1 Heſiod. Op. & D. v. 57.

γάμου παρασκευῆς. βόμβος αὐλῶν, δικλίδων κτύπος, πυρσῶν δᾳδουχία. Ἐρεῖ τις ἰδὼν τοσοῦτον κυδοιμόν· ἀτυχὴς ὁ μέλλων γαμεῖν; ἐπὶ πόλεμον δοκεῖ μοι πέμπεσθαι. ἀλλ' εἰ μὲν ἰδιώτης ἦσθα μουσικῆς γνώσεως, ἠγνόεις ἂν τὰ τῶν γυναικῶν δράματα. νῦν δὲ κἂν ἄλλοις λέγοις, ὅσων ἐνέπλησαν μύθων γυναῖκες τὴν σκηνήν. ὅρμος Ἐριφύλης, Φιλομήλης ἡ τράπεζα, Σθενοβοίας ἡ διαβολὴ, Ἀερόπης ἡ κλοπὴ, Πρόκνης ἡ σφαγή. ἂν τὸ Χρυσηΐδος κάλλος Ἀγαμέμνων ποθῇ, λοιμὸν τοῖς Ἕλλησι ποιεῖ· ἂν τὸ Βρισηΐδος κάλλος Ἀχιλλεὺς ποθῇ, πένθος αὐτῷ προξενεῖ· ἐὰν ἔχῃ γυναῖκα Κανδαύλης καλὴν, φονεύει Κανδαύλην γυνή. τὸ μὲν γὰρ Ἑλένης τῶν γάμων πῦρ ἀνῆψε κατὰ τῆς Τροίας ἄλλο πῦρ. ὁ δὲ Πηνελόπης γάμος τῆς σώφρο-

ex nuptiarum apparatu, tibiarum videlicet clangore, crepitu valvarum, funalium incendio, intueri tibi licet. Iam quis tantos tumultus videns, non eum miferum vocet, qui uxorem fit ducturus? Mihi quidem certe in pugnam is mitti videtur. Si ab humaniorum literarum ftudiis abhorreres, merito tu quidem mulierum facta ignorare poffes. Verum cum iis tantum profeceris, ut aliis etiam, quot illae fcenis argumenta fuppeditaverint, commemorare queas; quid eft quod Eriphyles monile, Philomelae menfam, calumniam Sthenoboeae, Aëropes inceftum, Prognes in iugulando filio immanitatem oblivioni tradidiffe videris? Quod fi Agamemnonem Chryfeidis, Achillem Brifeidis forma pellexit aliquando, ambae utique in caufa fuere, ut alterius exercitus peftilentia confumeretur, alter in fqualore ac luctu diutiffime iaceret. Formofam hercule Candaules uxorem duxit: fed ab ea etiam necatus fuit. Nuptiales Helenae faces Troiam cremaverunt. Penelopes caftitas innumeros procos leto affecit. Ac

νος, πόσους νυμφίους ἀπώλεσεν; ἀπέκτεινεν Ἱππόλυτον φιλοῦσα Φαίδρα, Κλυταιμνήστρα δὲ Ἀγαμέμνονα μὴ φιλοῦσα. Ὦ πάντα τολμῶσαι γυναῖκες· κἂν φιλῶσι, φονεύουσι· κἂν μὴ φιλῶσι, φονεύουσι. Ἀγαμέμνονα ἔδει φονευθῆναι τὸν καλὸν, οὗ κάλλος οὐράνιον ἦν,

Ὄμματα καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ.

καὶ ταύτην ἀπέκοψεν, ὦ Ζεῦ, τὴν κεφαλὴν γυνή. Καὶ ταῦτα μὲν περὶ τῶν εὐμόρφων τὶς ἂν εἴποι γυναικῶν, ἔνθα καὶ μέτριον τὸ ἀτύχημα. τὸ γὰρ κάλλος ἔχει τὴν παρηγορίαν τῶν κακῶν, καὶ τοῦτό ἐστιν ἐν ἀτυχήμασιν εὐτυχεῖν. εἰ δὲ μηδὲ εὔμορφος, ὡς φῄς, ἡ συμφορὰ διπλῆ. καὶ πῶς ἄν τις ἀνάσχοιτο, καὶ ταῦτα μειράκιον οὕτω καλόν; μὴ, πρὸς θεῶν, Χαρίκλεις, μήπω μοι δοῦλος γένῃ, μηδὲ τὸ ἄνθος πρὸ καιροῦ τῆς

Phaedra quidem Hippolytum, cuius amore flagrabat; Clytaemneſtra vero Agamemnonem, quem oderat, e medio tolli curavit. O mulieres ad omne ſemper flagitium paratas! quae iis, quos diligunt, aeque pernicioſae ſunt, atque iis, quos oderunt. Quid vero cauſae fuit, quam ob rem Agamemnonem interfici oporteret, cuius pulchritudo coeleſtis erat,

Et caput, atque oculi ſimiles magno altitonanti?

Et tamen viro huiuſmodi, proh Iuppiter! caput mulier abſcidit. Ac de formoſis quidem mulieribus commemorari haec poſſint: in quarum conſuetudine mediocris infelicitas ineſt: pulchritudo enim calamitatem aliqua ex parte levat, unumque ipſa in malo bonum eſt. Verum ſi, ut tu ais, deformis ſit, duplo quidem certe maius malum ſit. Ac quo pacto quis ferre queat, tali praeſertim aetate, & forma tam bona? Ne te, per Deos, o Charicles, in ſervitutem tradas, neve florem aetatis tuae ante tempus per-

ἥβης ἀπολέσῃς. πρὸς γὰρ τοῖς ἄλλοις καὶ τοῦτό ἐστι τοῦ γάμου τὸ ἀτύχημα, μαραίνει τὴν ἀκμήν. μὴ, δέομαι, Χαρίκλεις, μήπω μοὶ μαρανθῇς· μὴ παραδῷς εὔμορφον τρυγῆσαι ῥόδον ἀμόρφῳ γεωργῷ. Καὶ ὁ Χαρικλῆς, Ταῦτα μὲν, ἔφη, καὶ θεοῖς καὶ ἐμοὶ μελήσει. καὶ γὰρ εἰς τὴν προθεσμίαν τῶν γάμων χρόνος ἐστὶν ἡμερῶν. πολλὰ δ' ἂν γένοιτο καὶ ἐν νυκτὶ μιᾷ, καὶ μετὰ σχολὴν ζητήσομεν. τὸ δὲ νῦν ἔχον, ἐφ' ἱππασίαν ἄπειμι. ἐξ οὗ γάρ μοι τὸν ἵππον ἐχαρίσω τὸν καλὸν, οὔπω σοῦ τῶν δώρων ἀπήλαυσα. ἐπικουφιεῖ δέ μοι τὸ γυμνάσιον τῆς ψυχῆς τὸ λυπούμενον. Ὁ μὲν οὖν ἀπῄει τὴν τελευταίαν ὁδὸν ὕστατα καὶ πρῶτα μελλήσων ἱππάζεσθαι.

θ'. Ἐγὼ δὲ πρὸς τὸν Κλεινίαν καταλέγω μου τὸ δρᾶμα πῶς ἐγένετο, πῶς πάθοιμι, πῶς ἴδοιμι τὴν καταγωγὴν, τὸ δεῖπνον, τὸ κάλλος τῆς κόρης. τελευτῶν δὲ τῷ λόγῳ συνίην ἀσχημονῶν· Οὐ φέρω, λέ-

ditum eas. Ad alia, quae in nuptiis mala funt, id etiam accedit, aetatis robur ut abfumant. Noli, amabo te, Charicle, noli, inquam, temet conficere, aut venuftam rofam invenufto agricolae colligendam praebere. Tum Charicles: Hoc Diis, inquit, & mihi curae fuerit: non enim, nifi poft dies aliquot, nuptiae fient. Multa vero & una nocte agi poffunt: interim nos per otium cavebimus. Nunc quod fupereft, abeo equitaturus: neque enim equo a te mihi donato hactenus ufus fum. Exercitatio haec animi moerorem levabit. Ita ille ultimum abiit, primum ac poftremum curriculum confecturus.

IX. Ego vero Cliniae, uti res meae fefe haberent, ut in amorem prolapfus effem, ut videndi mihi copia effet, narrare pergo: addo etiam diverforium, coenam, puellae pulchritudinem. Tandem abfurda loqui me fentiens: Do-

γων, Κλεινία, τὴν ἀνίαν. ὅλος γάρ μοι προσέπεσεν ὁ ἔρως, καὶ αὐτόν μου διώκει τὸν ὕπνον τῶν ὀμμάτων· πάντοτε Λευκίππην φαντάζομαι. Οὐ γέγονεν ἄλλῳ τινὶ τοιοῦτον ἀτύχημα. τὸ γὰρ κακόν μοι καὶ συνοικεῖ. Καὶ ὁ Κλεινίας· Ληρεῖς, εἶπεν, οὕτως εἰς ἔρωτα εὐτυχῶν. οὐ γὰρ ἐπ' ἀλλοτρίας θύρας ἐλθεῖν σε δεῖ, οὐδὲ διάκονον παρακαλεῖν. αὐτήν σοι δέδωκε τὴν ἐρωμένην ἡ τύχη, καὶ φέρουσα ἔνδον ἵδρυσεν. ἄλλῳ μὲν γὰρ ἐραστῇ καὶ βλέμμα μόνον ἤρκεσε τῆς ἐρωμένης παρθένου, καὶ μέγιστον τοῦτο ἀγαθὸν νενόμικεν ἐραστὴς, ἐὰν μέχρι καὶ τῶν ὀμμάτων εὐτυχῇ. οἱ δὲ εὐδαιμονέστεροι τῶν ἐραστῶν, ἂν τύχωσι κἂν ῥήματος μόνον. σὺ δὲ βλέπεις ἀεὶ, καὶ ἀκούεις ἀεὶ, καὶ συνδειπνεῖς, καὶ συμπίνεις· καὶ τούτοις εὐτυχῶν ἐγκαλεῖς; ἀχάριστος εἶ πρὸς ἔρωτος δωρεάν· οὐκ οἶδας οἷόν ἐστιν ἐρωμένη καὶ βλεπομένη, μείζονα τῶν ἔργων

lori, o Clinia, par, inquam, eſſe nequeo. Amor enim ſuum in me furorem omnem effundit, nullum ſomno locum omnino ut relinquat. Leucippe mihi perpetuo in oculis, animoque verſatur: nec quiſquam eſt, cui calamitas huiuſmodi evenerit. Malum enim mihi domi eſt. Tum Clinia: Inſani quidem certe haec, inquit, oratio eſt, cum tam felici amore fruaris: neque enim alienae tibi fores adeundae, aut internuntii adhibendi ſunt: ipſam tibi amicam fortuna nedum dedit, ſed etiam in domo ſtatuit. Alteri quidem amanti ſatis eſſet, amatae virginis adſpectu frui: maximaque illi voluptas putaretur, ſi oculos videndo exſaturare poſſet. Beatiſſimi vero illi exiſtimantur, quibus colloquendi facultas tributa ſit. Tu autem & vides & audis ſemper, unaque & es, & potas: & quamquam tam beatus es, conquereris tamen? Ingrati in amorem animi crimine laboras. An neſcis, maiorem in exoptata virgine

ἔχεις τὴν ἡδονήν. ὀφθαλμοὶ γὰρ ἀλλήλοις ἀντανακλώμενοι, ἀπομάττουσιν ὡς ἐν κατόπτρῳ τῶν σωμάτων τὰ εἴδωλα. ἡ δὲ τοῦ κάλλους ἀποῤῥοὴ, δι' αὐτῶν εἰς τὴν ψυχὴν καταῤῥέουσα, ἔχει τινὰ μίξιν ἐν ἀποστάσει. καὶ ὀλίγον ἐστὶ τῆς τῶν σωμάτων μίξεως. κενὴ γάρ ἐστι σωμάτων συμπλοκή. ἐγὼ δέ σοι καὶ τὸ ἔργον ἔσεσθαι ταχὺ μαντεύομαι. μέγιστον γάρ ἐστιν ἐφόδιον εἰς πειθὼ, συνεχὴς πρὸς ἐρωμένην ὁμιλία. ὀφθαλμὸς γὰρ φιλίας πρόξενος· καὶ τὸ σύνηθες τῆς κοινωνίας, εἰς χάριν αἰδεσιμώτερον. εἰ γὰρ τὰ ἄγρια τῶν θηρίων συνηθεία τιθασσεύεται, πολὺ μᾶλλον ταύτῃ μαλαχθείη καὶ γυνή. ἔχει δέ τι πρὸς παρθένον ἐπαγωγὸν ἡλικιώτης ἐρῶν. τὸ δὲ ἐν ὥρᾳ τῆς ἀκμῆς ἐπεῖγον εἰς τὴν φύσιν, καὶ τὸ συνειδὸς τοῦ φιλεῖσθαι, τίκτει πολλάκις ἀντέρωτα. θέλει γὰρ ἑκάστη τῶν

contemplanda voluptatem esse, quam in contrectanda? Nam dum sese oculi mutuo respectant, imagines corporum, speculorum instar, suscipiunt: pulchritudinis autem simulacra ipsis a corporibus missa, & oculorum ministerio in animam illabentia, nescio quam, seiunctis etiam corporibus ipsis, permixtionem sortiuntur, corporum congressu, qui certe inanis est, longe iucundiorem. Tibi vero ego rem brevi ex sententia processuram praenuntio. Maximum enim ad persuadendum momentum habet continuus usus. Conciliatores enim amoris oculi sunt: atque ad gratiam comparandam assidua consuetudo maximum in modum conducit: cuius quidem tanta vis est, ut feras, nedum mulieres, mansuefaciat. Iam vero aliquid etiam ad virginem illiciendam aequalis amantis aetas potest. Quod praeterea in ipso aetatis flore ad ea impellit, ad quae natura ferimur, si id etiam addatur, ut amari quaepiam se intelligat, mutuum amorem saepe gignit. Virginum enim

παρθένων εἶναι καλὴ, καὶ φιλουμένη χαίρει, καὶ ἐπαινεῖ τῆς μαρτυρίας τὸν φιλοῦντα. κἂν μὴ φιλήσῃ τὶς αὐτὴν, οὔπω πεπίστευκεν εἶναι καλή. ἓν οὖν σοι παραινῶ μόνον, ἐρᾶσθαι πιστευσάτω, καὶ ταχέως σὲ μιμήσεται. Πῶς οὖν, εἶπον, γένοιτο τοῦτο τὸ μάντευμα; δός μοι τὰς ἀφορμάς. σὺ γὰρ ἀρχαιότερος μύστης ἐμοῦ, καὶ συνηθέστερος ἤδη τῇ τελετῇ τοῦ θεοῦ. τί λέγω; τί ποιῶ; πῶς ἂν τύχοιμι τῆς ἐρωμένης; οὐκ οἶδα γὰρ ἐγὼ τὰς ὁδούς.

ι΄. Μηδὲν, εἶπεν ὁ Κλεινίας, πρὸς ταῦτα ζήτει παρ᾽ ἄλλου μαθεῖν· αὐτοδίδακτος γάρ ἐστιν ὁ θεὸς σοφιστής. ὥσπερ γὰρ τὰ ἀρτίτοκα τῶν βρεφῶν οὐδεὶς διδάσκει τὴν τροφὴν, αὐτόματα δὲ ἐκμανθάνει, καὶ οἶδεν ἐν τοῖς μαζοῖς οὖσαν αὐτοῖς τὴν τράπεζαν· οὕτω καὶ νεανίσκος ἔρωτος πρωτοκύμων, οὐ δεῖται διδασκα-

unaquaeque formofam fe effe credi vult, atque amari gaudet, amatoremque tanquam formae teftem laudibus extollit: ac fi qua eft, quae nondum fe a quopiam diligi fentiat, fefe minime formofam arbitratur. Illud unum ergo inprimis te hortor, ut omni ftudio enitare, quo fe a te amari credat: ita enim te quam primum imitabitur. At quonam pacto ea, inquam, fient, quae praenuntias? Agedum tu, quid agam, me mone. Amoris enim facris ante me initiatus es, maioreque ufu polles. Quibus dictis, factifve utar? Quo modo amatae virginis compos evadam? Rationem enim inire ipfe nefcio.

X. Tum Clinia: Minime, inquit, opus eft, ut id ex aliis difcere labores. Deus hic ipfe fibi praeceptor eft: ac quemadmodum infantes vefci nemo docet, fed per fe ipfi difcunt, paratumque fibi effe in mamillis nutrimentum intelligunt; fic adolefcentes amore tum primum praegnan-

λίας πρὸς τὸν τοκετόν. ἐὰν γὰρ ἡ ὠδὶς παραγένηται, καὶ ἐνστῇ τῆς ἀνάγκης ἡ προθεσμία, μηδὲν πλανηθῇς, κἂν πρωτοκύμων ᾖς· εὑρήσεις τεκεῖν ὑπ' αὐτοῦ μαιωθεὶς θεοῦ. ὅσα δέ ἐστι κοινὰ, καὶ μὴ τῆς εὐκαίρου τύχης δεόμενα, ταῦτα ἀκούσας, μάθε. σὺ δὲ μηδὲν εἴπῃς πρὸς παρθένον ἀφροδίσιον. τὸ δὲ ἔργον ζήτει, πῶς γένοιτο σιωπῇ. παῖς γὰρ καὶ παρθένος, ὅμοιοι μέν εἰσιν εἰς αἰδῶ· πρὸς δὲ τὴν τῆς Ἀφροδίτης χάριν, κἂν γνώμης ἔχωσιν, ἃ πάσχουσιν, ἀκούειν οὐ θέλουσιν. τὴν γὰρ αἰσχύνην κεῖσθαι νομίζουσιν ἐν τοῖς ῥήμασιν. γυναῖκας μὲν γὰρ εὐφραίνει καὶ τὰ ῥήματα· παρθένος δὲ τοὺς μὲν ἔξωθεν ἀκροβολισμοὺς τῶν ἐραστῶν εἰς πεῖραν φέρει, καὶ ἄφνω συντίθεται τοῖς νεύμασιν· ἐὰν δὲ αἰτήσεις τὸ ἔργον προσελθὼν, ἐκπλήξεις αὐτῆς τὰ ὦτα τῇ φωνῇ, καὶ ἐρυθριᾷ, καὶ μισεῖ τὸ

tes, haudquaquam magiſtro ad pariendum indigent. Si te dolor ſtimulaverit, ac dies neceſſitatem afferat, quamvis primus hic tibi partus futurus ſit, non tamen errabis: ſed pariendi tibi facultatem Deus ipſe dabit. Quae autem vulgaria ſunt, nec temporis opportunitate aliqua opus habent, ea percipe. Virginem inprimis ne de ſtupro appelles, caveto: ſed ut negotium re ipſa conficiatur, ſilentio curato. Pari enim verecundia pueri ſunt & puellae. Ac quamquam venereorum cupiditate teneantur, non tamen de iis, quae perpetiuntur, ſermonem ſecum haberi volunt, turpitudinem in verbis collocatam exiſtimantes. Quae viros expertae ſunt, verbis etiam delectantur: virgines vero amantium praeludia tentandi gratia adhibita ferunt, nutibuſque velle ſeſe ſtatim ſignificant. Itaque ſi ad venerem verbis invites, aures eius oratione illa offendes, erube-

ῥῆμα, καὶ λοιδορεῖσθαι δοκεῖ. κἂν ὑποσχέσθαι θέλει τὴν χάριν, αἰσχύνεται· τότε γὰρ πάσχειν νομίζει τὸ ἔργον, ὅτε μᾶλλον τὴν πεῖραν ἐκ τῆς τῶν λόγων ἡδονῆς ἀκούει. ἐὰν δὲ τὴν πεῖραν προσάγων τὴν ἄλλην, καὶ εὐάγωγον αὐτὴν παρασκευάσας, ἡδέως ἤδη προσέρχῃ· σιώπα μὲν οὖν τὰ πολλὰ ὡς ἐν μυστηρίοις· φίλησον δὲ προσελθὼν ἠρέμα. τὸ γὰρ ἐραστοῦ φίλημα πρὸς ἐρωμένην θέλουσαν μὲν παρέχειν, αἴτησίς ἐστι σιωπῇ, πρὸς ἀπειθοῦσαν δὲ, ἱκετηρία. κἂν μὲν προσῇ τις συνθήκη τῆς πράξεως, πολλάκις δὲ καὶ ἑκοῦσαι πρὸς τὸ ἔργον ἐρχόμεναι, θέλουσι βιάζεσθαι δοκεῖν, ἵνα τῇ δόξῃ τῆς ἀνάγκης ἀποτρέπωνται τῆς αἰσχύνης τὸ ἑκούσιον. μὴ τοίνυν ὀκνήσῃς, ἐὰν ἀνθισταμένην αὐτὴν ἴδῃς, ἀλλ' ἐπιτήρει πῶς ἀνθίσταται. σοφίας γὰρ καὶ ταῦτα δεῖ. κἂν μὲν προσκαρτερῇ, ἐπίσχες τὴν βίαν.

ſcet, averſabitur tua dicta, convicium ſibi fieri putabit: ac quo minus vel cupiens promittat, pudore praepedietur: tunc enim ipſi ſe rei operam dare arbitratur, cum maioribus verborum illecebris ad eam invitari ſe audit. Sin vero conatu aliquo alio ſenſim adhibito morigeram illam reddens iam blandiendo promte acceſſeris, multo tu quidem, ſecluſis ut in ſacris fieri ſolet, ſilentio utitor, ac paulatim appropinquans oſculum dato. Amantis enim viri oſculatio apud volentem puellam tacitae petitionis, apud nolentem precationis obtinet locum. Iam vero etſi ex compacto, ac ſaepe etiam ſponte, aliquae obſequantur, vim tamen videri ſibi allatam volunt, quo neceſſitatis opinione voluntariam turpitudinem excuſent. Licet itaque repugnantem videas, detineri tamen noli: ſed quonam modo in repugnando ſe habeat, obſerva. Prudentia enim hac quoque in re opus eſt. Ac ſi perſtare in ſententia cognoveris, vim ne adhibeto, ſed nondum perſuaſam eſſe ſcito.

οὔπω γὰρ πείθεται. ἐὰν δὲ μαλθακωτέραν ἤδη θέλῃς, χορήγησον τὴν ὑπόκρισιν, μὴ ἀπολέσῃς σου τὸ δρᾶμα.

ιά. Κἀγὼ δέ· Μεγάλα μὲν, ἔφην, ἐφόδιά μοι δέδωκας, καὶ εὔχομαι τυχεῖν, ὦ Κλεινία· φοβοῦμαι δ' ὅμως, μὴ κακῶν μοι γένοιτο τὸ εὐτύχημα μειζόνων ἀρχὴ, καὶ ἐπιτρέψῃ με πρὸς ἔρωτα πλείονα. ἂν οὖν αὐξηθῇ τὸ δεινὸν, τί δράσω; γαμεῖν μὲν οὐκ ἂν δυναίμην. ἄλλῃ γὰρ δέδομαι παρθένῳ. ἐπίκειταί δέ μοι πρὸς τοῦτον τὸν γάμον ὁ πατὴρ, δίκαια αἰτῶν, οὐ ξένην, οὐδὲ αἰσχρὰν, γῆμαι, κόρην, οὐδ' ὡς Χαρικλέα, πλούτῳ με πωλεῖ, ἀλλ' αὐτοῦ μοι δίδωσι θυγατέρα, καλὴν μὲν, ὦ θεοὶ, πρὶν Λευκίππην ἰδεῖν, νῦν δὲ καὶ πρὸς τὸ κάλλος αὐτῆς τυφλώττω, καὶ πρὸς Λευκίππην μόνην τοὺς ὀφθαλμοὺς ἔχω. ἐν μεθορίῳ κεῖμαι δύο ἐναντίων. ἔρως ἀνταγωνίζεται, καὶ πατήρ.

Tractabiliorem autem eam reddi si voles, dissimulato: neque tute tibi rem tuam perditum ito.

XI. Tum ego: Magna mihi, o Clinia, inquam, adiumenta suppeditasti: neque dubito, quin e sententia res procedat. Verum enimvero metuo, ne maiorum felicitas haec mihi malorum initium sit, atque ardentiorem me in flammam coniiciat. Quamobrem si morbus hic incrementum capiat, quid mihi agendum erit? Hanc quidem uxorem ducere non possim, propterea quod altera mihi, auctore ac suasore patre, non iniusta volente, desponsa est, minime illa quidem peregrina deformisve. Nec vero me illi, quod de Charicle fit, pater venundat: sed filiam mihi suam dat omnium, excepta Leucippe, formosissimam. Verum ego nunc, quod quidem ad illius formam spectandam attinet, oculis captus sum: neque omnino quidquam praeter Leucippen cerno. Saneque inter duo contraria ver-

ὁ μὲν ἕστηκεν αἰδοῖ[1] κρατῶν, ὁ δὲ κάθηται πυρπολῶν. πῶς κρίνω τὴν δίκην; ἀνάγκη μάχεται, καὶ φύσις, καὶ θέλω μέν σοι δικάσαι, πατὴρ, ἀλλ' ἀντίδικον ἔχω χαλεπώτερον. βασανίζει τὸν δικαστὴν, ἕστηκε μετὰ βελῶν, κρίνεται μετὰ πυρός. ἂν ἀπειθὴς ὦ[2], πάτερ, αὐτῷ, καίομαι τῷ πυρί.

ιβ'. Ἡμεῖς μὲν οὖν ταῦτα ἐφιλοσοφοῦμεν περὶ τοῦ θεοῦ· ἐξαίφνης δὲ παῖς εἰστρέχει τῶν τοῦ Χαρικλέους οἰκετῶν, ἔχων ἐπὶ τοῦ προσώπου τὴν ἀγγελίαν τοῦ κακοῦ, ὡς καὶ τὸν Κλεινίαν εὐθὺς ἀνακραγεῖν θεασάμενον· κακόν τι γέγονεν Χαρικλεῖ. Ἅμα δὲ αὐτῷ λέγοντι, συνεξεφώνησεν ὁ οἰκέτης· Τέθνηκε Χαρικλῆς. Τὸν μὲν οὖν Κλεινίαν πρὸς τὴν ἀγγελίαν ἀφῆκεν ἡ φωνὴ, καὶ ἔμεινεν ἀκίνητος· ὥσπερ τυφῶνι βεβλη-

ſor; amoris vehementia, & patris pudor, animum meum diverſe trahunt. Quî controverſiam hanc diiudicabo? Neceſſitas cum natura pugnat. Mihi quidem ſecundum te, pater, ſententiam dicere in animo eſt: ſed adverſarii potentia obſtat. Is tormenta iudici adhibet, adeſt cum ſagittis, faces tenens cauſam dicit. Niſi parebo illi, pater, flammis circumvenior.

XII. Haec de Amore Deo inter nos philoſophabamur, cum repente familiarium Chariclis unus ingreſſus eſt, adverſum nuntium vultu ipſo prae ſe ferens, ita ut eo viſo Clinia vocem hanc ſtatim miſerit: Charicli certe mali aliquid evenit. Quae verba proferre nondum finierat, cum ille: Charicles, inquit, mortuus eſt. Quo nuntio ita perculſus eſt Clinia, ut tanquam fulmine ictum vox eum mo-

1 Phaedria Ter. Andr. I, 5, 25: *Tot me impediunt curae, quae meum animum diverſe trahunt: Amor, miſericordia huius, nuptiarum ſolicitatio: Tum patris pudor.*

2 Ἂν ἀπειθὴς ὦ) Diſiunximus, quod in omnibus libris corrupte ac ſine ſenſu legebatur verbum, ἀναπειθήσω.

μένος τῷ λόγῳ. Ὁ δὲ οἰκέτης διηγεῖται· Ἐπὶ μὲν τὸν ἵππον τὸν σὸν ἐκάθισεν, ὦ Κλεινία. ὃς τὰ πρῶτα μὲν ἤλαυνεν ἠρέμα. δύο δὲ περιελθὼν ἢ τρεῖς δρόμους, τὴν ἱππασίαν ἐπέσχε, καὶ τὸν ἵππον ἱδροῦντα κατέψα καθήμενος, τοῦ ῥυτῆρος ἀμελήσας. ἀπομάττοντος δὲ τῆς ἕδρας τοὺς ἱδρῶτας, ψόφος κατόπιν γίνεται. καὶ ὁ ἵππος ἐκταραχθεὶς, πηδᾷ, ὄρθιον ἀρθεὶς, καὶ ἀλογίστως ἐφέρετο. τὸν γὰρ χαλινὸν δακὼν, καὶ τὸν αὐχένα σιμώσας, καὶ φρίξας τὴν κόμην, οἰστρηθεὶς τῷ φόβῳ, δι' ἀέρος ἵπτατο. τῶν δὲ ποδῶν οἱ μὲν ἔμπροσθεν ἥλλοντο· οἱ δὲ ὄπισθεν τοὺς πρόσθεν ἐπειγόμενοι φθάσαι, τὸν δρόμον ἐπέσπευδον, διώκοντες τὸν ἵππον. ὁ δὲ ἵππος τῇ τῶν ποδῶν κυρτούμενος ἁμίλλῃ, ἄνω τε καὶ κάτω πηδῶν πρὸς τὴν ἑκατέρων σπουδὴν, δίκην νηὸς χειμαζομένης τοῖς νώτοις ἐκυμαίνετο. ὁ δὲ κακοδαίμων Χαρικλῆς, ὑπὸ τοῦ τῆς ἱππείας ταλαντευόμενος κύματος, ἐκ τῆς ἕδρας ἐσφαιρίζετο, ποτὲ μὲν ἐπ'

tusque defecerint. Puer narrare pergens: Ascenderat, inquit, Charicles tuum in equum, Clinia, & leviter primo eum impulit: dein vero cum duos tresve cursus confecisset, sustinuit impetum equi, cui in eo sedens absterfit sudorem, remissis habenis. Dum vero madidam sudore sellam detergit, strepitus a tergo fieri: quo perterritus equus, ac sese in altum saltu dans, huc illuc incerto cursu ferri coepit: frenum enim mordens, collum intorquens, iubas quatiens, ac pavore stimulatus in aërem sustollebatur: anteriores pedes saliebant; posteriores, primos praevertere festinantes, cursum accelerabant, equumque propellebant: qui huiusmodi pedum contentione sublatus sursum, deorsumque, pro modo celeritatis eorum, instar fluctuantis navis, dorso agitabatur. Miser vero Charicles, equi impetu, ceu fluctu, vibratus sellaque deturbatus,

οὐρὰν κατολισθαίνων, ποτὲ δὲ ἐπὶ τράχηλον κυβιστῶν. ὁ δὲ τοῦ κλύδωνος ἐπίεζεν αὐτὸν χειμών. τῶν δὲ ῥυτήρων οὐκέτι κρατεῖν δυνάμενος, δοὺς δὲ ἑαυτὸν, ὅμως τῷ τοῦ δρόμου πνεύματι, τῆς τύχης ἦν. ὁ δὲ ἵππος, ῥώμῃ θέων ἐκτρέπεται τῆς λεωφόρου, καὶ ἐς ὕλην ἐπήδησεν, καὶ εὐθὺς τὸν ἄθλιον Χαρικλέα περιῤῥήγνυσι δένδρῳ. ὁ δ', ὡς ἀπὸ μηχανῆς προσαραχθεὶς, ἐκκρούεται μὲν τῆς ἕδρας, ὑπὸ δὲ τῶν τοῦ δένδρου κλάδων τὸ πρόσωπον αἰσχύνεται, καὶ τοσούτοις περιδρύπτεται τραύμασιν, ὅσαι τῶν δένδρων ἦσαν αἱ αἰχμαί. οἱ δὲ ῥυτῆρες αὐτῷ περιδεθέντες, οὐκ ἤθελον ἀφεῖναι τὸ σῶμα, ἀλλ' ἀνθεῖλκον αὐτὸν, ἐπισύροντες θανάτου τρίβον· ὁ δὲ ἵππος ἔτι μᾶλλον ἐκταραχθεὶς τῷ πτώματι, καὶ ἐμποδιζόμενος εἰς τὸν δρόμον τῷ σώματι, κατεπάτει τὸν ἄθλιον, ἐκλακτίζων τὸν δεσμὸν τῆς φυγῆς· ὥστε οὐκ ἂν αὐτόν τις ἰδὼν οὐδὲ γνωρίσειεν.

ιγ'. Ταῦτα μὲν οὖν ἀκούων ὁ Κλεινίας, ἐσίγα τι-

nunc ad caudam reiiciebatur, nunc ad collum provolvebatur, fluctuationeque huiusmodi miserum in modum vexabatur. Tandem cum habenas moderari amplius nequiret, fortunae se flatibus totum permisit. Tum vero equus vehementer incitatus, atque a recto tramite deflectens, in silvam se coniecit, miserumque adolescentulum arbori statim illisit: qui, tanquam tormento emissus, e sella deturbatus est, facie tot vulneribus deformata, quot ramorum cuspides eiectum exceperunt. Ipsum vero corpus habenis implicitum in mortis semitam raptatum fuit. Illius autem lapsu adhuc magis perterrefactus equus, & corpore, ne currere posset, impeditus, miserum pedibus conculcavit, calcibusque fugae obstaculum contrivit, ut iam nemo illum agnosceret.

XIII. His cognitis rebus Clinia stupore oppressus ali-

να χρόνον ὑπὸ ἐκπλήξεως. μεταξὺ δὲ νήψας ἐκ τοῦ κακοῦ διωλύγιον ἐκώκυσεν [1], καὶ ἐκδραμεῖν ἐπὶ τὸ σῶμα μὲν ἠπείγετο. ἐπηκολούθουν δὲ κἀγὼ, παρηγορῶν ὡς ἠδυνάμην. καὶ ἐν τούτῳ φοράδην Χαρικλῆς ἐκομίζετο, θέαμα οἴκτιστον καὶ ἐλεεινόν. ὅλος γὰρ τραῦμα ἦν· ὥστε μηδένα τῶν παρόντων κατασχεῖν τὰ δάκρυα. ἐξῆρχε δὲ τοῦ θρήνου ὁ πατὴρ, πολυτάρακτον βοῶν· Οἷος ἀπ' ἐμοῦ προελθὼν, οἷος ἐπανέρχῃ μοι, τέκνον; ὦ πονηρῶν ἱππασμάτων. οὐδὲ κοινῷ μοι θανάτῳ τέθνηκας· οὐδὲ εὐσχήμων φαίνῃ νεκρός. τοῖς μὲν γὰρ ἄλλοις τῶν ἀποθανόντων καὶ ἴχνος τῶν γνωρισμάτων διασώζεται, κἂν τὸ ἄνθος τὶς τῶν προσώπων ἀπολέσῃ, τηρεῖ τὸ εἴδωλον καὶ παρηγορεῖ τὸν λυπούμενον καθεύδοντα μιμούμενος. τὴν μὲν γὰρ ψυχὴν ἐξεῖλεν

quamdiu tacuit: deinde, tanquam impetrata a dolore venia, maximos edidit eiulatus, ac fumma cum celeritate ad cadaver fe contulit: quem ipfe quoque quibus poteram verbis confolando fecutus fum. Interea Charicles allatus eft, luctuofum fane ac miferabile fpectaculum praebens. Totus enim concifus erat, ac lacer, adeo ut eorum, qui aderant, nemo lacrimas contineret. Porro illius pater lamentationem huiufmodi magno cum gemitu ac plangore coepit: Qualis a me abifti, fili? qualis reverteris? O diram equitandi artem! Tu confueta morte mihi ereptus non fuifti: fed nec, quae mortuo conveniat, imago tibi relicta eft. Aliis in cadaveribus vel ipfa lineamentorum veftigia fervantur, quamvis vigor ex vultu abfcefferit, effigies ipfa tamen relinquitur, quae dormientem imitata dolentium moerorem levet. Animam quidem certe homini

1 Διολύγιον ἐκώκυσεν) Utraque editio vitiofe: διωλύγιον. *Bod.* Imo recte, o bone. Vide Dorvill. ad Charit. p. 278.

ὁ θάνατος. ἐν δὲ τῷ σώματι, τηρεῖ τὸν ἄνθρωπον. σοῦ δὲ ὁμοῦ καὶ ταῦτα διέφθειρεν ἡ τύχη, καί μοι τέθνηκας θάνατον διπλοῦν, ψυχῇ καὶ σώματι. οὕτως σου τέθνηκεν καὶ τῆς εἰκόνος ἡ σκιά. ἡ μὲν γὰρ ψυχή σου πέφευγεν· οὐχ εὑρίσκω δέ σε οὐδὲ ἐν τῷ σώματι· πότε μοι, τέκνον, γαμεῖς; πότε σου θύω τοὺς γάμους, ἱππεῦ, καὶ νυμφίε· νυμφίε μὲν ἀτελῆ, ἱππεῦ δὲ δυστυχῆ. τάφος μέν σοι, τέκνον, ὁ θάλαμος· γάμος δὲ ὁ θάνατος· θρῆνος ὁ ὑμέναιος· ὁ δὲ κωκυτὸς τῶν γάμων οὗτος, ᾠδαί. ἄλλο σοι, τέκνον, προσεδόκων πῦρ ἀνάψαι· ἀλλὰ τοῦτο μὲν ἔσβεσεν ἡ πονηρὰ τύχη μετὰ σοῦ· ἀνάπτει δέ σοι δᾷδας κακῶν. ὢ πονηρᾶς τῆς σῆς δᾳδουχίας· ἡ νυμφικὴ σοι δᾳδουχία ταφὴ γίγνεται.

ιδ'. Ταῦτα μὲν οὖν οὕτως ἐκώκυσεν ὁ πατήρ. ἑτέρωθεν δὲ καθ' αὑτὸν ὁ Κλεινίας· καὶ ἦν θρήνων ἅμιλλα, ἐραστοῦ καὶ πατρός· Ἐγώ μου τὸν δεσπότην ἀπο-

mors adimit: verum in corpore hominis formam relinquit. Sed tibi haec etiam a fortuna fuit erepta. Morte igitur duplici affectus es, corporis videlicet, atque animae. Ita imaginis quoque umbra commortua eſt. Spiritus ipſe quidem tuus avolavit: nec tamen in corpore te invenio. Ecquando, fili, mihi uxorem duces? Ecquando, imperfecte ſponſe atque infelix eques, nuptialia tibi ſacra celebrabo? Tibi, o fili, nunc pro thalamo ſepulcrum, pro nuptiis mors, pro hymenaeo naeniae, pro nuptiali cantu lamentationes paratae ſunt. Aliuſmodi tibi ego ignes, fili, accendere ſperabam. Sed invida illos una tecum fortuna exſtinxit, funebreſque pro iis faces excitavit. O diras faces! Nuptialis flamma in ſepulcralem tibi commutata eſt.

XIV. Ad hunc ſane modum pater conquerebatur. Clinia vero contra (lugendo enim pater atque amator certabant) ſecum ipſe ſolus: Ego quidem, inquit, hero meo

λώλεκα. τί γὰρ αὐτῷ τοιοῦτον δῶρον ἐχαριζόμην; Φιάλη γὰρ οὐκ ἦν χρυσῆ, ἣ σπένδων [πίνων] ἐχρῆτό μου τῷ δώρῳ [1] τρυφῶν; ἐγὼ δὲ ὁ κακοδαίμων ἐχαριζόμην θηρίον μειρακίῳ καλῷ, ἐκαλλώπιζον δὲ καὶ τὸ πονηρὸν θηρίον προστερνιδίοις, προμετωπιδίοις, φαλάραις ἀργυραῖς, χρυσαῖς ἡνίαις. οἴμοι Χαρίκλεις. ἐκόσμησά σου τὸν φονέα χρυσῷ. ἵππε πάντων θηρίων ἀγριώτατε, πονηρὲ καὶ ἀχάριστε καὶ ἀναίσθητε κάλλους. ὁ μὲν κατέψα σου τοὺς ἱδρῶτας, καὶ τροφὰς ἐπηγγέλλετο [2] πλείονας, καὶ ἐπῄνει τὸν δρόμον. σὺ δὲ ἀπέκτεινας ἐπαινούμενος. οὐκ ἥδου προσαπτομένου σου τοιούτου σώματος. οὐκ ἦν σοι τοιοῦτος ἱππεὺς τρυφή, ἀλλ' ἔῤῥιψας ἄστοργε τὸ κάλλος χαμαί· οἴμοι δυστυχής. ἐγὼ δέ σου τὸν φονέα, τὸν ἀνδροφόνον, ὠνησάμην.

periculum iſtud creavi. Nam quid ego illi munus eiuſmodi miſi? An non mihi aureum poculum erat, quo ſacra faciens biberet, meoque munere frui gauderet? Ego miſer belluam formoſo adoleſcenti dono dedi, eamque argenteis phaleris, aureis habenis, aliiſque cum frontis, tum pectoris ornamentis communivi. Ego, me miſerum, qui te, Charicle, perderet, auro inſignivi. O ferarum omnium immaniſſima bellua, ſceleſta, ingrata, a pulchritudinis cognitione abhorrens! Hic tibi ſudorem abſterſit, largum pabulum promiſit, curſum laudavit: tu vero laudibus affectus eum peremiſti: tu non ſolum eiuſmodi equitis onere non es laetatus; ſed etiam amoris ſenſu carens pulchritudinem humi deieciſti. O me infelicem! qui eum, a quo interficereris, emi.

1 Σπένδων — τῷ δώρῳ) Ita reſcripſimus partim e Codd. partim e coniectura. V. πίνων uncinis incluſimus, tanquam gloſſema τοῦ σπένδων.

2 Ἐπηγγέλλετο) Hoc verbum in mendo cubare videtur; niſi ad puerile ingenium referas.

ιε'. Μετὰ δὲ τὴν ταφὴν εὐθὺς ἔσπευδον ἐπὶ τὴν κόρην. ἡ δὲ ἦν ἐν τῷ παραδείσῳ τῆς οἰκίας. ὁ δὲ παράδεισος ἄλσος ἦν, μέγα τι χρῆμα πρὸς ὀφθαλμῶν ἡδονήν. καὶ περὶ τὸ ἄλσος τειχίον ἦν αὔταρκες εἰς ὕψος καὶ ἑκάστη πλευρὰ τειχίου, τέσσαρες δὲ ἦσαν πλευραὶ, κατάστεγος ὑπὸ χορῷ κιόνων. ὑπὸ δὲ τοῖς κίοσιν ἔνδον ἦν ἡ τῶν δένδρων πανήγυρις. ἔθαλλον οἱ κλάδοι, συνέπιπτον ἀλλήλοις ἄλλος ἐπ' ἄλλον, αἱ γείτονες τῶν πετάλων περιπλοκαὶ, τῶν φύλλων περιβολαὶ, τῶν κάρπων συμπλοκαί. τοσαύτη τὶς ἦν ὁμιλία τῶν φυτῶν. ἐνίοις δὲ τῶν δένδρων τῶν ἁδροτέρων, κιττὸς καὶ σμίλαξ παρεπεφύκει· ἡ μὲν ἐξηρτημένη πλατάνου, καὶ περιπυκάζουσα ῥαδινῇ τῇ κόμῃ· ὁ δὲ κιττὸς, περὶ πεύκην εἰλιχθεὶς ᾠκειοῦτο τὸ δένδρον ταῖς περιπλοκαῖς, καὶ ἐγίνετο τῷ κιττῷ ὄχημα τὸ φυτὸν, στέφανος δὲ ὁ κιττὸς τοῦ φυτοῦ. ἄμπελοι δὲ ἑκατέρωθεν τοῦ δένδρου, καλάμοις ἐποχούμεναι, τοῖς φύλλοις ἔθαλλον·

XV. Poſteaquam funeri iuſta ſoluta ſunt, ad Leucippen, quae noſtro in hortulo tum morabatur, convolavi. Nemus illic creverat adſpectu iucundiſſimo, maceriaque iuſtae altitudinis circum ingente: cuius latera quatuor, tot enim omnino erant, tecto columnis imminente operta viſebantur. Pars interior arborum ſerie conſita erat, ramis florentibus & ſeſe mutuo complicantibus, foliis autem fructibuſque inter ſe permixtis: tanta erat plantarum familiaritas. Porro maioribus quibuſdam arboribus hedera & ſmilax adnatae erant. Atque haec quidem e platano pendens, eam molli coma ſtipabat: illa vero piceae adhaerens, truncum amplexu teneriorem efficiebat. Hoc pacto arbor hederae vehiculum, hedera arbori corona erat. Ex utraque arboris parte luxuriabant harundinibus alli-

καὶ ὁ καρπὸς ὡραίαν εἶχε τὴν ἄνθην, καὶ διὰ τῆς ὀπῆς τῶν καλάμων ἐξεκρέματο, καὶ ἦν βόστρυχος τοῦ φυτοῦ. τῶν δὲ φύλλων ἄνωθεν αἰωρουμένων, ὑφ' ἡλίῳ πρὸς ἄνεμον συμμιγῆ, ὠχρὰν ἐμάρμαιρεν ἡ γῆ τὴν σκιάν. τὰ δὲ ἄνθη ποικίλην ἔχοντα τὴν χροιὰν, ἐν μέρει συνεξέφαινε τὸ κάλλος, καὶ ἦν τοῦτο τῆς γῆς πορφύρα, καὶ νάρκισσος καὶ ῥόδον· μία μὲν τῷ ῥόδῳ καὶ ναρκίσσῳ ἡ κάλυξ, ὅσον εἰς περιγραφὴν, καὶ ἦν φιάλη τοῦ φυτοῦ· ἡ χροιὰ δὲ τῶν περὶ τὴν κάλυκα φύλλων ἐσχισμένων, τῷ ῥόδῳ μὲν αἵματος, ὁμοῦ ἴων καὶ γάλακτος τὸ κάτω τοῦ φύλλου, καὶ ὁ νάρκισσος ἦν τὸ πᾶν ὅμοιον τῷ κάτω τοῦ ῥόδου. τὸ ἴον κάλυξ μὲν οὐδαμοῦ, χροιὰν δὲ οἵαν ἡ τῆς θαλάσσης ἀστράπτει γαλήνη. ἐν μέσοις δὲ τοῖς ἄνθεσι πηγὴ ἀνέβλυζεν καὶ περιεγέγραπτο τετράγωνος χαράδρα χειροποίητος τῷ

gatae vites, quarum racemi tempeſtivos flores ab ipſis harundinum foraminibus tanquam arboris cincinnos quoſdam pendentes oſtendebant. Terra autem, quam ſuperimpendentes frondes opacabant, modo hic, modo illic illuſtrabatur, dum eae ipſae frondes vento impulſae variantibus ſolis radiis aditum praeberent. Ad haec varii ſuam quiſque pulchritudinem flores certatim commonſtrabant, purpureamque narciſſus ac roſa terram efficiebant, quorum calathi, quod ad orbem attinet, perſimiles erant, plantaeque calicis vicem praeſtabant. Foliorum roſae fiſſorum pars circa pateram, ſanguinis, ac violae, inferior vero lactis colorem prae ſe ferebat. Narciſſus nihil omnino ab ima roſae parte colore diſtabat. Violae nullus quidem calathus erat, verum color is, quem tranquilli maris aquam habere cernimus. In florum medio ſcaturiens fons quadrato alveo, rivoque manu facto excipiebatur,

ῥεύματι. τὸ δὲ ὕδωρ τῶν ἀνθέων ἦν κάτοπτρον· ὡς δοκεῖν τὸ ἄλσος εἶναι διπλοῦν, τὸ μὲν τῆς ἀληθείας, τὸ δὲ τῆς σκιᾶς. ὄρνιθες δὲ, οἱ μὲν χειροήθεις περὶ τὸ ἄλσος ἐνέμοντο, οὓς ἐκολάκευον αἱ τῶν ἀνθρώπων τροφαί· οἱ δὲ ἐλεύθερον ἔχοντες τὸ πτερὸν, περὶ τὰς τῶν δένδρων κορυφὰς ἔπαιζον· οἱ μὲν ᾄδοντες τὰ ὀρνίθων ᾄσματα· οἱ δὲ τῇ τῶν πτερῶν ἀγλαϊζόμενοι στολῇ. οἱ ᾠδοὶ δὲ τέττιγες, καὶ χελιδόνες· οἱ μὲν τὴν Ἠοῦς ᾄδοντες εὐνὴν, οἱ δὲ τὴν Τηρέως τράπεζαν. οἱ δὲ χειροήθεις, ταὼς, καὶ κύκνος, καὶ ψιττακός· ὁ κύκνος, περὶ τὰς τῶν ὑδάτων πίδακας νεμόμενος, ὁ ψιττακὸς ἐν οἰκίσκῳ περὶ δένδρον κρεμάμενος, ὁ ταὼς τοῖς ἄνθεσι περισύρων τὸ πτερόν. ἀντέλαμπεν δὲ ἡ τῶν ἀνθέων θέα τῇ τῶν ὀρνίθων χροιᾷ, καὶ ἦν ἄνθη πτερῶν.

ιστ΄. Βουλόμενος οὖν εὐάγωγον τὴν κόρην εἰς ἔρωτα παρασκευάσαι, λόγον πρὸς τὸν Σάτυρον ἠρχόμην, ἀπὸ τοῦ ὄρνιθος λαβὼν τὴν εὐκαιρίαν. διαβαδίζουσα

ſpeculumque unda erat floribus, adeo, ut illic duo horti, alter re, alter umbra, eſſe viderentur. In nemore aves aliae domeſticae, humanoque cibo manſuefactae, paſcebantur; aliae liberae in arborum cacuminibus ludebant: partim quidem proprio cantu inſignes, cicadae videlicet, atque hirundines; partim vero pennarum fulgore praeſtantes, nempe pavo, cygnus, & pſittacus. Cicadae Aurorae cubile, hirundines Terei menſam canebant. Cygnus prope fontis exortum paſcebat: pſittacum pendens ab arbore cavea continebat: pavo inter flores pennas explicabat: ſed florum ſplendor cum volucrum colore contendebat. Quin immo pennae ipſae flores erant.

XVI. Puellam igitur in amoris ſenſum inducere cupiens, initium loquendi cum Satyro, ſumto a pavone ſermonis argumento, feci: forte fortuna enim cum Clio deambu-

γὰρ ἔτυχεν ἅμα τῇ Κλειοῖ, καὶ ἐπιστᾶσα τῷ ταῷ κατ' αὐτήν. ἔτυχε γὰρ τύχῃ τινὶ συμβὰν τότε τὸν ὄρνιν ἀναπτερῶσαι τὸ κάλλος, καὶ τὸ θέατρον ἐπιδεικνῦναι τῶν πτερῶν. Τοῦτο μέν τοι, οὐκ ἄνευ τέχνης ὁ ὄρνις, ἔφην, ποιεῖ, ἀλλ' ἔστι [γὰρ] ἐρωτικός· ὅταν γὰρ ἐπαγαγέσθαι θέλῃ τὴν ἐρωμένην, τότε οὕτως καλλωπίζεται. ὁρᾷς ἐκείνην τὴν τῆς πλατάνου πλησίον; δείξας θήλειαν ταῶνα. ταύτῃ νῦν οὗτος τὸ κάλλος ἐπιδείκνυται λειμῶνα πτερῶν [1]. ὁ δὲ τοῦ ταῷ λειμὼν εὐανθέστερος· πεφύτευται γὰρ αὐτῷ καὶ χρυσὸς ἐν τοῖς πτεροῖς, κύκλῳ δὲ τὸ ἁλουργὲς τὸν χρυσὸν περιθέει τὸν ἴσον κύκλον, καί ἐστιν ὀφθαλμὸς ἐν τῷ πτερῷ.

ιζ'. Καὶ ὁ Σάτυρος συνεὶς τοῦ λόγου μου τὴν ὑπόθεσιν, ἵνα μοι μᾶλλον εἴη περὶ τούτου λέγειν· Ἦ γὰρ ὁ ἔρως, ἔφη, τοσαύτην ἔχει τὴν ἰσχὺν, ὡς καὶ μέχρι

lans adversus eum constiterat, caudae ornatum casu quodam pandentem & ostentantem pennas omnibus spectandas. Atque non equidem sine arte hoc, inquam, a pavone fit: sed cum ad amandum pronus sit, dilectam a se feminam allicere cupiens, hoc sese pacto exornat. Videsne, & manu indicavi, iuxta platanum feminam illam? Ei nunc hic pulchritudinem suam, pennarum videlicet pratum, spectandam proponit. Saneque pavonis pratum hoc alio quovis longe floridius est: in eius enim pennis vel aurum nascitur, cingitur autem orbiculus aureus orbiculo purpureo, ita, ut oculum efficiat in pennis.

XVII. Tum Satyrus, cognita orationis meae sententia, quo mihi esset, unde coeptum sermonem longius producerem: Tam latene patet, inquit, amoris vis, ut avi-

1 Phile de pavone:
Λειμὼν γὰρ ἐστὶν ἡ γραφὴ τῶν ἀνθέων,
Χρυσὸς δὲ λεπτὸς ἐνσχεθεὶς τῇ πορφύρᾳ
Σμάραγδον ἁγνὸν ἐμφυτεύει.

ὀρνίθων πέμπειν τὸ πῦρ; Οὐ μέχρις ὀρνίθων, ἔφην· τοῦτο γὰρ οὐ θαυμαστόν· ἐπεὶ καὶ αὐτὸς ἔχει πτερόν· ἀλλὰ καὶ ἑρπετῶν καὶ θηρῶν καὶ φυτῶν. ἐγὼ δὲ δοκῶ μοι καὶ λίθων. ἐρᾷ γοῦν ἡ μαγνησία λίθος τοῦ σιδήρου· κἂν μόνον ἴδῃ καὶ θίγῃ, πρὸς αὐτὴν εἵλκυσεν, ὥσπερ ἐρωτικὸν ἔνδον ἔχουσα πῦρ. καὶ μή τι τοῦτό ἐστιν ἐρώσης λίθου καὶ ἐρωμένου σιδήρου φίλημα; Περὶ δὲ τῶν φυτῶν λέγουσι παῖδες σοφῶν, καὶ μῦθον ἔλεγον τὸν λόγον εἶναι, εἰ μὴ παῖδες ἔλεγον γεωργῶν. ὁ δὲ λόγος· ἄλλο μὲν ἄλλου φυτὸν ἐρᾷν·[1] τῷ δὲ φοίνικι τὸν ἔρωτα μᾶλλον ἐνοχλεῖν. λέγουσι δὲ τὸν μὲν ἄῤῥενα τῶν φοινίκων, τὸν δὲ θῆλυν. ὁ ἄῤῥην οὖν τοῦ θήλεος ἐρᾷ, κἂν ὁ θῆλυς ἀπῳκισμένος εἴη τῇ τῆς φυτείας στάσει, ὁ ἐραστὴς ὁ ἄῤῥην αὐαίνεται. συνίησιν οὖν ὁ γεωργὸς τὴν λύπην τοῦ φυτοῦ· καὶ εἰς τὴν τοῦ χωρίου πε-

bus etiam ignem immittat? Non avibus folum, inquam, hoc enim non mirum, quoniam ipfe alatus eft; fed etiam ferpentibus, & quadrupedibus, & plantis, atque, ut mihi quidem videtur, etiam faxis. Ferrum enim magnes amat, & fi modo videat, tangatve, ad fe trahit, quafi amatoriam in fe flammam contineat. Id vero an non eft amantis faxi, atque amati ferri ofculatio? Quod ad plantas attinet, philofophorum fententia eft, quam plane fabulofam putarem, nifi ei agricolae fubfcriberent, plantas alteram alterius amore capi: atque ex iis moleftiorem eum palmam fentire. Aiunt enim, earum alterum marem, feminam alteram effe. Marem igitur feminae defiderio teneri. Ac fi contingat feminam procul ab eo conferi, marem amantem arefcere. Quam ob rem agricolam plantae defiderium intelligentem editiore loco infcenfo difpice-

1 Theophr. H. P. II, 8. 9.

ριώπην ἀνελθὼν, ἐφορᾷ ποῦ νένευκεν· κλίνεται γὰρ εἰς τὸ ἐρώμενον· καὶ μαθὼν, θεραπεύει τοῦ φυτοῦ τὴν νόσον. πτόρθον γὰρ τοῦ θήλεος φοίνικος λαβὼν, εἰς τὴν τοῦ ἄῤῥενος καρδίαν ἐντίθησιν, καὶ ἀνέψυξε μὲν τὴν ψυχὴν τοῦ φυτοῦ· τὸ δὲ σῶμα ἀποθνῆσκον πάλιν ἀνεζωπύρησεν, καὶ ἐξανέστη, χαῖρον ἐπὶ τῇ τῆς ἐρωμένης συμπλοκῇ· καὶ τοῦτό ἐστι γάμος φυτῶν.

ιη΄. Γίνεται δὲ καὶ γάμος ἄλλος ὑδάτων διαπόντιος. καὶ ἔστιν ὁ μὲν ἐραστὴς ποταμὸς Ἀλφειός· ἡ δὲ ἐρωμένη, κρήνη Σικελική. διὰ γὰρ τῆς θαλάττης ὁ ποταμὸς ὡς διὰ πεδίου τρέχει. ἡ δὲ οὐκ ἀφανίζει γλυκὺν ἐραστὴν ἁλμυρῷ κύματι· σχίζεται δὲ αὐτῷ ῥέοντι, καὶ τὸ σχίσμα τῆς θαλάττης χαράδρα τῷ ποταμῷ γίνεται· καὶ ἐπὶ τὴν Ἀρέθουσαν οὕτω τὸν Ἀλφειὸν νυμφοστολεῖ. ὅταν οὖν ᾖ τῶν Ὀλυμπίων ἑορτὴ, πολλοὶ μὲν εἰς τὰς δίνας τοῦ ποταμοῦ καθιᾶσιν ἄλλος ἄλλα δῶρα· ὁ δὲ εὐθὺς πρὸς τὴν ἐρωμένην κομίζει. καὶ ταῦτά ἐστιν

re, quam in partem ſeſe inclinet, (inclinatur enim amatam feminam verſus) & cognitae illius aegritudini medelam adhibere. Feminae enim ſurculo ſumto in maris cor inſerere: itaque eius animum recreari, corpuſque moriens excitari, ac reviviſcere amatae complexu delectatum. Atque hae nuptiae plantarum ſunt.

XVIII. Aliud etiam eſt aquarum Alphei fluvii amantis, & Arethuſae fontis amatae connubium. Fluvius per mare non aliter, quam per terras, iter facit: nec dulcem eius aquam ſalſo fluctu mare imbuit: ſed diſcedit, ac praeterlabenti fluvio diſceſſus ille alvei uſum praeſtat, eoque pacto ad Arethuſam Alpheus deducitur. In quinquennali autem Olympiae celebritate multi, alius alias res, in fluvii vortices immittunt: quas ille ad amatam ſtatim defert; ea-

ἔδνα [1] *ποταμοῦ. Γίνεται δὲ καὶ ἐν τοῖς ἑρπετοῖς ἄλλο ἔρωτος μυστήριον· οὐ τοῖς ὁμοιογενέσι μόνον πρὸς ἄλληλα, ἀλλὰ καὶ τοῖς ἀλλοφύλοις. Ὁ ἔχις ὁ τῆς γῆς ὄφις εἰς τὴν σμύραιναν οἰστρεῖ. ἡ δὲ σμύραινά ἐστιν ἄλλος ὄφις θαλάσσιος, εἰς μὲν τὴν μορφὴν ὄφις, εἰς δὲ τὴν χρῆσιν ἰχθύς. Ὅταν οὖν εἰς τὸν γάμον ἐθέλωσιν ἀλλήλοις συνελθεῖν, ὁ μὲν εἰς τὸν αἰγιαλὸν ἐλθὼν συρίζει πρὸς τὴν θάλασσαν τῇ σμυραίνῃ σύμβολον· ἡ δὲ γνωρίζει τὸ σύνθημα, καὶ ἐκ τῶν κυμάτων* [2] *ἀναδύεται. ἀλλ᾽ οὐκ εὐθέως πρὸς τὸν νυμφίον ἐξέρχεται· οἶδεν γάρ, ὅτι θάνατον ἐν τοῖς ὀδοῦσι φέρει· ἀλλ᾽ ἄνεισιν εἰς τὴν πέτραν, καὶ περιμένει τὸν νυμφίον καθάραι*

que fluvii nuptialia dono ſunt. In ſerpentibus non ſolum eiuſdem, ſed etiam diverſi generis, aliud amoris arcanum invenitur. Nam vipera terreſtris ſerpens muraenae in mari degentis amore deflagrat. Eſt autem muraena forma quidem ſerpens, uſu vero piſcis. Ii cum congredi volunt, mas in litore conſiſtens, ac mare verſus ſibilans, muraenae ſignum dat. Illa, eo cognito, ex undis egreditur: non tamen ad ſponſum, cuius dentes mortiferos eſſe cognoſcit, ſtatim properat: verum ſcopulo aliquo conſcenſo illic tantiſper exſpectat, dum ille ore venenum eiecerit. In-

1 Moſchus VII, 1 ſeqq.
Ἀλφειὸς μετὰ Πῖσαν ἐπὴν κατὰ πόντον ὁδεύῃ,
Ἔρχεται εἰς Ἀρέθοισαν ἄγων κοτινηφόρον ὕδωρ,
Ἔδνα φέρων καλὰ φύλλα καὶ ἄνθεα, καὶ κόνιν ἱράν.

2 Facit ad h. l. illuſtrandum Aelianus L. I, c. 50: *Ἡ μύραινα ὅταν ὁρμῆς ἀφροδισίου ὑποπλησθῇ, πρόεισιν εἰς τὴν γῆν, καὶ ὁμιλίαν ποθεῖ νυμφίου καὶ μάλα πονηροῦ. πάρεισι γὰρ εἰς ἔχεως φωλεὸν, καὶ ἄμφω συμπλέκονται. Ἤδη δὲ, φασὶ, καὶ ὁ ἔχις οἰστρήσας καὶ ἐκεῖνος εἰς μίξιν ἀφικνεῖται πρὸς τὴν θάλατταν, καὶ οἱονεὶ κωμαστὴς σὺν τῷ αὐλῷ θυροκοπεῖ, οὕτω τοι καὶ ἐκεῖνος συρίσας τὴν ἐρωμένην παρακαλεῖ, καὶ αὐτὴ πρόεισι, τῆς φύσεως τὰ ἀλλήλων διῳκισμένα συναγούσης εἰς ἐπιθυμίαν τὴν ὁμοίαν, καὶ κοῖτον τὸν αὐτόν.* Eandem fabulam habent *Ariſtoteles* H. A. L. V, c. 10. *Oppianus* Halieut. L. I, v. 554. *Soſtratus* apud *Athen.* L. VII, p. 312. *Plinius* L. IX, Sect. 39. alii, plerique tamen eorum, ſe relata referre, addunt.

τὸ στόμα [1]. ἑστᾶσιν οὖν ἀμφότεροι πρὸς ἀλλήλους βλέποντες, ὁ μὲν ἠπειρώτης ἐραστὴς ἐξεμέση τῆς νύμφης τὸν φόβον, ἡ δὲ ἐῤῥιμμένον ἴδη τὸν θάνατον χαμαὶ, τότε καταβαίνει τῆς πέτρας, καὶ εἰς τὴν ἤπειρον ἐξέρχεται, καὶ τὸν ἐραστὴν περιπτύσσεται, καὶ οὐκέτι φοβεῖται τὰ φιλήματα.

ιθ'. Ταῦτα λέγων ἔβλεπον ἅμα τὴν κόρην, πῶς ἔχει πρὸς τὴν ἀκρόασιν τὴν ἐρωτικήν· ἡ δὲ ὑπεσήμαινε μὲν οὐκ ἀηδῶς ἀκούειν. τὸ δὲ κάλλος ἀστράπτον τοῦ ταῶ ἧττον ἐδόκει μοι τοῦ Λευκίππης εἶναι προσώπου. τὸ γὰρ τοῦ σώματος κάλλος αὐτῆς, πρὸς τὰ τοῦ λειμῶνος ἤριζεν ἄνθη· ναρκίσσου μὲν τὸ πρόσωπον ἔστιλβε χροιὰν, ῥόδον δὲ ἀνέτελλεν ἐκ τῆς παρειᾶς, ἴον δὲ ἡ τῶν ὀφθαλμῶν ἐμάρμαιρεν αὐγὴ, αἱ δὲ κόμαι βοστρυχούμεναι μᾶλλον εἱλίσσοντο κιττοῦ. Τοσοῦτος ἦν

terim continentis incola amator, & insulae habitatrix amata mutuo sese contemplantur. Cum primum igitur amans metu sponsam liberavit, illaque venenum humi proiectum videt, e scopulo in continentem delabitur, amantemque complectitur, osculationes eius minime amplius verita.

XIX. Haec dum commemorarem, quonam modo Leucippe amatoriam hanc narrationem audiendo afficeretur, observabam: quae sane non illibenter audire se subindicavit. Ceterum pavonis eximiam illam formam Leucippes vultus longe superare mihi visus est: quippe cuius pulchritudo cum prati floribus certabat. Narcissi enim in fronte, rosarum in genis color renidebat, oculorum fulgor violarum splendorem imitabatur: capillorum cincinni hederae contorsionibus implicatiores cernebantur. Ac tale

1 Καθάραι τὸ στόμα) Aelianus L. IX, c. 66, tradit idem: Μέλλον ὁ ἔχις ὁμιλεῖν αὐτῇ, ἵνα δόξῃ πρᾶος καὶ πρέπων νυμφίῳ, τὸν ἰὸν ἀπεμεῖ καὶ ἐκβάλλει, καὶ οὕτως ὑποσυρίσας τὴν νύμφην παρακαλεῖ, οἱονεὶ προγάμιόν τινα ὑμέναιον ἀναμέλψας.

Λευκίππης ἐπὶ τῶν προσώπων ὁ λειμών [1]. Ἡ μὲν οὖν μετὰ μικρὸν ἀπιοῦσα ᾤχετο. τῆς γὰρ κιθάρας αὐτὴν ὁ καιρὸς ἐκάλει. ἐμοὶ δὲ ἐδόκει παρεῖναι. ἀπελθοῦσα γὰρ τὴν μορφὴν ἐπαφῆκέ μου τοῖς ὀφθαλμοῖς. ἑαυτοὺς οὖν ἐπῃνοῦμεν ἐγώ τε καὶ ὁ Σάτυρος· ἐγὼ μὲν ἐμαυτὸν τῆς μυθολογίας, ὁ δὲ ὅτι μοι τὰς ἀφορμὰς παρέσχεν· καὶ μετὰ μικρὸν τοῦ δείπνου καιρὸς ἦν, καὶ πάλιν ὁμοίως συνεπίνομεν.

erat, quod illius facies pratum referebat. Non multo autem poſt illa illinc abiit: pulſandae enim citharae tempus eam invitaverat: nec tamen mihi non adeſſe videbatur, utpote quae meis in oculis imaginem ſuam diſcedens reliquerat. Satyrus autem atque ego noſmet ea ratione mutuo commendabamus, quod ipſe fabulas narraſſem, ille narrandi occaſionem praebuiſſet. Paulo poſt coenandi tempus venit. Priorem itaque in modum rurſus accubuimus.

1 Ναρκίσσου — λειμών) Muſaeus v. 56 - 61:

Μαρμαρυγὴν χαρίεντος ἀπαστράπτουσα προσώπου,
Οἷά τε λευκοπάρηος ἐπαντέλλουσα Σελήνη.
Ἄκρα δὲ χιονέων φοινίσσετο κύκλα παρειῶν,
Ὡς ῥόδον ἐκ καλύκων διδυμόχροον· ἦ τάχα φαίης
Ἡροῦς ἐν μελέεσσι ῥόδων λειμῶνα φανῆναι.
Χροιὴν γὰρ μελέων ἐρυθαίνετο.

Nonnus Dionyſ. XV, pag. 426:

Χιονέων μελέων ῥοδόεις ἀνεφαίνετο λειμών.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

ἍΜΑ δ' ἑαυτοὺς ἐπαινοῦντες, ἐπὶ τὸ δωμάτιον ἐβαδίζομεν τῆς κόρης, ἀκροασόμενοι δῆθεν τῶν κιθαρισμάτων· οὐδὲ γὰρ ἐδυνάμην ἐμαυτοῦ κἂν ἐπ' ὀλίγον κρατεῖν τοῦ μὴ ὁρᾷν τὴν κόρην. ἡ δὲ πρῶτον μὲν ᾖσεν Ὁμήρου [1] τὴν πρὸς τὸν λέοντα τοῦ συὸς μάχην· ἔπειτά τι καὶ τῆς ἁπαλῆς μούσης ἐλίγαινεν· ῥόδον γὰρ ἐπῄνει τὸ ᾆσμα. εἴ τις τὰς καμπὰς τῆς ᾠδῆς περιελὼν ψιλὸν ἔλεγεν ἁρμονίας τὸν λόγον, οὕτως ἂν εἶχεν ὁ λόγος· Εἰ τοῖς ἄνθεσιν ἤθελεν ὁ Ζεὺς ἐπιθεῖναι βασιλέα, τὸ ῥόδον ἂν τῶν ἀνθέων ἐβασίλευσεν. γῆς ἐστι κόσμος, φυτῶν ἀγλάϊσμα, ὀφθαλμὸς ἀνθέων, λειμῶνος ἐρύθη-

LIBER SECUNDUS.

INTEREA dum noſtrûm alter alterum laudaret, ad puellae thalamum pervenimus, eam videlicet cithara canentem audituri, a qua contemplanda ne minimum quidem continere ipſe me poteram. Illa deſcriptam ab Homero ſuis cum leone pugnam primum, aliud deinde mollius etiam, roſae ſcilicet laudes, cecinit. Ac ſi quis verba ſine numeris referre velit, huiuſmodi propemodum eſſent: Si regem floribus conſtituere Iuppiter voluiſſet, non alium certe, quam roſam, eiuſmodi honore dignatus eſſet. Haec terrae ornamentum eſt, plantarum ſplendor, oculus florum, prati rubor, flos omnium pulcherrimus. Haec amo-

1 Ὁμήρου) Iliad. Π. circa fin.
Ὡς δ' ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμῃ,
Τώ τ' ὄρεος κορυφῇσι μέγα φρονέοντε μάχεσθον
Πίδακος ἀμφ' ὀλίγης, ἐθέλουσι δὲ πιέμεν ἄμφω,
Πολλὰ δέ τ' ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφι.

μα, κάλλος ἀστράπτον. ἔρωτος πνέει, Ἀφροδίτην προξενεῖ, εὐώδεσι φύλλοις κομᾷ, εὐκινήτοις πετάλοις τρυφᾷ, τὸ πέταλον τῷ ζεφύρῳ γελᾷ. Ἡ μὲν ταῦτα ᾖδεν· ἐγὼ δὲ ἐδόκουν τὸ ῥόδον ἐπὶ τῶν χειλέων αὐτῆς ἰδεῖν, εἴ τις ὡς κάλυκος τὸ περιφερὲς εἰς τὴν τοῦ στόματος ἔκλεισε μορφήν.

β'. Καὶ ἄρτι πέπαυτο τῶν κιθαρισμάτων, καὶ πάλιν τοῦ δείπνου καιρός· ἦν γὰρ τότε ἑορτὴ προτρυγαίου Διονύσου [1]. Τὸν γὰρ Διόνυσον Τύριοι νομίζουσιν ἑαυτῶν, ἐπεὶ καὶ τὸν Κάδμου μῦθον ᾄδουσιν· καὶ τῆς ἑορτῆς διηγοῦνται πατέρα μῦθον, οἶνον οὐκ εἶναί ποτε παρ᾽ ἀνθρώποις, οὔπω παρ᾽ αὐτοῖς, οὐ τὸν μέλανα τὸν ἀνθοσμίαν, οὐ τὸν τῆς Βιβλίας ἀμπέλου, οὐ τὸν Μάρωνος τὸν Θρᾴκιον, οὐ Χῖον τὸν ἐκ Λακαίνης, οὐ τὸν Ἰκάρου [2] τὸν νησιώτην, ἀλλὰ τούτους μὲν ἅπαντας

rem ſpirat, venerem conciliat, odoratis foliis ſuperbit, tremulis frondibus luxuriat, fronſque zephyro arridet. Huiuſmodi ſane cantus illius erat. Mihi vero in ipſius labris roſam videre videbar, ut ſi quis calathi ambitum oris forma terminet.

II. Vix autem canendi finem fecerat, cum coenae tempus venit. Ac tum forte Protrygaei Dionyſi feſti dies celebrabantur: quem Deum Tyrii ſibi ipſis praeeſſe volunt. Nam & Cadmi fabulam canunt, & celebritatis eius inſtituendae originem huiuſmodi quandam tradunt, nullum videlicet olim vinum mortales habuiſſe: nondum enim nigrum, quod Anthoſmiam vocant, non Biblinum, non Maronaeum, non Chium, non Icarium repertum fuerat:

1 v. Perizon. ad Aelian. V. H. III, 41. Ceterum abſone antea legebatur: ἦν γὰρ ἑορτὴ προτρυγαίου Διονύσου. Τότε γὰρ τὸν Δ.

2 Explicat Apollodorus Bibl. L. III, p. 197 edit. Com. Διονυσον Ἰκάριος· καὶ λαμβάνει παρ᾽ αὐτοῦ κλῆμα ἀμπέλου. καὶ τὰ περὶ τὴν οἰνοποιΐαν μανθάνων, καὶ τὰς τοῦ θεοῦ δωρήσασθαι θέλων χάρι-

ἀποίκους εἶναι Τυρίων ἀνθρώπων· τὴν δὲ πρώτην παρ᾽ αὐτοῖς φῦναι τῶν οἴνων μητέρα· εἶναι γὰρ ἐκεῖ Φιλόξενόν τινα βουκόλον, οἷον τὸν Ἴκαρον Ἀθηναῖοι λέγουσιν, καὶ τοῦτον ἐνταῦθα τοῦ μύθου γενέσθαι πατέρα· ὅσον Ἀττικὸν εἶναι δοκεῖν. ἐπὶ τοῦτον ἧκεν ὁ Διόνυσος τὸν βουκόλον, ὁ δὲ αὐτῷ παρατίθησιν, ὅσα γῆ φέρει, καὶ ἅμαξα βοῶν, ποτὸν δὲ ἦν παρ᾽ αὐτοῖς οἷον καὶ ὁ βοῦς ἔπινεν. οὔπω γὰρ τὸ ἀμπέλινον ἦν. ὁ δὲ Διόνυσος καὶ ἐπαινεῖ τῆς φιλοφροσύνης τὸν βουκόλον, καὶ αὐτῷ προτείνει κύλικα φιλοτησίαν. τὸ δὲ ποτὸν οἶνος ἦν. ὁ δὲ πιὼν, ὑφ᾽ ἡδονῆς βακχεύεται, καὶ λέγει πρὸς τὸν θεόν· Πόθεν, ὦ ξένε, σοι τὸ ὕδωρ τοῦτο τὸ πορφυροῦν; πόθεν οὕτως εὗρες αἷμα γλυκύ; οὐ γάρ ἐστιν ἐκεῖνο τὸ χαμαὶ ῥέον. τὸ μὲν γὰρ εἰς τὰ στέρνα καταβαίνει, καὶ λεπτὴν ἔχει τὴν ἡδονήν· τὸ δὲ καὶ πρὸ

ſed a Tyriis ea omnia manaſſe: primamque illius procreatricem apud ſe exſtitiſſe. Fuiſſe enim illic paſtorem quendam, hoſpitalem, qualem Icarum Athenienſes memorant, qui fabulae auctor fuerit, ab Attica ſane non diſſimilis. Ad eum divertiſſe aliquando Dionyſum: cui quidem ille quaecunque terra gignit, ac boum plauſtrum, appoſuerit: potum vero ipſis non alium, quam qui bobus eſt communis, fuiſſe, quod viteus nondum apparuiſſet. Paſtoris benignitatem Dionyſum laudaviſſe, hominemque poculo vini pleno benevolentiae ergo invitaſſe. Illum, cum hauſiſſet, prae voluptate geſtire coepiſſe, atque ad Deum converſum dixiſſe: Undenam tibi, hoſpes, purpurea haec aqua eſt? aut ubi gentium tam dulcem ſanguinem reperiſti? non enim ex eo eſt, qui per terram labitur. Ille enim minima cum voluptate in pectus deſcendit: hic autem ori

τας ἀνθρώποις, ἀφικνεῖται πρός τινας ποιμένας, οἳ γευσάμενοι τοῦ ποτοῦ καὶ χωρὶς ὕδατος ἀφειδῶς δι᾽ ἡδονὴν ἐκλύσαντες πεφαρμάχθαι κομίζοντες, ἀπέκτειναν αὐτόν.

τοῦ στόματος εὐφραίνει τὰς ῥῖνας, καὶ θίγοντι μὲν ψυχρόν ἐστιν, εἰς τὴν γαστέρα δὲ καταβορὸν ἀναπνεῖ κάτωθεν πῦρ ἡδονῆς. Καὶ ὁ Διόνυσος ἔφη· Τοῦτό ἐστιν ὀπώρας ὕδωρ, τοῦτό ἐστιν αἷμα βοτρύων. ἄγει πρὸς τὴν ἄμπελον ὁ θεὸς τὸν βουκόλον, καὶ τῶν βοτρύων λαβὼν ἅμα καὶ θλίβων, καὶ δεικνὺς τὴν ἄμπελον, Τοῦτο μέν ἐστιν, ἔφη, τὸ ὕδωρ· τοῦτο δὲ ἡ πηγή. Ὁ μὲν οὖν οὕτως ἐς ἀνθρώπους παρῆλθεν, ὡς ὁ Τυρίων λόγος.

γ'. Ἑορτὴν δὲ ἄγουσιν ἐκείνην τὴν ἡμέραν ἐκείνῳ θεῷ. Φιλοτιμούμενος οὖν ὁ πατὴρ, τάτε ἄλλα παρασκευάσας εἰς τὸ δεῖπνον ἔτυχε πολυτελέστερον· καὶ κρατῆρα παρέθηκεν τὸν ἱερὸν τοῦ θεοῦ, μετὰ τὸ Γλαύκου τοῦ Χίου δεύτερον. ὑάλου μὲν τὸ πᾶν ἔργον ὀρωρυγμένης· κύκλῳ δὲ αὐτὸν ἄμπελοι περιέστεφον ἀπὸ τοῦ κρατῆρος πεφυτευμέναι. οἱ βότρυες πάντη περικρεμάμενοι· ὄμφαξ μὲν αὐτῶν ἕκαστος ὅσον ἦν κενὸς ὁ κρατήρ· ἐὰν δὲ ἐγχέῃς οἶνον, κατὰ μικρὸν ὁ βότρυς

admotus nares quoque delectat: cumque tactu frigidus ſit, in ventrem delapſus ima ex parte iucundum calorem exhalat. Tum Dionyſum reſpondiſſe: Aqua haec autumnalis, & ſanguis e racemis provenit: paſtoremque ad vitem duxiſſe, acceptiſque ac ſimul preſſis commonſtratae vitis racemis dixiſſe: Haec aqua eſt, hi autem fontes. Hoc pacto vinum mortalibus, ut Tyriorum ſermo habet, datum fuit.

III. Deo igitur illi ſacer ac ſolemnis ille dies inſtitutus fuit. Quem cum pater meus celebrare vellet, magnificam ac lautam coenam imperavit, & poculum Deo ſacrum adpoſuit, deinde alterum quoque a Glauco Chio elaboratum adhibuit. E caelato id vitro erat, eiuſque oram vites in eo ipſo natae coronabant: a quibus racemi paſſim pendebant, ſicco omnes poculo acerbi; immiſſo au-

ὑποπερκάζεται, καὶ σταφυλὴν τὸν ὄμφακα ποιεῖ. Διόνυσός τε ἐντετύπωται τῶν βοτρύων, ἵνα τὴν ἄμπελον γεωργῇ. τοῦ δὲ ποτοῦ προϊόντος ἤδη καὶ ἀναισχύντως ἐς αὐτὴν ἑώρων. Ἔρως δὲ καὶ Διόνυσος, δύο βίαιοι θεοὶ [1], ψυχὴν κατασχόντες, ἐκμαίνουσιν εἰς ἀναισχυντίαν, ὁ μὲν καίων αὐτὴν τῷ συνήθει πυρὶ, ὁ δὲ τὸν οἶνον ὑπέκκαυμα φέρων. οἶνος γὰρ ἔρωτος τροφή. Ἤδη δὲ καὶ αὐτὴ περιεργότερον εἰς ἐμὲ βλέπειν ἐθρασύνετο, καὶ ταῦτα μὲν ἡμῖν ἡμερῶν ἐπράττετο δέκα. καὶ πλέον τῶν ὀμμάτων ἐκερδαίνομεν ἢ ἐτολμῶμεν οὐδέν.

δ'. Κοινοῦμαι δὴ τῷ Σατύρῳ τὸ πᾶν, καὶ συμπράττειν ἠξίουν. ὁ δὲ ἔλεγε καὶ αὐτὸς μὲν ἐγνωκέναι πρὶν παρ' ἐμοῦ μαθεῖν· ὀκνεῖν δὲ ἐλέγχειν, βουλόμενον

tem vino paulatim rubentes, & maturi: quos inter Dionysus, ut vitem coleret, effictus erat. Ceterum, gliscente potu, puellam impudenter intuebar. Amor enim ac Liber, violenti Dii, animam invadentes, eousque incendunt, ut pudoris oblivisci cogant, dum alter consuetum ignem adhibet, alter igni materiam vino subministrat: vinum enim amoris pabulum est. Iam vero & ipsa puella accuratius intueri me ausa est. Atque ad eum modum dies nobis decem consumti sunt: quibus nihil aliud, praeter oculorum coniectus, alter ab altero recepimus, aut attentare ausi fuimus.

IV. Tandem Satyro rem omnem patefeci, atque, ut mihi opem ferret, obsecravi. Ille autem: Omnia, inquit, prius, quam ex te intelligerem, cognovi: sed indicium facere distuli, quia id nescire credi volebam. Clandestinus

1 Propert. I, 3, 13:
Et quamvis duplici correptum ardore iuberent,
Hac Amor, hac Liber, durus uterque Deus.

λαθεῖν. ὁ γὰρ μετὰ κλοπῆς ἐρῶν, ἂν ἐλεγχθῇ πρός τινος, ὡς ὀνειδίζοντα τὸν ἐλέγξαντα μισεῖ. ἤδη δὲ, ἔφη, καὶ τὸ αὐτόματον ἡμῶν προὐνόησεν [ἡ τύχη] [1]. ἡ γὰρ τὸν θάλαμον αὐτῆς πεπιστευμένη Κλειὼ, κεκοινώνηκέ μοι, καὶ ἔχει πρός με ὡς ἐραστήν. Ταύτην παρασκευάσω κατὰ μικρὸν πρὸς ἡμᾶς οὕτως ἔχειν, ὡς καὶ συναίρεσθαι πρὸς τὸ ἔργον. δεῖ δέ σε καὶ τὴν κόρην, μὴ μέχρι τῶν ὀφθαλμῶν μόνον πειρᾷν, ἀλλὰ καὶ ῥῆμα δριμύτερον εἰπεῖν. Τότε δὲ πρόσαγε τὴν δευτέραν μηχανήν. θίγε χειρὸς, θλίψον δάκτυλον, θλίβων στέναξον. ἢν δὲ ταῦτα σοῦ ποιοῦντος καρτερεῖ καὶ προσίηται, σὸν ἔργον ἤδη, δέσποιναν τε καλεῖν, καὶ φιλῆσαι τράχηλον. Πιθανῶς μὲν, ἔφην, νὴ τὴν Ἀθηνᾶν, εἰς τὸ ἔργον παιδοτριβεῖς· δέδοικα δὲ μὴ ἄτολμος ὢν καὶ δειλὸς ἔρωτος ἀθλητὴς γένωμαι. Ἔρως, ὦ γεν-

enim amans, ſi quis eius amorem indicet, indicem quaſi maledicum aliquem conviciatorem odio proſequi conſuevit. Ceterum noſtri curam fortuna ſponte ſuſcepit. Etenim Clio, cui puellae thalamus creditus eſt, me in amicitiam recepit, atque amantis loco habet. Ego brevi rem inter vos ita componam, ut ad negotium conficiendum ipſa opem praeſtet. Verum de puellae voluntate ſolis oculis periculum facere ſatis non eſt: ſed efficacius aliquid loqui oportet, ibique machinam etiam alteram adhibere: itaque manum tange, digitos conſtringe, atque inter conſtringendum ſuſpira: ſi haec agentem aequo te animo feret, neque facta huiuſmodi aſpernabitur, tum vero dominam appella, eiuſque collum ſuaviare. Appoſite tu quidem, inquam, ita me ſervet Pallas, ad eam me rem inſtituis. Sed vereor, ne, qua ſum animi imbecillitate, minus ſtrenuus amoris miles ſim. Tum Satyrus: Ignaviam, o generoſe

1 Ἡ τύχη) Superflua mihi videtur. Paullo inferius dicitur τὸ αὐτόματόν μοι συνήργησε.

ναῖε, ἔφη, δειλίας οὐκ ἀνέχεται. ὁρᾷς αὐτοῦ ὡς ἐστι στρατιωτικὸν τὸ σχῆμα; τόξον καὶ φαρέτρα, καὶ βέλη, καὶ πῦρ, ἀνδρεῖα πάντα, καὶ τόλμης γέμοντα. τοιοῦτον οὖν ἐν σεαυτῷ θεὸν ἔχων, δειλὸς εἶ καὶ φοβῇς; ὅρα μὴ καταψεύσῃ τοῦ θεοῦ. ἀρχὴν δέ ἐγώ σοι παρέξω. τὴν Κλειὼ γὰρ ἀπάξω μάλιστα ὅταν ἐπιτήδειον εἰδῶ καιρὸν, τοῦ σὲ τῇ παρθένῳ δύνασθαι καθ' αὑτὸν συνεῖναι μόνῃ.

έ. Ταῦτ' εἰπὼν, ἐχώρησεν ἔξω τῶν θυρῶν· ἐγὼ δὲ κατ' ἐμαυτὸν γενόμενος, καὶ ὑπὸ τοῦ Σατύρου παροξυνθεὶς, ἤσκουν ἐμαυτὸν εἰς εὐτολμίαν πρὸς τὴν παρθένον· Μέχρι τίνος, ἄνανδρε, σιγᾷς; τί δὲ δειλὸς εἶ στρατιώτης ἀνδρείου θεοῦ; τὴν κόρην προσελθεῖν σοι περιμένεις; Εἶτα προσετίθην· Τί γὰρ, ὦ κακόδαιμον, οὐ σωφρονεῖς; τί δὲ οὐκ ἐρᾷς, ὧν σε δεῖ; παρθένον ἔνδον ἔχεις ἄλλην καλήν. ταύτης ἔρα, ταύτην βλέπε,

vir, Cupido, inquit, non ſuſtinet. An non tu illum militari ornatu incedere, ſagittaſque, pharetram, iaculum, ignem, virilia & audaciae plena omnia eſſe proſpicis? an tu tali Deo plenus obtorpeas & expaveſcas? Cave, ne falſo te amantem praedices. Ego tibi rem incoeptam dabo. Clio enim, ſimulac tempus ad puellam remotis arbitris conveniendam idoneum perſpexero, alio dimittam.

V. Quae cum dixiſſet, abiit. Ipſe autem ſolus relictus, ac Satyri verbis exſtimulatus, ita me componere conabar, ut ne, in puellae conſpectum veniens, animo deficerem; mecumque, Quouſque, inquam, effeminate, obmuteſces? quid tam potentis Dei miles tantopere obtorpeſcis? venturamne ad te illam exſpectas? Non multo autem poſt contrariam in ſententiam haec addebam: Atqui cur non reſipiſcis, infelix? quin illam potius, quam par eſt, virginem diligis? aliam domi habes non deformem; illam ama, il-

ταύτην ἔξεστί σοι γαμεῖν. Ἐδόκουν πεπεῖσθαι. κάτωθεν δὲ, ὥσπερ ἐκ τῆς καρδίας, ὁ ἔρως ἀντεφθέγγετο· Ναὶ, τολμηρὲ, κατ' ἐμοῦ στρατεύῃ καὶ ἀντιπαρατάττῃ; ἵπταμαι, καὶ τοξεύω, καὶ φλέγω. πῶς δυνήσῃ με φυγεῖν; ἂν φυλάξῃ μου τὸ τόξον, οὐκ ἔχεις φυλάξασθαι τὸ πῦρ· ἂν δὲ καὶ ταύτην κατασβέσῃς σωφροσύνῃ τὴν φλόγα, αὐτῷ σε καταλήψομαι τῷ πτερῷ.

ςτ'. Ταῦτα διαλεγόμενος ἔλαθον ἐπιστὰς ἀπροοράτως τῇ κόρῃ, καὶ ὠχρίασά τε ἰδὼν ἐξαίφνης· εἶτα ἐφοινίχθην. μόνη δὲ ἦν, καὶ οὐδὲ ἡ Κλειὼ συμπαρῆν. ὅμως οὖν ὡς ἂν τεθορυβημένος, οὐκ ἔχων ὅ, τι εἴπω· Χαῖρε, ἔφην, δέσποινα. Ἡ δὲ μειδιάσασα γλυκὺ, καὶ ἐμφανίσασα διὰ τοῦ γέλωτος, ὅτι συνῆκε, πῶς εἶπον τὸ Χαῖρε δέσποινα, εἶπεν· Ἐγὼ σή; μὴ τοῦτ' εἴπῃς·

lam contemplare, illam te in uxorem habere ius eſt. Itaque mihi perſuaſus eſſe videbar. Verum contra tanquam ex imo cordis Amor reſpondebat: An igitur tantum tibi ſumis, ut contra me arma feras, mihique reſiſtere audeas? Mihi ad volandum pennae, ad vulnerandum ſagittae, ad exurendum faces datae ſunt. Quonam te modo evaſurum ſperas? Ut ſagittarum ictus declines, faces tu quidem certe nunquam evitabis. Quod ſi earum flammis temperantiae ſcutum opponas, volatu profecto te comprehendam.

VI. Haec dum mecum ſolus loquerer, puellae me obviam improviſo factum animadverti, eaque viſa ſtatim expallui: mox rubore perſuſus ſum. Illa tum ſola erat: receſſerat enim etiam Clio. Quamquam igitur animo perculſo & abiecto, quid dicere non habebam, tamen: Salve, inquam, hera. Tum illa ſuaviter ridens, & riſu, quorſum ea ſalutatio ſpectaret, intellexiſſe ſignificans, Tuane ego, inquit, hera? Ah, non aequum dicis. Anne Deus

καὶ μὴν, πέπρακέν σέ τις μοὶ θεῶν, ὥσπερ καὶ τὸν Ἡρακλέα τῇ Ὀμφάλῃ; Τὸν Ἑρμῆν λέγεις· τούτῳ τὴν πρᾶσιν ἐκέλευσε ὁ Ζεύς. Καὶ ἅμα ἐγέλασεν. Ποῖον Ἑρμῆν; Τί ληρεῖς, εἶπον, εἰδυῖα σαφῶς ὃ λέγω; Ὡς δὲ περιέπλεκον λόγους ἐκ λόγων, τὸ αὐτόματόν μοι συνήργησε.

ζ'. Ἔτυχε τῇ προτεραίᾳ ταύτης ἡμέρᾳ περὶ μεσημβρίαν ἡ παῖς ψάλλουσα κιθάρᾳ· ἐπιπαρῆν δὲ αὐτῇ· καὶ ἡ Κλειὼ καὶ παρεκάθητο· διεβάδιζον δὲ ἐγὼ, καί τις ἐξαίφνης μέλιττά ποθεν ἱπτᾶσα τῆς Κλειοῦς ἐπάταξε τὴν χεῖρα. καὶ ἡ μὲν ἀνέκραγεν· ἡ δὲ παῖς ἀναθοροῦσα, καὶ καταθεμένη τὴν κιθάραν κατενόει τὴν πληγήν· καὶ ἅμα παρῄνει, λέγουσα, μηδὲν ἄχθεσθαι· παύσειν γὰρ αὐτὴν τῆς ἀλγηδόνος δύο ἐπᾴσασαν ῥήματα· διδαχθῆναι γὰρ αὐτὴν ὑπό τινος Αἰγυπτίας εἰς πληγὰς σφηκῶν καὶ μελιττῶν. καὶ ἅμα

te, inquit, nescio quis, mihi, quemadmodum Herculem Omphalae, vendidit? Tum ego: Mercurium, inquam, dicis. Siquidem ei auctionem Iuppiter demandavit. Simulque risit. Quem Mercurium? ait. Quas nugas ais, inquam; cum probe, quid dixerim, perceperis? Interea, dum sermones sermonibus texerem, auxilio mihi casus quidam fuit.

VII. Forte fortuna pridie eius diei circiter meridiem Leucippe citharam pulsabat. Aderam vero & ipse, Clioque illi assidebat. Ibi tum me deambulante apicula quaedam, aliunde improviso advolans, Clionis manum pupugit: quae cum eiulasset, puella surrexit, depositaque cithara, vulnus inspexit, ac bono animo esse iussit, dolorem se, inquiens, duobus verbis abstersuram: didicisse enim ab Aegyptia quadam muliere, vesparum apumque morsibus mederi:

ἐπῆδε· καὶ ἔλεγεν ἡ Κλειὼ, μετὰ μικρὸν ῥάων γεγονέναι. Τότε οὖν κατὰ τύχην μέλιττά τις ἢ σφὴξ περιβομβήσασα, κύκλῳ μου τὸ πρόσωπον παρέπτη. κἀγὼ λαμβάνω τὸ ἐνθύμιον, καὶ τὴν χεῖρα ἐπιβάλλων τοῖς προσώποις, προσεποιούμην πεπλῆχθαι καὶ ἀλγεῖν. ἡ δὲ παῖς προσελθοῦσα, εἷλκε τὴν χεῖρα, καὶ ἐπυνθάνετο ποῖ ἐπατάχθην· κἀγώ· Κατὰ τοῦ χείλους, ἔφην. ἀλλὰ τί οὐκ ἐπᾴδεις, φιλτάτη; Ἡ δὲ προσῆλθέ τε, καὶ ἀνέθηκεν, ὡς ἐπᾴσουσα, τὸ στόμα· καί τι ἐψιθύριζεν, ἐξ ἐπιπολῆς ψαύουσά μου τῶν χειλέων· κἀγὼ κατεφίλουν, σιωπῇ κλέπτων τῶν φιλημάτων τὸν ψόφον. ἡ δὲ ἀνοίγουσα καὶ κλείουσα τῶν χειλέων τὴν συμβολὴν, τῷ τῆς ἐπῳδῆς ψιθυρίσματι φιλήματα ἐποίει τὴν ἐπῳδήν· κἀγὼ τότε ἤδη περιβαλὼν φανερῶς κατεφίλουν· ἡ δὲ διασχοῦσα· Τί ποιεῖς; ἔφη· καὶ σὺ κατεπᾴδεις; Τὴν ἐπῳδὴν, εἶπον, φιλῶ,

ac ſimul excantavit: meliuſculeque ſibi eſſe paulo poſt Clio confeſſa eſt. Tunc igitur caſus attulit, ut apis, forte vero etiam veſpa quaedam, ſuſurrans faciem meam volitando circumiret. Occaſione itaque inde arrepta, manuque ori admota, vulnus accepiſſe, & dolorem ſentire me finxi. Quamobrem accurrens virgo manum removit, &, quae pars laeſa eſſet, rogavit. Ego vero, labra, reſpondi: tu autem, cariſſima Leucippe, cur non excantas? Tum illa tanquam excantatura os admovit, & labiorum meorum extrema contingens neſcio quid immurmuravit. Interea ipſe oſcula furtim nullo edito ſono dabam. Sed & puella, dum in pronuntianda cantione labra nunc aperiret, nunc clauderet, efficiebat, ut cantio in baſia commutaretur. Itaque tum ego eam complectens palam ſuaviatus ſum. Illa vero retrocedens, Quid, inquit, agis? num tu etiam excantas? Atqui cantionem, inquam, exoſcu-

ὅτι μου τὴν ὀδύνην ἰάσω. Ὡς δὲ συνῆκεν, ὃ λέγω, καὶ ἐμειδίασεν, θαρσήσας, εἶπον· Οἴμοι, φιλτάτη· πάλιν τέτρωμαι χαλεπώτερον· ἐπὶ γὰρ τὴν καρδίαν κατέῤῥευσε τὸ τραῦμα, καὶ ζητεῖ σου τὴν ἐπῳδήν. εἴ που καὶ σὺ μέλιτταν ἐπὶ τοῦ στόματος φέρεις; καὶ γὰρ μέλιτος γέμεις, καὶ τιτρώσκει σοῦ τὰ φιλήματα. ἀλλὰ δέομαι, κατέπασον αὖθις· καὶ μὴ ταχὺ τὴν ἐπῳδὴν παραδράμῃς, μὴ πάλιν ἀγριάνῃς τὸ τραῦμα. Καὶ ἅμα λέγων, τὴν χεῖρα βιαιότερον περιέβαλλον, καὶ ἐφίλουν ἐλευθεριώτερον. ἡ δὲ ἠνείχετο, κωλύουσα δῆθεν.

η΄. Ἐπὶ τούτῳ πόῤῥωθεν ἰδόντες προσιοῦσαν τὴν θεράπαιναν διελυόμεν, ἐγὼ μὲν ἄκων καὶ λυπούμενος, ἡ δ' οὐκ οἶδ' ὅπως. ῥάων οὖν ἐγεγόνειν, καὶ μεστὸς ἐλπίδων. ᾐσθόμην δὲ ἐπικαθημένου μοι τοῦ φιλήματος ὥσπερ σώματος, καὶ ἐφύλαττον ἀκριβῶς ὡς θη-

lor, quoniam ea tu dolorem mihi omnem eripuiſti. Quae cum intellexiſſet ſubriſiſſetque, animus mihi acceſſit, ac ſubito: Heu mihi, cariſſima Leucippe, inquam, rurſum atque acerbius pungor: aculeus enim ad cor uſque penetravit, excantationemque tuam expoſcit. Apem certe tu quoque in ore geſtas: nam & mellis plena es, & baſia tua vulnus imponunt. Quare iterum, quaeſo, excanta: ſed tam cito cantionem abſolvere noli, ne vulnus recrudeſcat. Atque inter loquendum manu validiore complexus, liberiuſque oſculatus ſum. Illa, tametſi repugnare videretur, ſuſtinuit tamen.

VIII. Interea procul venientem ancillam conſpicati, alius alio ſeceſſimus: ego quidem perinvitus ac triſtis; illa vero qua mente, haud ſane noram. Ex illo melius mihi eſſe, ac ſpes augeri coepit; planeque baſium in labris meis, quaſi corporeum aliquid relictum reſidere ſentiebam, &

σαυρὸν τὸ φίλημα τηρῶν ἡδονῆς, ὃ πρῶτόν ἐστιν ἐραστῇ γλυκύ. καὶ γὰρ ἀπὸ τοῦ καλλίστου τῶν τοῦ σώματος ὀργάνων τίκτεται· στόμα γὰρ φωνῆς ὄργανον· φωνὴ δὲ ψυχῆς σκιά. αἱ γὰρ τῶν στομάτων συμβολαὶ κιρνάμεναι, καὶ πέμπουσαι κατὰ τῶν στέρνων τὴν ἡδονὴν, ἕλκουσι τὰς ψυχὰς πρὸς τὰ φιλήματα. οὐκ οἶδα δὲ οὕτω πρότερον ἡσθείσης τῆς καρδίας. καὶ τότε πρῶτον ἔμαθον ὅτι μηδὲν ἐρίζει πρὸς ἡδονὴν φιλήματι ἐρωτικῷ.

θʹ. Ἐπειδὴ δὲ τοῦ δείπνου καιρὸς ἦν, πάλιν ὁμοίως συνεπίνομεν. ᾠνοχόει δὲ ὁ Σάτυρος ἡμῖν, καί τι ποιεῖ ἐρωτικόν. διαλλάσσει τὰ ἐκπώματα, καὶ τὸ μὲν ἐμὸν τῇ κόρῃ προστίθησι, τὸ δὲ ἐκείνης ἐμοί· καὶ ἐγχέων ἀμφοτέροις, καὶ ἐγκερασάμενος ὤρεγεν. ἐγὼ δὲ ἐπιτηρήσας τὸ μέρος τοῦ ἐκπώματος ἔνθα τὸ χεῖλος ἡ κόρη πίνουσα προσέθιγεν, ἐναρμοσάμενος ἔπινον, ἀπο-

dulcedinem eius, ceu thefaurum quempiam, diligenter cuftodiebam. Id enim eft, quod primum amanti dulce accidit, cum a formofiffima & praeftantiffima corporis parte procreetur. Os enim inftrumentum vocis eft: vox autem animi umbra. Labiorum porro contactus dum voluptatem in praecordiis ferunt, animos ad fefe mutuo fuaviandum trahunt. Nec vero talem unquam antea fenfibus meis motum allatum fuiffe, nec me quidquam aliud, quod cum amatorio fuavio dulcedine contenderet, cognofcere memini.

IX. Pofteaquam coenandi tempus rediit, rurfum accubuimus. Satyrufque, qui nobis vinum mifcebat, amatorium nefcio quid tum praeftitit. Nam poculum Leucippes cum meo, dum utrique miniftraret, commutabat. Ego, qua parte bibens Leucippe labra fcypho admoverat, obfervans, eamque ori meo inferens, ac miffum ad me of-

στολιμαῖον τοῦτο φίλημα ποιῶν, καὶ ἅμα κατεφίλουν τὸ ἔκπωμα. ὡς δὲ εἶδεν ἡ παρθένος, συνῆκεν ὅτι τοῦ χείλους αὐτῆς καταφιλῶ καὶ τὴν σκιάν. ἀλλ' ὅγε Σάτυρος συμφυράσας πάλιν τὰ ἐκπώματα ἐνήλλαξεν ἡμῶν. τότε ἤδη καὶ τὴν κόρην εἶδον τὰ ἐμὰ μιμουμένην, καὶ τὰ αὐτὰ πίνουσαν· καὶ ἔχαιρον ἤδη πλέον. καὶ τρίτον ἐγένετο τοῦτο, καὶ τέταρτον· καὶ τὸ λοιπὸν τῆς ἡμέρας οὕτως ἀλλήλοις προεπίνομεν τὰ φιλήματα.

ι΄. Μετὰ δὲ τὸ δεῖπνον ὁ Σάτυρός μοι προσελθὼν, ἔφη· Νῦν μὲν ἀνδρίζεσθαι καιρός. ἡ γὰρ μήτηρ τῆς κόρης, ὡς οἶσθα, μαλακίζεται, καὶ καθ' ἑαυτὴν ἀναπαύεται· μόνη δὲ ἡ παῖς βαδιεῖται κατὰ τὰ εἰθισμένα τῆς Κλειοῦς ἑπομένης, πρὶν ἐπὶ τὸν ὕπνον τραπῆναι. ἐγὼ δέ σοι καὶ ταύτην ἀπάξω διαλεγόμενος. Ταῦτα εἰπὼν, τῇ Κλειοῖ μὲν αὐτὸς, ἐγὼ δὲ τῇ παιδὶ διαλα-

culum confingens, bibebam, ſimulque poculum ſuaviabar. Id quod animadvertens puella, ſuorum etiam me labiorum veſtigia oſculari iudicavit: cumque adminiſtrator pocula nobis rurſum commutaſſet, illam factum meum imitantem, eodemque modo bibentem animadverti: eoque maiorem etiam voluptatem cepi. Nec vero ſemel factum id a nobis fuit; ſed tertio etiam, ac quarto: deincepſque diei reliquum alter alteri baſia viciſſim propinantes conſumſimus.

X. Abſoluta coena conveniens me Satyrus: Nunc tempus eſt, inquit, virum ut te oſtendas. Puellae mater, ut noſti, minus belle habet, ac ſola cubitum ivit. Puella prius, quam in lecto ſe collocet, una tantummodo cum Clione, eo, quo ſolet, ſe conferet: verum ego eam colloquendo abducam. Sub haec verba ille Clionem, ego

χόντες ἐφηδρεύομεν [1]. καὶ οὕτως ἐγένετο. ἀπεσπάσθη μὲν ἡ Κλειὼ, ἡ δὲ παρθένος ἐν τῷ περιπάτῳ καταλέλειπτο. ἐπιτηρήσας οὖν ὅτε τοῦ φωτὸς τὸ πολὺ τῆς αὐγῆς ἐμαραίνετο, πρόσειμι θρασύτερος γενόμενος πρὸς αὐτὴν ἐκ τῆς πρώτης προσβολῆς, ὥσπερ στρατιώτης ἤδη νενικηκὼς, καὶ τοῦ πολέμου καταπεφρονηκώς· πολλὰ γὰρ ἦν τὰ τότε ὁπλίζοντά με θαῤῥεῖν· οἶνος, ἔρως, ἐλπὶς, ἐρημία· καὶ οὐδὲν εἰπὼν, ἀλλ' ὡς ἐπὶ συγκείμενον ἔργον, ὡς εἶχον, περιχυθεὶς, τὴν κόρην κατεφίλουν. ὡς δὲ καὶ ἐπεχείρουν τι προὔργου ποιεῖν, ψόφος τὶς ἡμῶν κατόπιν γίγνεται. καὶ ταραχθέντες, ἀνεπηδήσαμεν. καὶ ἡ μὲν ἐπέκεινα τρέπεται τὴν ἐπὶ τὸ δωμάτιον αὐτῆς· ἐγὼ δὲ ἐπὶ θάτερα σφόδρα ἀνιώμενος, ἔργον οὕτω καλὸν ἀπολέσας, καὶ τὸν ψόφον λοιδορῶν. Ἐν τούτῳ δὲ καὶ ὁ Σάτυρος ὑπαντιάζει με φαιδρῷ τῷ

Leucippen obſervabamus, reſque e ſententia proceſſit: nam & Clio abducta eſt, & Leucippe in ambulatione remanſit. Ergo veſpertini temporis adventu obſervato, priore ſucceſſu audentior factus, ad eam, quaſi miles iam victor, & pugnae pericula nihili faciens, me contuli: multa enim erant, quibus armatus confidebam, nempe vinum, amor, ſpes, ſolitudo: tacituſque, quaſi ex compacto ita res ageretur, puellam circumplexus baſiavi: cumque praeſtabilius aliquid etiam facere aggreſſus eſſem, ſtrepitus quidam poſt nos auditus fuit. Quamobrem perturbati diſſiluimus, Leucippeque intra cubiculum ſuum, ego aliam in partem me recepi, ſane quam triſtis, tam praeclara occaſione amiſſa, ſtrepitumque deteſtatus ſum. Interea laeto vultu fit mihi obviam Satyrus: qui mihi quae a no-

1 Διαλαχόντες ἐφηδρεύομεν) In ſcriptis, excepto Anglicano, cui editio conſentit, διαλλάττοντες. Non male.

προσώπῳ. καθορᾶν γάρ μοι ἐδόκει ὅσα ἐπράττομεν, ὑπό τινι τῶν δένδρων λοχῶν, μή τις ἡμῖν ἐπέλθῃ. καὶ αὐτὸς ἦν ὁ ποιήσας τὸν ψόφον, προσιόντα θεασάμενός τινα.

ια'. Ὀλίγων δὲ ἡμερῶν διελθουσῶν, ὁ πατήρ μοι τοὺς γάμους συνεκρότει θᾶττον ἢ διεγνώκει. ἐνύπνια γάρ αὐτὸν διετάραττε πολλά. ἔδοξεν ἄγειν ἡμῶν τοὺς γάμους, ἤδη δὲ ἅψαντος αὐτοῦ τὰς δᾷδας, ἀποσβεσθῆναι τὸ πῦρ, καὶ μᾶλλον ἠπείγετο συναγαγεῖν ἡμᾶς. Τοῦτο δὲ εἰς τὴν ὑστεραίαν παρεσκευάζετο. ἐώνητο δὲ τῇ κόρῃ τὰ πρὸς τὸν γάμον· περιδέραιον μὲν λίθων ποικίλων· ἐσθῆτα δὲ τὸ πᾶν μὲν πορφυρᾶν· ἔνθα δὲ ταῖς ἄλλαις ἐσθῆσιν ἡ χώρα τῆς πορφύρας, ἐκεῖ χρυσὸς ἦν. ἤριζον δὲ πρὸς ἀλλήλων οἱ λίθοι. ὑάκινθος μὲν, ῥόδον ἦν ἐν λίθῳ· ἀμέθυστος δὲ ἐπορφύρετο τοῦ

bis acta fuerant, omnia vidisse videbatur, dum sub arbore quadam, ne quis nobis superveniret, observabat: quin immo ille ipse venientem, nescio quem, conspicatus, strepitum ediderat.

XI. Elapsis paucis post diebus pater, citius quidem omnino quam constituerat, nuptiis meis operam dare coepit. Multa enim hominem insomnia perterrebant. Namque illas adornare sibi visus est, ignemque, dum nuptiales faces accendisset, exstingui: eoque magis, ut nos iungeret, properavit. Nuptiis igitur, quae tum secutura erat, dicta est dies. Iam in sponsae ornatum necessaria omnia comparata fuerant, monile scilicet variis lapillis distinctum, vestis purpurea tota, nisi quod ea pars, quae in aliis purpura constat, ex auro texta erat. Porro lapilli de pulchritudine inter se contendebant. Hyacinthus lapidea quodammodo rosa erat: amethystus purpurascens ad auri prope

χρυσοῦ πλησίον. ἐν μέσῳ δὲ τρεῖς ἦσαν λίθοι, τὴν χροίαν ἐπάλληλοι· συγκείμενοι δὲ ἦσαν οἱ τρεῖς· μέλαινα ἡ κρηπὶς τοῦ λίθου· τὸ δὲ μέσον σῶμα λευκὸν τῷ μέλανι συνεφαίνετο· ἑξῆς δὲ τῷ λευκῷ τὸ λοιπὸν ἐπυῤῥία κορυφούμενον. ὁ λίθος δὲ τῷ χρυσῷ στεφανούμενος, ὀφθαλμὸν ἐμιμεῖτο χρυσοῦν. τῆς δὲ ἐσθῆτος οὐ πάρεργον εἶχεν ἡ πορφύρα τὴν βαφήν· ἀλλ' οἷον μυθολογοῦσι Τύριοι τοῦ ποιμένος εὑρεῖν τὸν κύνα, ᾗ καὶ μέχρι τούτου βάπτουσιν Ἀφροδίτης τὸν πέπλον. ἦν γὰρ χρόνος ὅτε τῆς πορφύρας ὁ κόκκος [1] ἀνθρώποις ἀπόῤῥητος ἦν· μικρὸς δὲ αὐτὴν ἐκάλυπτε κόχλος ἐν κοίλῳ μυχῷ. ποιμὴν ἀγρεύει τὴν ἄγραν ταύτην· καὶ ὁ μὲν ἰχθὺν προσεδόκησεν· ὡς δὲ εἶδεν τοῦ κόχλου τὴν τραχύτητα, ἐλοιδόρει τὴν ἄγραν, καὶ ἔῤῥιψεν ὡς θαλάσσης σκύβαλον. εὑρίσκει δὲ κύων τὸ ἕρμαιον καὶ κατα-

colorem vergebat. In medio lapilli tres visebantur, ita collocati, ut alterius colorem alter exciperet: in unum quippe omnes coaluerant: parsque ima nigra erat: summa, quae in cuspidem surgebat, rubra: media alba cum esset, hinc nigrori, rubori illinc candorem communicabat: lapis ipse auro inclusus aureum oculum imitabatur. Nec vero vulgari purpura, sed ea, quam a pastoris cane inventam Tyrii fabulantur, quaque nunc etiam Veneris peplum tingi consuevit, vestis illius color constabat. Ac fuit quidem aliquando tempus, cum purpurae decus mortales nesciebant, utpote quod intra parvae testae cavum occulebatur. Praedam huiusmodi piscator quidam ceperat, & piscem esse putaverat: verum testae asperitate perspecta, praedam detestatus est, ac tanquam maris faecem abiecit. Invenit lucrum hoc insperatum canis, ac dentibus commi-

1 Ὁ κόκκος) Regii Codd. κόχος, unde Salmasius κόκκος invexit. Reliqui omnes: τῆς πορφύρας ὁ κόσμος. Utrumque recte. Mox malim cum Angl. ἐγκύκλῳ μυχῷ, pro ἐν κοίλῳ μυχῷ.

θραύει τοῖς ὀδοῦσι, καὶ τῷ στόματι τοῦ κυνὸς περιῤῥέει τοῦ ἄνθους τὸ αἷμα, καὶ βάπτει τὸ αἷμα τὴν γένυν, καὶ ὑφαίνει τοῖς χείλεσι τὴν πορφύραν. ὁ ποιμὴν ὁρᾷ τὰ χείλη τοῦ κυνὸς ᾑμαγμένα, καὶ τραῦμα νομίσας τὴν βαφὴν πρόσεισι, καὶ ἀπέπλυνε τῇ θαλάσσῃ, καὶ τὸ αἷμα λαμπρότερον ἐπορφύρετο. ὡς δὲ καὶ ταῖς χερσὶν ἔθιγε, τὴν πορφύραν εἶχεν ἡ χείρ. συνῆκεν οὖν τοῦ κόχλου τὴν φύσιν ὁ ποιμὴν, ὅτι φάρμακον ἔχει κάλλους πεφυτευμένον. καὶ λαβὼν μαλλὸν ἐρίου, καθῆκεν εἰς τὸν χηραμὸν αὐτοῦ τὸ ἔριον, ζητῶν τοῦ κόχλου τὰ μυστήρια· τὰ δὲ κατὰ τὴν γένυν τοῦ κυνὸς ᾑμάσσετο. καὶ τότε τὴν εἰκόνα τῆς πορφύρας ἐδιδάσκετο. λαβὼν δή τινας λίθους περιθραύει τὸ τεῖχος τοῦ φαρμάκου, καὶ τὸ ἄδυτον ἀνοίγει τῆς πορφύρας, καὶ θησαυρὸν εὑρίσκει βαφῆς.

ιβʹ. Ἔθυεν οὖν τότε ὁ πατὴρ [1] προτέλεια τῶν γά-

nuens praestantissimo sanguinis colore os illius undique perfusum, & maxillae tinctae purpureum labris colorem induxerunt. Tum pastor, canis os sanguinolentum cernens, vulnus illum accepisse ratus est: atque ad mare profectus, aqua consperfit. Ibi vero sanguis ille splendidior evadebat, manusque eius contrectando purpurascebant. Hinc eam esse testae naturam pastor intellexit, ut innatum pulchritudinis medicamentum in se contineret, atque ut rei totius arcana exploraret, accepto lanae glomere in eius latebras demersit. Lana, quomodo etiam canis rictus, sanguine infecta est: ac tum purpurae imaginem didicit; contritaque saxis quibusdam medicamenti illius crusta, purpurae penetralia reseravit, fullonicaeque thesaurum adinvenit.

XII. Quam igitur ante nuptias fieri mos est, rem di-

1 Προτέλεια τῶν γάμων) Hesychius: προτέλεια ἡ πρὸ τῶν γάμων θυσία καὶ ἑορτή. Haec sacra facta Iunoni pronubae, quae apud Graecos dicebatur Ζυγία, seu τέλεια.

r

μων. ὡς δὲ ἤκουσα, ἀπωλώλειν, καὶ ἐζήτουν μηχανὴν, δι' ἧς ἀναβάλλεσθαι δυναίμην τὸν γάμον. Σκοποῦντος δέ μου, θόρυβος ἐξαίφνης γίνεται κατὰ τὸν ἀνδρῶνα τῆς οἰκίας. ἐγεγόνει δέ τι τοιοῦτον. ἐπειδὴ θυσάμενος ὁ πατὴρ ἔτυχε, καὶ τὰ θύματα ἐπέκειτο τοῖς βωμοῖς, ἀετὸς ἄνωθεν καταπτὰς ἁρπάζει τὸ ἱερεῖον. σοβούντων δὲ πλέον οὐδὲν ἦν· ὁ γὰρ ὄρνις ᾤχετο φέρων τὴν ἄγραν. ἐδόκει τοίνυν οὐκ ἀγαθὸν εἶναι. καὶ δὴ ἐπέσχον ἐκείνην τὴν ἡμέραν τοὺς γάμους. καλεσάμενος δὲ μάντεις ὁ πατὴρ, καὶ τερατοσκόπους τὸν οἰωνὸν διηγεῖται. οἱ δὲ ἔφασαν δεῖν καλλιερῆσαι ξενίῳ Διῒ νυκτὸς μεσούσης ἐπὶ θάλατταν ἥκοντας· ὁ γὰρ ὄρνις ἔτυχεν ἱπτάμενος ἐκεῖ. τὸ δὲ ἔργον εὐθὺς ἀπέβη. τὸν γὰρ ἀετὸν ἀναπτάντα ἐπὶ τὴν θάλατταν, συνέβη φανῆναι οὐκέτι. ἐγὼ δὲ ταῦτα ὡς ἐγένετο, τὸν ἀετὸν ὑπερεπῄνουν, καὶ δικαίως ἔλεγον ἁπάντων ὀρνίθων

vinam pater faciebat. Quod ſimulatque ipſe perſenſi, periiſſe me iudicavi: cogitabamque, quonam modo aliud omnia in tempus reiici poſſent. Qua in cogitatione defixus dum eſſem, repentinus quidam ſtrepitus a virorum diverſorio exauditus eſt; reſque ita habuit. Cum victimam forte pater mactaviſſet, ariſque impoſuiſſet, delapſa coelo aquila eam rapuit, nihil iis, qui ſubmovere conabantur, perficientibus. Avolavit enim cum praeda. Omen id bonum non eſſe iudicatum eſt: atque a nuptiis eo die ceſſatum. Arceſſitis autem auſpicibus & coniectoribus rem pater expoſuit: atque illi ad mare proficiſci, ac Iovi hoſpitali ſub mediam noctem ſacra facere oportere dixerunt: eo enim aquilam volatum tenuiſſe. Et ſtatim res ita perficitur: nam volucris curſum mare verſus dirigens nuſquam amplius apparuit. Ego, eventu hoc delectatus, aquilam mirum in modum commendavi, aviumque reginam merito eſſe di-

εἶναι βασιλέα. Οὐκ εἰς μακρὰν δὲ ἀπέβη τοῦ τέρατος τὸ ἔργον.

ιγ′. Νεανίσκος ἦν Βυζάντιος, ὄνομα Καλλισθένης, ὀρφανὸς καὶ πλούσιος· ἄσωτος δὲ καὶ πολυτελής. οὗτος ἀκούων τὴν Σωστράτου θυγατέρα εἶναι καλὴν, ἰδὼν δὲ οὐδέποτε, ἤθελεν αὐτῷ ταύτην γενέσθαι γυναῖκα. καὶ ἦν ἐξ ἀκοῆς ἐραστής. Τοσαύτη γὰρ τοῖς ἀκολάστοις ὕβρις, ὡς καὶ τοῖς ὠσὶν εἰς ἔρωτα τρυφᾷν, καὶ ταῦτα πάσχειν ἀπὸ ῥημάτων, ἃ τῇ ψυχῇ διακονοῦσι τρωθέντες ὀφθαλμοί. Προσελθὼν οὖν τῷ Σωστράτῳ πρὶν ἢ τὸν πόλεμον τοῖς Βυζαντίοις ἐπιπεσεῖν, ᾐτεῖτο τὴν κόρην. ὁ δὲ βδελυττόμενος αὐτοῦ τοῦ βίου ἀκολασίαν, ἠρνήσατο. θυμὸς ἴσχει τὸν Καλλισθένην, καὶ ἠτιμᾶσθαι νομίσαντα ὑπὸ τοῦ Σωστράτου, καὶ ἄλλως [1] ἐρῶντα. ἀναπλάττων γὰρ ἑαυτῷ τῆς παιδὸς

xi. Quod autem omine portendebatur, brevi tempore poſt evenit.

XIII. Calliſthenes Byzantius adoleſcens, parentibus orbatus, dives, luxu perditus, ac ſumtuoſus fuit. Is formoſam Soſtrato filiam eſſe audiens, eam quamquam non viderat, uxorem tamen habere optavit, ac ſola auditione illius amore ardebat. Ea enim hominum intemperantium libido eſt, ut etiam fama ad amandum compellantur, ſermones eandem animo moleſtiam, quam oculi pulchritudine capti, afferant. Igitur ante, quam Byzantiis bellum inferretur, Soſtratum, puellam ut ſibi deſponderet, rogavit. Ille autem, intemperantem hominis vitam minime probans, non daturum ſe reſpondit. Quamobrem Calliſthenes, a Soſtrato contemni ſe ratus, iracundia exarſit: atque alioqui amans, puellaeque pulchritudinem ſibi ipſe

1 Καὶ ἄλλως) Ἄλλως in mendo cubare videtur. Legunt quidam: ἀληθῶς, vel μᾶλλον. Neutrum tamen placet.

τὸ κάλλος, καὶ φανταζόμενος τὰ ἀόρατα, ἔλαθε σφόδρα κακῶς διακείμενος. ἐπιβουλεύει δ᾽ οὖν καὶ τὸν Σώστρατον ἀμύνασθαι τῆς ὕβρεως, καὶ αὐτῷ τὴν ἐπιθυμίαν τελέσαι. νόμου γὰρ ὄντος Βυζαντίοις, εἴτις ἁρπάσας παρθένον, φθάσῃ ποιήσας γυναῖκα, γάμον ἔχειν τὴν βίαν, προσεῖχε τούτῳ τῷ νόμῳ. καὶ ὁ μὲν ἐζήτει καιρὸν πρὸς τὸ ἔργον.

ιδ΄. Ἐν τούτῳ δὲ, τοῦ πολέμου περιστάντος, καὶ τῆς παιδὸς εἰς ἡμᾶς ἐκκειμένης, μεμαθήκει μὲν ἕκαστα τούτων· οὐδὲν δὲ ἧττον τῆς ἐπιβουλῆς εἴχετο. καὶ τοιοῦτον αὐτῷ τι συνήργησεν. Χρησμὸν ἴσχουσιν οἱ Βυζαντίοι τοιόνδε·

Ἐστὶ δὲ τὶς νῆσος φυτώνυμον αἷμα λαχοῦσα,
Ἰσθμὸν ὁμοῦ καὶ πορθμὸν ἐπ᾽ ἠπείροιο φέρουσα.
Ἐνθ᾽ Ἥφαιστος ἔχων χαίρει γλαυκῶπιν Ἀθήνην.
Κεῖθι θυηπολίην σε φέρειν κέλομ᾽ Ἡρακλῆι.

confingens, &, quae oculis nondum adſpexerat, mente agitans, quam animo maximam conceperat, indignationem diſſimulavit: & quo modo acceptam a Soſtrato iniuriam ulciſci, ac ſuam ipſius cupiditatem explere poſſet, excogitavit. Nam cum Byzantiis lex eſſet, ut ſi quis virginem rapuiſſet, vimque illi attuliſſet, is alia nulla poena teneretur, quam ut eam matrimonio ſibi adiungeret, legi huic animo intentus Calliſthenes, opportunum ad eam rem tempus quaerebat.

XIV. Quamquam autem bellum ardere, puellamque domi noſtrae commorari didicerat, non tamen inſidias moliri deſtitit. In quo huiuſmodi quiddam homini auxilium tulit. Editum fuerat Byzantiis oraculum hoc:

Inſula, de populo, plantae cognomine, culta eſt,
Deſuper iſthmon habens, ponto contermina ſubtus.
Hic, ubi Vulcanum delectat caeſia Pallas,
Alcidae iubeo reddas ſolemnia ſacra.

Ἀπορούντων δὲ αὐτῶν τίνι λέγει τὸ μάντευμα, Σώστρατος, τοῦ πολέμου γὰρ, ὡς ἔφην, στρατηγὸς ἦν οὗτος· Ὥρα πέμπειν ἡμᾶς θυσίαν εἰς Τύρον, εἶπεν, Ἡρακλεῖ. τὰ γὰρ τοῦ χρησμοῦ ἐστι πάντα ἐνταῦθα. Φυτώνυμον γὰρ ὁ θεὸς εἶπεν αὐτὴν, ἐπεὶ Φοινίκων ἡ νῆσος· ὁ δὲ Φοίνιξ φυτόν [1]. ἐρίζει δὲ περὶ ταύτης γῆ καὶ θάλασσα. ἕλκει δὲ ἡ γῆ, ἡ δὲ εἰς ἀμφότερα αὐτὴν ἥρμοσε. καὶ γὰρ ἐν θαλάσσῃ κάθηται, καὶ οὐκ ἀφῆκε τὴν γῆν· συνδεῖ γὰρ αὐτὴν πρὸς τὴν ἤπειρον στενὸς αὐχὴν, καὶ ἔστιν ὥσπερ τῆς νήσου τράχηλος. οὐκ ἐῤῥίζωται δὲ κατὰ τῆς θαλάσσης, ἀλλὰ τὸ ὕδωρ ὑποῤῥεῖ κάτωθεν. ὑπόκειται δὲ πορθμὸς κάτωθεν ἰσθμῷ· καὶ γίνεται τὸ θέαμα καινὸν, πόλις ἐν θαλάσσῃ, καὶ νῆσος ἐν γῇ. Ἀθηνᾶν δὲ Ἥφαιστος ἔχει, εἰς τὴν

Dubitantibus autem ipsis, quae ab oraculo insula designaretur, Sostratus, (is enim, ut dixi, in hoc bello Praetor erat) Tempus, inquit, est, ut Tyrum Herculi sacrificatum mittamus: nam ei loca singula oraculo edita conveniunt: plantae enim cognominem eam Deus vocavit, quoniam Phoenicum insula est: Phoenix autem (ea vox palmam significat) planta est. De illa etiam mare ac terra contendunt: atque haec quidem ad se trahit, illud vero utrinque abluit. In mari enim iacet, nec tamen a terra disiungitur: sed angusti cuiusdam callis beneficio continenti annectitur, qui quasi collum insulae est, & maris fundo minime adhaerescens, sed aqua subterlabente sustentatus est: isthmos autem freto superimpositus, novum prorsus spectaculum exhibet, urbem scilicet in mari, & insulam in terra. Quod autem ad Palladem Vulcano adiunctam atti-

1 Ὁ δὲ φοίνιξ φυτὸν) Hinc illud Epigramma Meleagri:

Φοίνιξ μὲν νίκαν ἐνέπει, πάτραν τε μεγαυχῆ
Ματέρα φοινίκων τὰν πολύπαιδα Τύρον.

Vid. Spanhemius de praest. & usu numism. T. I, pag. 345.

ἐλαίαν ἠνίξατο καὶ τὸ πῦρ, ἃ παρ' ἡμῖν, ἀλλήλοις συνοικεῖ. τὸ δὲ χωρίον ἱερὸν ἐν περιβόλῳ ἐλαίαν μὲν ἀναθάλλει φαιδροῖς τοῖς κλάδοις, πεφύτευται δὲ σὺν αὐτῇ τὸ πῦρ καὶ ἀνάπτει περὶ τοὺς πτόρθους πολλήν τινα φλόγα, ἡ δὲ τοῦ πυρὸς αἰθάλη τὸ φυτὸν γεωργεῖ. αὕτη πυρὸς φιλία καὶ φυτοῦ. οὕτως οὐ φεύγει τὸν Ἥφαιστον Ἀθηνᾶ. Καὶ ὁ Χαιρεφῶν συστράτηγος ὢν τοῦ Σωστράτου μείζων, ἐπεὶ πατρόθεν ἦν Τύριος, ἐκθειάζων αὐτὸν, πάντα μὲν χρησμὸν, εἶπεν, ἐξηγήσω, καὶ καλῶς· μὴ μέν τοι θαύμαζε τὴν τοῦ πυρὸς μόνον, ἀλλὰ καὶ τὴν τοῦ ὕδατος φύσιν. ἐθεασάμην γὰρ ἐγὼ τοιαῦτα μυστήρια. τὸ γοῦν τῆς Σικελικῆς πηγῆς ὕδωρ κεκερασμένον ἔχει πῦρ· καὶ φλόγα μὲν ὄψει κάτωθεν ἀπ' αὐτῆς ἀλλομένην ἄνωθεν· θίγοντι δέ σοι τὸ ὕδωρ, ψυχρόν ἐστιν οἷόν περ χιὼν, καὶ οὔτε τὸ πῦρ ὑπὸ τοῦ ὕδατος κατασβέννυται, οὔτε τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς

net, de olea & igne intelligi debet: quae duo apud nos coniuncta habentur. Sacer enim ac muro circumdatus locus eſt: ubi oleae late ſeſe diffundenti ignis adnaſcitur, & magnam circum illius ramos flammam exſuſcitat: ex cuius cinere laetior etiam olea ipſa evadit. Hac ratione ignis & planta in amicitiam conſpirant: Vulcanumque Minerva non averſatur. Tum Chaerephon, Soſtrati collega in bello, Soſtrato ipſo maior, quoniam patria Tyro erat, hominem miris laudibus extollens: Pulchre tu quidem, inquit, Dei reſponſum interpretatus es: verum ne ſolam ignis naturam admiratione dignam arbitrare: ſunt enim ſua etiam ipſius aquae miracula, egoque arcana huiuſmodi vidi. Fons in Sicilia reperitur, permixtum aquae ignem continens: in quo ſalientem ab imo ad ſummum flammam conſpicias. Aquam vero ſi tangas, nivis inſtar, frigidam invenias: neque tamen ignem aqua exſtinguit,

φλέγεται, ἀλλ᾽ ὕδατός εἰσιν ἐν τῇ κρήνῃ καὶ πυρὸς σπονδαί. Ἐπεὶ καὶ ποταμὸς Ἰβηρικὸς, εἰ μὲν ἴδοις αὐτὸν, εὐθὺς οὐδὲν ἄλλου κρείττων ἐστὶ ποταμοῦ. ἢν δὲ ἀκοῦσαι θέλῃς τοῦ ὕδατος λαλοῦντος, μικρὸν ἀνάμεινον ἐκπετάσας τὰ ὦτα. ἐὰν γὰρ ὀλίγος ἄνεμος εἰς τὰς δίνας ἐμπέσῃ, τὸ μὲν ὕδωρ ὡς χορδὴ κρούεται, τὸ δὲ πνεῦμα τοῦ ὕδατος πλῆκτρον γίνεται· τὸ ῥεῦμα δὲ ὡς κιθάρα λαλεῖ. Ἀλλὰ καὶ λίμνη Λιβυκὴ μιμεῖται γῆν Ἰνδικὴν, καὶ ἴσασιν αὐτῆς τὸ ἀπόῤῥητον αἱ Λιβύων παρθένοι, ὅτι ὕδωρ ἔχει πλούσιον. ὁ δὲ πλοῦτος ταύτῃ κάτω τεταμίευται τῇ τῶν ὑδάτων ἰλύϊ δεδεμένος. καὶ ἔστιν ἐκεῖ χρυσίου πηγή. κοντὸν οὖν εἰς τὸ ὕδωρ βαπτίζουσιν, πίσσῃ πεφαρμαγμένον, καὶ ἀνοίγουσι τοῦ ποταμοῦ τὰ κλεῖθρα. ὁ δὲ κοντὸς πρὸς τὸν χρυσὸν, οἷον πρὸς τὸν ἰχθὺν ἄγκιστρον γίγνεται. ἀγρεύει γὰρ αὐτόν. ἡ δὲ πίσσα δέλεαρ γίγνεται τῆς ἄγρας. ὅ, τι γὰρ ἂν εἰς αὐτὴν ἐμπέσῃ τῆς τοῦ χρυσίου γονῆς, τὸ μὲν προσήψατο μόνον· ἡ πίσσα δὲ εἰς

neque aquam ignis calefacit; ſed alteri cum altera pactae illic induciae ſunt. In Hiſpania quoque fluvius eſt, quem primo adſpectu nihil a fluminibus aliis differre iudicabis. At vero ſi paulo attentius auſcultes, aquam reſonantem audias: ubi enim vel modicus ventus vortices impulerit, aqua fidis in morem ſonum edit: plectri ſiquidem ventus, citharae vero aqua uſum praeſtat. Sed & in Lybia palus habetur, Indicae ſimilem arenam continens: ac Libycae ipſae virgines arcana & divitias eius norunt. Porro divitiae ſub aqua limo permixtae aſſervantur, auri fonte inibi ſcaturiente. Illitam igitur pice perticam in aquam demittunt, ac fluminis obices removent: quod autem piſci hamus, id auro pertica eſt. Illud enim apprehendit, dum eſcae officio pix fungitur: nam quidquid auri ab ea contingitur,

τὴν ἤπειρον ἥρπασε τὴν ἄγραν. οὕτως ἐκ ποταμοῦ Λιβυκοῦ, χρυσὸς ἀγρεύεται [1].

ιε΄. Ταῦτα εἰπὼν, τὴν θυσίαν ἐπὶ τὴν Τύρον ἔπεμπε, καὶ τῇ πόλει συνδοκοῦν. Ὁ οὖν Καλλισθένης διαπλάττεται τῶν θεωρῶν εἶς γενέσθαι· καὶ ταχὺ καταπλεύσας εἰς τὴν Τύρον, καὶ ἐκμαθὼν τὴν τοῦ πατρὸς οἰκίαν, ἐφήδρευσεν ταῖς γυναιξίν· αἱ δὲ ὀψόμεναι τὴν θυσίαν ἐξήεσαν· καὶ γὰρ ἦν πολυτελής. πολλὴ μὲν ἡ τῶν θυμιαμάτων πομπή. πολλὴ δὲ ἡ τῶν ἀνθέων συμπλοκή. τὰ θυμιάματα, κασσία καὶ λιβανωτὸς, καὶ κρόκος. τὰ ἄνθη, νάρκισσοι καὶ ῥόδα, καὶ μυῤῥίναι· ἡ δὲ τῶν ἀνθέων ἀναπνοὴ, πρὸς τὴν τῶν θυμιαμάτων ἤριζεν ὀδμήν. τὸ δὲ πνεῦμα ἀναπεμπόμενον εἰς τὸν ἀέρα, τὴν ὀδμὴν ἐκεράννυεν, καὶ ἦν ἄνεμος ἡδονῆς. τὰ δὲ ἱερεῖα, πολλὰ μὲν ἦν καὶ ποικίλα, διέπρεπον δὲ ἐν αὐτοῖς οἱ τοῦ Νείλου βόες. βοῦς γὰρ Αἰ-

adhaerefcit, atque in litore exponitur; eoque pacto aurum ex fluvio Libyco extrahitur.

XV. Haec cum dixiffet Chaerephon, Tyrum, qui facrificarent, mifit, factum id civitate comprobante. Callifthenes igitur e facrificii curatoribus unum fe fingens, Tyrum quamprimum adnavigavit: ibique patris mei domo cognita, mulieribus, quae facrificii pompam fpectatum prodierant, infidias tetendit. Magnifico enim apparatu, ingenti videlicet fuffimentorum copia, magnaque florum varietate inftructa fuerat. In fuffimentis, cafia, thus, crocus: in floribus, narciffus, rofa, myrtus erant: fuavitafque e floribus afflata cum fuffimentorum odore certabat: fublatufque cum aëre vapor odores confundebat, & ventum fuavitate complebat. Sed & multae ac variae victimae complebantur: inter quas principem locum Nilo-

1 Ἀγρεύεται) Sic Angl. Bavar. & Commel. At Salmafius dedit; ἁλιεύεται, fine caufa.

γύπτιος, οὐ τὸ μέγεθος μόνον, ἀλλὰ καὶ τὴν χροιὰν εὐτυχεῖ. τὸ μὲν γὰρ μέγεθος πάντη μέγας, τὸν αὐχένα παχὺς, τὸν νῶτον πλατὺς, τὴν γαστέρα πολὺς, τὸ κέρας, οὐχ ὡς ὁ Σικελὸς, εὐτελὴς, οὐδ' ὡς Κύπριος, δυσειδὴς, ἀλλ' ἐκ τῶν κροτάφων ὄρθιον ἀναβαῖνον, κατὰ μικρὸν ἑκατέρωθεν κυρτούμενον τὰς κορυφὰς συνάγει τοσοῦτον, ὅσον αἱ τῶν κεράτων διΐστασιν ἀρχαὶ, καὶ τὸ θέαμα κυκλουμένης σελήνης ἐστὶν εἰκών. ἡ χροιὰ δὲ οἵαν Ὅμηρος [1] τοὺς τοῦ Θρᾳκὸς ἵππους ἐπαινεῖ. βαδίζει δὲ ταῦρος ὑψαυχενῶν, καὶ ὥσπερ ἐπιδεικνύμενος, ὅτι τῶν ἄλλων βοῶν ἐστι βασιλεύς. εἰ δὲ ὁ μῦθος Εὐρώπης ἀληθὴς, Αἰγύπτιον βοῦν ὁ Ζεὺς ἐμιμήσατο.

ιϛ'. Ἔτυχε μὲν οὖν ἡ μὲν ἐμὴ μήτηρ τότε μαλακῶς ἔχουσα. σκηψαμένη δὲ καὶ ἡ Λευκίππη νοσεῖν [2],

tici boves obtinebant. Non ſolum autem magnitudine, verum etiam colore animal huiuſmodi praeſtat. Statura eſt eximia, cervice craſſa, humeris amplis, ventre magno, cornibus non ut Siculi boves depreſſis, neque ut Cyprii deformibus, ſed quae a temporibus alte conſurgentia ſenſim utrinque curventur ita, ut ſummae illorum partes, tantum ſibi mutuo appropinquent, quantum principia eorum inter ſe diſtant, & plenae lunae imaginem propemodum referre videantur: colore tali, qualem in Thraciis equis Homerus laudat. Incedit autem taurus is cervice ſublata ſic, ut aliorum ſe regem eſſe oſtendat. Quod ſi vera ſunt, quae de Europa traduntur, in Aegyptium taurum Iuppiter ſeſe commutavit.

XVI. Eo porro tempore, accidit, ut noverca mea incommoda valetudine eſſet. Leucippe vero morbum cau-

1 Iliad. K. 437: Λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.

2 Λευκίππη νοσεῖν ἔνδον ὑπέμεινε. συνέχειτο &c.) Totus locus ita conſtituendus: νοσεῖν,

ἔνδον ὑπέμεινε. συνέκειτο γὰρ ἡμῖν εἰς ταὐτὸν ἐλθεῖν, ὡς ἂν, τῶν πολλῶν ἐξιόντων, ὥς τε συνέβη, τὴν ἀδελφὴν τὴν ἐμὴν μετὰ τῆς μητρὸς Λευκίππης προελθεῖν. Καλλισθένης τὴν μὲν Λευκίππην οὐχ ἑωρακώς ποτε, τὴν δὲ Καλλιγόνην ἰδὼν, τὴν ἐμὴν ἀδελφὴν, νομίσας Λευκίππην εἶναι· ἐγνώρισε γὰρ τοῦ Σωστράτου τὴν γυναῖκα, πυθόμενος οὐδέν· ἦν γὰρ ἑαλωκὼς ἐκ τῆς θέας· δείκνυσιν ἑνὶ τῶν οἰκετῶν τὴν κόρην, ὃς ἦν αὐτῷ πιστότατος, καὶ κελεύει λῃστὰς ἐπ' αὐτὴν συγκροτῆσαι, καταλέξας τὸν τρόπον τῆς ἁρπαγῆς. πανήγυρις δὲ ἐπέκειτο, καθ' ἣν ἠκηκόει πάσας τὰς παρθένους ἀπαντᾶν ἐπὶ θάλατταν. ὁ μὲν οὖν ταῦτα εἰπὼν, καὶ τὴν θεωρίαν ἀφοσιωμένος ἀπῆλθεν.

ιζ'. Ναῦν δὲ εἶχεν ἰδίαν, τοῦτο προκατασκευάσας οἴκοθεν εἰ τύχοι τῆς ἐπιχειρήσεως. οἱ μὲν δὴ ἄλλοι θεω-

ſata, (convenerat enim inter nos, ut ita fieret) quouſque alii exiviſſent, domi remanſit. Ex quo factum fuit, ut ſoror mea cum Leucippes matre tantum prodirent. Calliſthenes, qui nondum Leucippen viderat, cum primum Calligonen ſororem meam obviam habuit, eam Leucippen eſſe credidit: Soſtrati enim uxorem probe norat: ac nemine appellato, quippe qui adſpectu iam captus erat, famulorum uni, cui quam maxime fidebat, puellam oſtendit, latroneſque ad eam rapiendam convocare iubet, rapiendique modum praeſcribit; celebritatem inſtare, inquiens, qua virgines omnes ad mare profecturas eſſe audierat. Quae cum locutus eſſet, curandi ſacrificii munere neglecto, abiit.

XVII. Erat ei privata navis: quam, priuſquam domo exiret, inſtruxerat, ſi forte, quod animo iam agitabat, perficere poſſet. Iam vero alii rei divinae faciendae curatores

τῶν πολλῶν ἐξιόντων, ἔνδον ὑπέμεινε. συνέκειτο γὰρ ἡμῖν, εἰς ταὐτὸν ἐλθεῖν. Ὡς δὲ συνέβη, τὴν —— προελθεῖν, Καλλισθ.

ροὶ ἀπέπλευσαν· αὐτὸς δὲ μικρὸν ἀπεσάλευε τῆς γῆς· ἅμα μὲν ὡς δοκοίη τοῖς πολλοῖς ἕπεσθαι, ἅμα δὲ ἵνα μὴ πλησίον τῆς Τύρου τοῦ σκάφους ὄντος, κατάφωρος γένοιτο μετὰ τὴν ἁρπαγήν. Ἐπειδὴ ἐγένετο κατὰ Σάραπτα κώμην Τυρίων, ἐπὶ θαλάττῃ κειμένην, ἐνταῦθα προσπορίζεται λέμβον, δίδωσι δὲ τῷ Ζήνωνι· τοῦτο γὰρ ἦν ὄνομα τῷ οἰκέτῃ, ὃν ἐπὶ τὴν ἁρπαγὴν παρεσκεύαζε. ὁ δὲ (ἦν γὰρ καὶ ἄλλως εὔρωστος [τὸ σῶμα], καὶ φύσει πειρατικὸς) ταχὺ μὲν ἐξεῦρε λῃστὰς ἁλιεῖς ἀπὸ τῆς κώμης ἐκείνης· καὶ δῆτα ἀνέπλευσεν ἐπὶ τὴν Τῦρον. Ἔστι δὲ μικρὸν ἐπίνειον Τυρίων νησίδιον ἀπέχον ὀλίγον τῆς Τύρου· Ῥοδόπης αὐτὸ τάφον οἱ Τύριοι λέγουσιν· ἔνθα ὁ λέμβος ἐφήδρευε.

ιη΄. Πρὸ δὲ τῆς πανηγύρεως, ἣν ὁ Καλλισθένης καὶ προσεδόκα, γίνεται δὴ τὰ τοῦ ἀετοῦ καὶ τῶν μαν-

in altum invecti erant: Callisthenes autem non admodum a litore abscedebat, simul ut multitudinem sequi videretur, simul ut ne, cum Tyro vicina esset navis, post raptum deprehenderetur. Ac cum primum Saraptam Tyriorum vicum in mari situm pervenit, illic lembum insuper sibi comparavit, ac Zenoni tradit: id illi nominis erat, cui rapiendae puellae provinciam demandaverat. Is cum alioqui robusto esset corpore, piraticamque a teneris facere didicisset, piratas in vico illo piscandi etiam peritos confestim adinvenit, ac Tyrum applicuit. Est urbi Tyro proxima parva insula: Tyriae illic naves stationem habent: quam Rhodopes tumulum vocant. Eo in loco lembum Zeno in insidiis collocavit.

XVIII. Antequam autem celebritatis eius, quam Callisthenes exspectabat, dies advenisset, quae aquila portenderat, & quae divinatores responderant, omnia con-

τέων. καὶ εἰς τὴν ὑστεραίαν παρασκευαζόμεθα νύκτωρ ὡς θυσόμενοι τῷ θεῷ. τούτων δὲ τὸν Ζήνωνα ἐλάνθανεν οὐδέν· ἀλλ᾽ ἐπειδὴ καιρὸς ἦν βαθείας ἑσπέρας, ἡμεῖς μὲν προήλθομεν, ὁ δὲ εἵπετο. ἄρτι δὲ λουομένων ἡμῶν ἐπὶ τῷ χείλει τῆς θαλάσσης, ὁ μὲν τὸ συγκείμενον ἀνέτεινε σημεῖον, ὁ δὲ λέμβος ἐξαίφνης προσέπλει, καὶ ἐπεὶ πλησίον ἐγένετο, ἦσαν ἐν αὐτῷ νεανίσκοι δέκα. ὀκτὼ δὲ ἑτέρους ἐπὶ τῆς γῆς εἶχον προλοχίσαντας, οἳ γυναικείας μὲν εἶχον ἐσθῆτας, καὶ τῶν γενείων ἐψιλῶντο τὰς τρίχας· ἔφερον δὲ ἕκαστος ὑπὸ κόλπῳ ξίφος· ἐκόμιζον δὲ καὶ αὐτοὶ θυσίαν, ὡς ἂν ἥκιστα ὑποπτεύθειεν. ἡμεῖς δὲ ᾠόμεθα εἶναι γυναῖκας. ἐπεὶ δὲ συνετίθεμεν τὴν πυρὰν, ἐξαίφνης βοῶντες συντρέχουσι, καὶ τὰς μὲν δᾷδας ἡμῶν ἀποσβεννύουσι. Φευγόντων δὲ ἀτάκτως ὑπὸ τῆς ἐκπλήξεως, γυμνώσαντες τὰ ξίφη ἁρπάζουσι τὴν ἀδελφὴν τὴν ἐμὴν, καὶ

ſecuta ſunt. Nos, ut poſtridie Deo ſacrum faceremus, noctu noſmet adornaveramus: nec eorum quidquam Zenonem latuit. Ad multam igitur noctem ſolventes provehebamur, cum ille conſecutus eſt. Commodum autem exieramus, atque in extremo litore abluebamur, cum is ex compoſito ſignum ſuſtulit, lembuſque ſtatim litori propior factus eſt. Erant in eo iuvenes decem: exſpectabant in terra octo alii in inſidiis collocati, muliebri ornatu, mento raſo. Hi omnes gladium ſub veſte clam geſtabant: atque, ut quam minimam in ſuſpicionem venirent, victimas admovebant, ita ut feminas illos eſſe arbitraremur. Poſteaquam pyram exſtruximus, ii, clamore ſublato, repente impetum fecerunt, noſtraſque faces exſtinxerunt: cumque nos ſubito metu perculſi nullo ordine ſervato terga daremus, illi nudatis gladiis ſororem

ἐνθέμενοι τῷ σκάφει, ἐμβάντες εὐθὺς, ὄρνιθος δίκην ἀφίπτανται. ἡμῶν δὲ οἱ μὲν ἔφυγον, οὐδὲν οὔτε ἰδόντες οὔτε ἑωρακότες [1], οἱ δὲ ἅμα τε εἶδον, καὶ ἐβόων· Λῃσταὶ Καλλιγόνην ἔχουσι. Τὸ δὲ πλοῖον ἤδη μέσην ἐπέραινε τὴν θάλασσαν· ὡς δὲ τοῖς Σαράπτοις προσέσχον, πόῤῥωθεν ὁ Καλλισθένης τὸ σημεῖον ἰδὼν, ὑπήντιζεν ἐπιπλεύσας, καὶ δέχεται μὲν τὴν κόρην, πλεῖ δὲ εὐθὺς πελάγιος. ἐγὼ δὲ ἀνέπνευσα μὲν οὕτω διαλυθέντων μοὶ παραδόξως τῶν γάμων· ἠχθόμην δ' οὕτως ὑπὲρ ἀδελφῆς περιπεσούσης τοιαύτῃ συμφορᾷ.

ιθ'. Ὀλίγας δὲ ἡμέρας διαλιπὼν, πρὸς τὴν Λευκίππην διελεγόμην· μέχρι τίνος ἐπὶ τῶν φιλημάτων ἱστάμεθα, φιλτάτη; καλὰ τὰ προοίμια· προσθῶμεν ἤδη τι καὶ ἐρωτικόν. φέρε, ἀνάγκην ἀλλήλοις ἐπιθῶ-

meam rapuerunt, navique cum ea inſcenſa, volucrum inſtar confeſtim avolaverunt. E nobis alii, ea re neque viſa, neque audita, fugae ſeſe mandarunt: nonnulli & viderunt, & vocem hanc ſimul miſerunt: Calligonen piratae avexerunt. Iam medium lembus mare tranaverat, Sareptaeque appropinquaverat, cum Calliſthenes agnito procul ſigno proceſſit obviam, ſuſceptaque puella in altum ſe recepit. Mihi vero, diſturbatis tam praeter opinionem meam nuptiis, animus rediit, tametſi ſororem tantam in calamitatem incidiſſe non poteram non dolere.

XIX. Paucis poſt diebus, quam haec acta ſunt, Leucippen iis verbis affatus ſum: Quouſque tandem, cariſſima Leucippe, baſiis inſiſtemus? Specioſa quidem certe initia haec ſunt; verum aliquid etiam ex iis, quae ab amantibus expetuntur, addamus. Age, fidei neceſſitatem

1 Ἑωρακότες) Interpres legit: ἀκηκοότες. E ſeqq. patet, legendum eſſe; κεκραγότες. Subiicitur enim: οἱ δὲ ἅμα τε εἶδον, καὶ ἐβόων.

μεν πίστεως. ἂν γὰρ ἡμᾶς Ἀφροδίτη μυσταγωγήσῃ, οὐ μή τις ἄλλος κρείττων γένηται τῆς θεοῦ. Ταῦτα πολλάκις κατεπᾴδων, ἐπεπείκειν τὴν κόρην ὑποδέξασθαί με τῷ θαλάμῳ νυκτὸς, τῆς Κλειοῦς συνεργούσης, ἥτις ἦν αὐτῇ θαλαμηπόλος. εἶχε δὲ ὁ θάλαμος αὐτῆς οὕτως. χωρίον ἦν μέγα τέτταρα οἰκήματα ἔχον· δύο μὲν ἐπὶ δεξιᾷ, δύο δὲ ἐπὶ θατέρα. μέσος δὲ διεῖργε στενωπὸς ὁδὸς ἐπὶ τὰ οἰκήματα. θύρα δὲ ἐν ἀρχῇ τοῦ στενωποῦ μία ἐνεκλείετο. Ταύτην εἶχον τὴν καταγωγὴν αἱ γυναῖκες. καὶ τὰ μὲν ἐνδοτέρω τῶν οἰκημάτων ἥτε παρθένος καὶ ἡ μήτηρ αὐτῆς διειλήφεσαν, ἑκάτερα τὰ ἀντικρύ· τὰ δὲ ἔξω δύο τὰ πρὸς τὴν εἴσοδον, τὸ μὲν ἡ Κλειὼ τὸ κατὰ τὴν παρθένον, τὸ δὲ ταμεῖον ἦν. Κατακοιμίζουσα δὲ ἀεὶ τὴν Λευκίππην ἡ μήτηρ, ἔκλειεν ἔνδοθεν τὴν ἐπὶ τοῦ στενωποῦ θύραν· ἔξωθε δέ τις ἕτερος ἀπέκλειε, καὶ τὰς κλεῖς ἔβαλλε διὰ

mutuo nobis imponamus. Nam ſi Veneris ſacris initiabimur, Deum alium nullum ea meliorem inveniemus. His cantionibus saepius repetitis, eam, ut me noctu thalamo ſuſciperet, induxi, Clione etiam, quae cubiculi eius curam ſuſtinebat, adiuvante. Porro thalamus ita aedificatus fuerat. Ingens aderat ſpatium, thalamos duos dextera, ſiniſtra totidem continens, media interiacente ſemita quadam anguſta, qua ad eos iri poſſet. Semitae huius limen valvas, quibus occluderetur, habebat. Inibi degebant mulieres. Nam thalamos interiores, mutuo ſibi oppoſitos, virgo & eius mater obtinuerant. Ex reliquis duobus propius ad introitum alter iuxta Leucippen Clioni, alter ex adverſo penui aſſervando deſtinatus fuerat. Leucippen mater cubitum ſemper comitabatur: ac non ſolum valvas ipſa intus claudebat, verum etiam foris per alium claudi,

τῆς ὀπῆς· ἡ δὲ λαβοῦσα ἐφύλαττεν, καὶ περὶ τὴν ἕω καλέσασα τὸν εἰς τοῦτο ἐπιτεταγμένον, διέβαλλε πάλιν τὰς κλεῖς, ὅπως ἀνοίξειεν. Ταύταις οὖν ἴσας μηχανητάμενος ὁ Σάτυρος γενέσθαι, τὴν ἄνοιξιν πειρᾶται· καὶ ὡς εὗρε δυνατὴν, τὴν Κλειώ τε ἐπεπείκει, καὶ τῆς κόρης συνειδυίης, μηδὲν ἀντιπρᾶξαι τῇ κόρῃ. καὶ [τέχνῃ] [1] ταῦτα ἦν τὰ συγκείμενα.

κ'. Ἦν δέ τις αὐτῶν οἰκέτης πολυπράγμων, καὶ λάλος, καὶ λίχνος, καὶ πᾶν ὅ, τι ἂν εἴποι τις ὄνομα, Κώνωψ. οὗτός μοι ἐδόκει πόῤῥωθεν ἐπιτηρεῖν τὰ πραττόμενα ἡμῖν· μάλιστα δὲ, ὅπερ ἦν ὑποπτεύσας, μή τι νύκτωρ ἡμῖν πραχθῇ, διενυκτέρευε μέχρι πόῤῥω τῆς ἑσπέρας, ἀναπετάσας τοῦ δωματίου τὰς θύρας, ὥστε ἔργον ἦν αὐτὸν λαθεῖν. Ὁ οὖν Σάτυρος βουλόμενος αὐτὸν εἰς φιλίαν ἀγαγεῖν, προσέπαιζε πολλά-

custodiendasque sibi per foramen claves reddi curabat. Mane autem circiter aurorae ortum advocato eo, cui hoc oneris imposuerat, ac redditis clavibus, aperire ostium iubebat. Iis igitur similes alias quasdam cum Satyrus fabricari curasset, aperiendi periculum fecit: atque ut rem e sententia procedere animadvertit, Clioni, puella etiam conscia, persuasit, ne illi quoquo modo impedimento esset: id quod arte minime carebat.

XX. Erat iis famulus quidam, vir curiosus, loquax, ventri deditus, ac quovis alio simili nomine dignus: quem Conopem vocabant. Is mihi, quaecunque ageremus, procul observare videbatur. Maxime vero suspicans, ne noctu aliquid tentaremus, ad multam noctem cubiculi foribus apertis vigilabat ita, ut eum latere perdifficile esset: quam ob rem Satyrus, hominem ad amicitiam attrahere volens,

1 Τέχνῃ) Totus locus forte sic constituendus: καὶ, τῆς κόρης συνειδυίης, μηδὲν ἀντιπρᾶξαι τῇ τέχνῃ. καὶ ταῦτα ἦν τὰ συγκείμενα.

κις, καὶ κώνωπα ἐκάλει, καὶ ἔσκωπτε τοὔνομα σὺν γέλωτι. καὶ οὗτος εἰδὼς τοῦ Σατύρου τὴν τέχνην, προσεποιεῖτο μὲν ἀντιπαίζειν καὶ αὐτός. ἐνετίθει δὲ τῇ παιδιᾷ τῆς γνώμης τὸ ἄσπονδον. λέγει δὲ πρὸς αὐτόν· Ἐπειδὴ καταμωκᾷς μου καὶ τοὔνομα, φέρε, σοὶ μῦθον ἀπὸ κώνωπος εἴπω.

κα΄. Ὁ λέων κατεμέμφετο τὸν Προμηθέα πολλάκις, ὅτι μέγαν μὲν αὐτὸν ἔπλασε καὶ καλόν· καὶ τὴν μὲν γένυν ὥπλισε τοῖς ὀδοῦσι, τοὺς δὲ πόδας ἐκράτυνε τοῖς ὄνυξιν, ἐποίησέ τε τῶν ἄλλων θηρίων δυνατώτερον. ὁ δὲ τοιοῦτος, ἔφασκε, τὸν ἀλεκτρυόνα φοβοῦμαι. Καὶ ὁ Προμηθεὺς ἐπιστάς, ἔφη· Τί με μάτην αἰτιᾷς; τὰ μὲν γὰρ ἐμὰ πάντα ἔχεις, ὅσα πλάττειν ἐδυνάμην· ἡ δὲ σὴ ψυχὴ πρὸς τοῦτο μόνον μαλακίζεται. Ἔκλαιεν οὖν ἑαυτὸν ὁ λέων, καὶ τῆς δειλίας κατεμέμφετο, καὶ τέλος ἀποθανεῖν ἤθελεν. οὕτω δὲ

cum eo ſaepe iocabatur, & Conopem, quae vox culicem denotat, appellabat, eiuſque nomen cavillabatur. Ille, Satyri arte cognita, contra iocari quidem fingebat: verum infidum animum gerebat. Itaque ad eum converſus: Agedum, inquit, quoniam nomen meum irrides, fabulam, quam de culice ſum narraturus, audi.

XXI. Prometheum leo multoties incuſavit, quod, cum ſe magnum & formoſum effinxiſſet, maxillaſque dentibus, unguibus pedes armaviſſet, ac feris aliis robuſtiorem effeciſſet, tamen dotibus tot praeditus gallum gallinaceum timeret. Cui reſpondens Prometheus: Quid temere, inquit, me accuſas? ego, quae praeſtare potui, omnia tibi conceſſi: verum animus ipſe tuus hac una in re infirmus eſt. Quocirca flebat leo, ſeque timiditatis damnans, mori omnino decreverat. Qua in cogitatione dum eſſet, in

γνώμης ἔχων ἐλέφαντι περιτυγχάνει, καὶ προσαγορεύσας εἱστήκει διαλεγόμενος. καὶ ὁρῶν διαπαντὸς τὰ ὦτα κινοῦντα· Τί πάσχεις; ἔφη. καὶ τί δήποτε οὐδὲ μικρὸν ἀτρεμεῖ σου τὸ οὖς; Καὶ ὁ ἐλέφας, κατὰ τύχην παραπτάντος αὐτῷ κώνωπος· Ὁρῶ, ἔφη, τοῦτο τὸ βραχὺ τὸ βομβοῦν, ἢν εἰσδύῃ μου τῇ τῆς ἀκοῆς ὁδῷ, τέθνηκα. καὶ ὁ λέων· Τί οὖν ἔτι ἀποθνήσκειν, ἔφη, με δεῖ, τοσοῦτον ὄντα, καὶ ἐλέφαντος εὐτυχέστερον, πόσῳ κρείττων κώνωπος ἀλέκτρυών; Ὁρᾷς, ὅσον ἰσχύος ὁ κώνωψ ἔχει, ὡς καὶ ἐλέφαντα φοβεῖν. Συνεὶς οὖν ὁ Σάτυρος τὸ ὕπουλον αὐτοῦ τῶν λόγων, ἠρέμα μειδιῶν· Ἄκουσον κἀμοῦ τινα λόγον, εἶπεν, ἀπὸ κώνωπος καὶ λέοντος, ὃν ἀκήκοα τινὸς τῶν φιλοσόφων· χαρίζομαι δέ σοι τοῦ μύθου τὸν ἐλέφαντα.

κβʹ. Λέγει τοίνυν κώνωψ ἀλαζών ποτε πρὸς τὸν

elephantem incidit, quocum poſt datam ſalutem in ſermonem delapſus, ubi aures perpetuo moventem illum vidit: Quid hoc, inquit, rei eſt? cur ne punctum quidem temporis auribus quietem das? Tum elephas, cuius circum caput culex tum forte volitabat: Beſtiolam, inquit, hanc ſuſurrantem cerno: quae ſi aures modo meas ingrederetur, de me actum eſſet. Leo vero, Quid me igitur, inquit, mori oportet? qui talis ſim, tantoque elephante beatior, quanto culici gallus gallinaceus antecellit. Videſne, quantum culici roboris inſit, quantum elephantum etiam terret? Satyrus autem doli plenam illius orationem cognoſcens leniter arriſit: ac, Meam tu quoque, inquit, de culice ac leone hiſtoriam, a philoſopho quopiam relatam, audi. Habeo vero tibi gratiam, quod elephanti me fabulam edocueris.

XXII. Confidentiae igitur plenus aliquando culex leo-

λέοντα· Εἶτα κἀμοῦ βασιλεύειν νομίζεις ὡς τῶν καὶ ἄλλων θηρίων; ἀλλ' οὔτε μοῦ καλλίων, οὔτε ἀλκιμώτερος ἔφυς, οὔτε μείζων, ἐπεὶ τί σοι πρότερόν ἐστιν[1]; ἀλκή; ἀμύσσεις τοῖς ὄνυξι, καὶ δάκνεις τοῖς ὀδοῦσι. ταῦτα γὰρ οὐ ποιεῖ μαχομένη γυνή; ποῖον δὲ μέγεθος ἢ κάλλος σε κοσμεῖ; στέρνον πλατὺ, ὦμοι παχεῖς, καὶ πολλὴ περὶ τὸν αὐχένα κόμη. τὴν κατόπιν οὖν αἰσχύνην οὐχ ὁρᾷς; ἐμοὶ δὲ μέγεθος μὲν ὁ ἀὴρ ὅλος, ὅσον μου καταλαμβάνει τὸ πτερόν· κάλλος δὲ αἱ τῶν λειμώνων κόμαι. αἱ μὲν γάρ εἰσιν ὥσπερ ἐσθῆτες, ἃς ὅταν θέλω παῦσαι τὴν πτῆσιν ἐνδύομαι. τὴν δὲ ἀνδρείαν μου μὴ καὶ γελοῖον ᾖ καταλέγειν; ὄργανον γὰρ ὅλος εἰμὶ πολέμου· μετὰ μὲν σάλπιγγος παρατάττομαι· σάλπιγξ[2] δέ μοι καὶ βέλος, τὸ

nem allocutus: Nae tu, inquit, vehementer erras, ſi mihi etiam, quemadmodum ceteris animalibus, praepoſitum te credis, cum neque pulchrior, neque fortior, neque melior ſis. Nam quid tibi praecipuum? an robur? Tu quidem unguibus laceras & dentibus mordes: at quae muliercula pugnans non hoc facit? Quae vero magnitudo te ornat? quae pulchritudo? Amplum tibi pectus eſt, & lati humeri: collum etiam denſis inhorreſcit pilis: at quanta poſteriorum partium turpitudo ſit, non vides? Magnitudo mea eſt aër totus, quantum quidem alis circuire poſſum. Pulchritudo pratorum gramina & flores, quae veſtis etiam loco mihi eſt: quam, cum a volatu quieſcere lubet, induo. Neque vero dictu ridiculum fuerit robur meum: totus enim bellicum inſtrumentum ſum, nec ſine tuba unquam in pugnam prodeo. Mihi enim os & tuba & iacu-

1 Ἐπεὶ τί σοι πρότερόν ἐστιν) Legendum forte: εἰπὲ, τί σοι πρότερόν ἐστιν;

2 Σάλπιγξ) Hinc culices ὀξυβόαι apud Meleagrum in Epigr. L. VII. Plin. L. XI, c. 2, de culice: *Ubi truculentam illàm & portione maximam vocem ingeneravit? -- Telum vero perfodiendo tergori quo ſpiculavit ingenio?*

στόμα. ὥστε εἰμὶ καὶ αὐλητὴς καὶ τοξότης. ἐμαυτοῦ δὲ ὀϊστὸς καὶ τόξον γίνομαι. τοξεύει γάρ μου διαέριον τὸ πτερόν. ἐμπεσὼν δὲ ὡς ἀπὸ βέλους ποιῶ τὸ τραῦμα. ὁ δὲ παταχθεὶς ἐξαίφνης βοᾷ, καὶ τὸν τετρωκότα ζητεῖ. ἐγὼ δὲ παρὼν οὐ πάρειμι· ὁμοῦ δὲ καὶ φεύγω καὶ μένω, καὶ περιϊππεύω τὸν ἄνθρωπον τῷ πτερῷ, γελῶ δὲ αὐτὸν βλέπων περὶ τοῖς τραύμασιν ὀρχούμενον. Ἀλλὰ τί δεῖ λόγων; ἀρχώμεθα μάχης. ἅμα λέγων ἐμπίπτει τῷ λέοντι, καὶ εἰς τοὺς ὀφθαλμοὺς ἐμπηδᾷ, καὶ εἴ τι ἄλλο ἄτριχον τῶν προσώπων, περιϊπτάμενος ἅμα καὶ τῷ βόμβῳ καταυλῶν. ὁ δὲ λέων ἠγριαίνετο, καὶ μετεστρέφετο πάντῃ, καὶ τὸν ἀέρα περιέχασκεν. ὁ δὲ κώνωψ ταύτην πλέον τὴν ὀργὴν ἐτίθετο παιδιὰν, καὶ ἐπ' αὐτοῖς ἔθιγέ πως καὶ τοῖς χείλεσιν. καὶ ὁ μὲν ἔκλινεν εἰς τὸ λυποῦν [1] μέρος,

lum eſt, eoque & tubicen & iaculator ſum. Sagittam quin etiam atque arcum memet facio: per aërem enim alae me vibrant. Vibratus ipſe, tanquam telum aliquod, vulnus infero: quod qui accipit, ſubitum clamorem edit, vulneriſque auctorem ut inveniat, circumſpicit. Ego vero & abſum, & adſum, eodemque momento & fugio, & remaneo, aliſque hominem obequito, atque ob vulnera ſaltantem cernens rideo. Sed quid verbis opus eſt? Agedum, pugnam ineamus. Atque inter loquendum in leonem impetum fecit, oculos, aliaſque omnes capitis partes pilis carentes appetens, interimque ſuſurrans. Iraſcebatur leo, ſeque huc illuc convertens, aërem modo vorabat. Culex autem illius iram eo magis ludibrio habens, ipſa etiam labra invadebat. Atque ille quidem ad partem dolentem,

Et Tertullianus etiam adverſus Marcionem L. I, c. 14, ex animalibus minutioribus conditoris magnitudinem demonſtraturus: *Suſtine*, inquit, *ſi potes*, - - *culicis & tubam & lanceam.*

1 Λυποῦν) Ita reſcripſimus, ſecuti Cod. λοιποῦν offerentem. Interpres quoque reddidit: *ad partem dolentem.*

ἀνακάμπτων ἔνθα τοῦ τραύματος ἡ πληγή· ὁ δὲ ὥσπερ παλαιστὴς τὸ σῶμα σκάζων, εἰς τὴν συμπλοκὴν ἀπέρρει τῶν τοῦ λέοντος ὀδόντων, αὐτὴν μέσην διαπτὰς κλειομένην τὴν γένυν. οἱ δὲ ὀδόντες κενοὶ τῆς θήρας περὶ ἑαυτοὺς ἐκροτάλιζον. ἤδη τοίνυν ὁ λέων ἐκεκμήκει σκιαμαχῶν πρὸς τὸν ἀέρα τοῖς ὀδοῦσιν, καὶ εἱστήκει παρειμένος ὀργῇ. ὁ δὲ κώνωψ περιϊπτάμενος αὐτοῦ τὴν κόμην, ἐπηύλει μέλος ἐπινίκιον. μακρότερον δὲ ποιούμενος τῆς πτήσεως τὸν κύκλον, ὑπὸ περιττῆς ἀπειροκαλίας ἀράχνης λανθάνει νήμασιν ἐμπλακεὶς, καὶ τὴν ἀράχνην οὐκ ἔλαθεν ἐμπεσών. ὡς δ' οὐκέτ' εἶχε φυγεῖν, ἀδημονῶν εἶπεν· Ὦ τῆς ἀνοίας. προυκαλούμην μὲν γὰρ ἐγὼ λέοντα, ὀλίγος δέ με ἤγρευσεν ἀράχνης χιτών. Ταῦτα εἰπών· Ὥρα τοίνυν, ἔφη, καί σε τὰς ἀράχνας φοβεῖσθαι. Καὶ ἅμα ἐγέλασεν.

κγ΄. Καὶ ὀλίγας διαλιπὼν ἡμέρας, εἰδὼς αὐτὸν

quae ſcilicet vulnus acceperat, ſeſe incurvans, declinabat: hic vero luctatoris vice, contracto corpore, per medios leonis dentes, os etiam clauſum pertranſiens, elabebatur. Itaque praeda fruſtrati dentes illius mutuo concurſu reſonabant. Tandem inani pugna defatigatus, iraque devictus leo quieverat, cum eius comam volitando circuiens culex, victoriae ſignum cecinit. Inde cum ampliore gyro volatum nimia inſolentia elatus produceret, in aranei telam improviſo incidit: atque ab eo ſtatim deprehenſus eſt. Quamobrem ubi nullum fugiendi locum ſibi relictum cognovit, ſuam ipſius dementiam deteſtatus: Me miſerum, inquit, qui leonem provocare auſus, tenuem aranei telam evadere non poſſum. Quae Satyrus cum dixiſſet: Vide, inquit, o Conops, aranei tibi quoque telas eſſe timendas, ac ſimul cachinnum ſuſtulit.

XXIII. Paucis autem diebus poſt, cum ventri deditum

γαστρὸς ἡττώμενων, φάρμακον πριάμενος ὕπνου βαθέος, ἐφ᾽ ἑστίασιν αὐτὸν ἐκάλεσεν. ὁ δὲ ὑπώπτευσε μέν τινα μηχανὴν, καὶ ὤκνει τὸ πρῶτον. ὡς δ᾽ ἡ βελτίστη [1] γαστὴρ κατηνάγκασεν, πείθεται. ἐπεὶ δ᾽ ἧκεν πρὸς τὸν Σάτυρον, εἶτα δειπνήσας, ἔμελλεν ἀπιέναι, ἐγχεῖ τοῦ φαρμάκου κατὰ τῆς τελευταίας κύλικος ὁ Σάτυρος αὐτῷ· καὶ ὁ μὲν ἔπιεν, καὶ μικρὸν διαλιπὼν, ὅσον εἰς τὸ δωμάτιον αὐτοῦ φθάσαι, καταπεσὼν ἔκειτο, τὸν ὕπνον καθεύδων τοῦ φαρμάκου. ὁ δὲ Σάτυρος εἰστρέχει πρός με, καὶ λέγει· Κεῖταί σοι καθεύδων ὁ Κώνωψ· σὺ δὲ ὅπως Ὀδυσσεὺς ἀγαθὸς γένῃ. Καὶ ἅμα ἔλεγεν, καὶ ἥκομεν ἐπὶ τὰς θύρας τῆς ἐρωμένης. καὶ ὁ μὲν ὑπελείπετο· ἐγὼ δὲ εἰσῄειν, ὑποδεχομένης με τῆς Κλειοῦς ἀψοφητὶ, τρέμων τρόμον διπλοῦν χαρᾶς ἅμα καὶ φόβου· ὁ μὲν γὰρ τοῦ κινδύνου φόβος ἐθορύβει τὰς τῆς ψυχῆς ἐλπίδας· ἡ

Satyrus Conopem animadvertiſſet, ſoporifera potione comparata, hominem ad coenam vocavit. Ille mali aliquid ſuſpicans, primum detrectavit: ſed poſteaquam ſuaſor optimus venter pellexit, morem geſſit. Cumque ad Satyrum veniſſet, ac coenatus abire vellet, potionem ei Satyrus poſtremo in poculo miſcuit: qua ille hauſta non amplius moratus, quam quantum ad ſe intra cubiculum recipiendum ſatis eſſet, potione cogente arcte dormitare coepit. Me vero conveniens ſtatim Satyrus, Dormit, inquit, Conops: itaque Ulyſſis exemplo ſtrenuus fac ſis. Quo dicto, ad Leucippes thalamum ſubito profecti ſumus. Ille pro foribus remanſit: ego, me furtim excipiente Clione, introii, obiecto cum gaudio, tum pavore tremens. Nam periculi metus animi ſpem conturbabat: aſſequendi autem ſpes

1 Lacunam hic facile animadvertas. Interpres vertit : *ſuaſor optimus, venter.*

δὲ ἐλπὶς τοῦ τυχεῖν, ἐπεκάλυπτεν ἡδονῇ τὸν φόβον. οὕτω καὶ τὸ ἐλπίζον ἐφοβεῖτό μου, καὶ ἔχαιρε τὸ λυπούμενον. ἄρτι δέ μου προσελθόντος εἴσω τοῦ θαλάμου τῆς παιδὸς, γίνεταί τι τοιοῦτον περὶ τὴν τῆς κόρης μητέρα. ἔτυχεν γὰρ ὄνειρος αὐτὴν πατάξας. ἐδόκει τινὰ λῃστὴν μάχαιραν ἔχοντα γυμνὴν, ἄγειν ἁρπασάμενον αὐτῆς τὴν θυγατέρα, καὶ καταθέμενον ὑπτίαν, μέσην ἀνατεμεῖν τῇ μαχαίρᾳ τὴν γαστέρα κάτωθεν ἀρξάμενον ἀπὸ τῆς αἰδοῦς. ταραχθεῖσα οὖν ὑπὸ δείματος, ὡς εἶχεν, ἀναπηδᾷ, καὶ ἐπὶ τὸν τῆς θυγατρὸς θάλαμον τρέχει, (ἐγγὺς γὰρ ἦν) ἄρτι μου κατακλιθέντος. ἐγὼ μὲν δὴ τὸν ψόφον ἀκούσας ἀνοιγομένων τῶν θυρίδων, εὐθὺς ἀνεπήδησα. ἡ δὲ ἐπὶ τὴν κλίνην παρῆν. συνεὶς οὖν τὸ κακὸν, ἐξάλλομαι, καὶ διὰ τῶν θυρῶν ἵεμαι δρόμῳ, καὶ ὁ Σάτυρος ὑποδέχεται τρέμοντα, καὶ τεταραγμένον. εἶτ' ἐφεύγομεν διὰ τοῦ σκότους, καὶ ἐπὶ τὸ δωμάτιον ἑαυτῶν ἤλθομεν.

metum voluptate perfundebat. Ita quae pars animi ſperabat, timore angebatur: quae dolebat, gaudio geſtiebat. Ceterum vix puellae cubiculum ingreſſus eram, ubi matri eius horribile neſcio quid in ſomnis oblatum eſt. Latronem enim quendam diſtricto gladio armatum videre viſa eſt, qui filiam abduceret, ac ſupinam ſtatuens, uterum eius, facto a pudendis initio, gladio ſecaret. Quamobrem, ut erat, metu perculſa proſiliit, Leucippeſque thalamum, prope enim erat, citato gradu ingreſſa eſt, me vix in lecto collocato. Tum vero ego, cardinum ſtrepitu audito, ſtatim exſurrexi: iam vero ipſa lecto adſtabat: ipſe, quo in periculo verſarer intelligens, extra thalamum quam ociſſime cucurri. Satyrus trementem perturbatumque me accepit: ambo deinde per tenebras evadentes, ſuum quiſque intra cubiculum ſe recepit.

F 2

κδ΄. Ἡ δὲ πρῶτον μὲν ὑπὸ εἰλίγγου κατέπεσεν· εἶτα ἀνενεγκοῦσα τὴν Κλειὼ κατὰ κόῤῥης ὡς εἶχε, ῥαπίζει, καὶ ἐπιλαβομένη τῶν τριχῶν, ἅμα πρὸς τὴν θυγατέρα ἀνῴμωξεν· Ἀπώλεσάς μου, λέγουσα, Λευκίππη, τὰς ἐλπίδας. οἴμοι, Σώστρατε. σὺ μὲν ἐν Βυζαντίῳ πολεμεῖς ὑπὲρ ἀλλοτρίων γάμων· ἐν Τύρῳ δὲ καταπεπολέμησαι, καὶ τῆς θυγατρός σου τὶς τοὺς γάμους ἐσύλησεν. οἴμοι δειλαία τοιούτους σοὶ τοὺς γάμους ὄψεσθαι οὐ προσεδόκουν. ὄφελον ἔμεινας ἐν Βυζαντίῳ, ὄφελον ἔπαθες πολέμου νόμῳ τὴν ὕβριν, ὄφελόν σε κἂν Θρᾷξ νικήκας ὕβρισεν· οὐκ εἶχεν ἡ συμφορὰ διὰ τὴν ἀνάγκην ὄνειδος. νῦν δὲ κακόδαιμον, ἀδοξεῖς, ἐν οἷς δυστυχεῖς· ἐπλάνα δέ με καὶ τὰ τῶν ἐνυπνίων φαντάσματα, τὸν δὲ ἀληθέστερον ὄνειρον οὐκ ἐθεασάμην. νῦν ἀθλιώτερον ἀνετμήθης τὴν γαστέρα.

XXIV. Puellae mater vertigine primum correpta decidit: mox recreata Clioni faciem totis viribus pugnis contudit: ac ſuos ſibi capillos convellens, unaque ingemiſcens, ita filiam allocuta eſt: Leucippe, tu ſpes meas omnes praecidiſti. Heu miſeram me, o Soſtrate! tu Byzantii pro alienis nuptiis bellum geris, Tyri autem filiae tuae cubile neſcio quis expugnavit, ac polluit. Hei me, o Leucippe! non ego, tales ut nuptias tuas viderem, exſpectabam. Utinam Byzantii remanſiſſes: utinam belli lege contumeliam hanc paſſa eſſes: utinam te vel Thrax aliquis hoſtis victor iniuria affeciſſet: faceret enim vis illa, ut infortunium iſtud dedecore careret. Nunc, o te infelicem, eius rei, quae te miſeram reddit, ad te infamia redundat. Quae nocturna etiam viſa me fefellerunt; neque, quod verius erat, inſomnium vidi. Nunc certe crudelem in modum diſſectus tibi uterus fuit, atque adeo, ut ne ferro quidem

αὕτη δυστυχεστέρα τῆς μαχαίρας τομὴ, οὐδὲ ἴδον τὸν ὑβρίσαντά σε, οὐδὲ οἶδά μου τῆς συμφορᾶς τὴν τύχην. οἴμοι τῶν κακῶν. μὴ καὶ δοῦλος ἦν;

κε΄. Ἐθάρσησεν οὖν ἡ παρθένος, ὡς ἂν ἐμοῦ διαπεφευγότος, καὶ λέγει· Μὴ λοιδόρει μου, μῆτερ, τὴν παρθενίαν· οὐδὲν ἔργον μοι πέπρακται τοιούτων ῥημάτων. οὐδὲ οἶδα τοῦτον ὅστις ἦν, εἴτε δαίμων, εἴτε Ἥρως [1], εἴτε λῃστής. ἐκείμην δὲ πεφοβημένη, μηδὲ ἀνακραγεῖν διὰ τὸν φόβον δυναμένη. φόβος γὰρ γλώττης ἐστὶ δεσμός. ἓν οἶδα μόνον, οὐδείς μου τὴν παρθενίαν κατῄσχυνεν. Καταπεσοῦσα οὖν ἡ Πανθία πάλιν ἔστενεν. Ἡμεῖς δὲ ἐσκοποῦμεν, καθ᾽ ἑαυτοὺς γενόμενοι, τί ποιητέον εἴη, καὶ ἐδόκει κράτιστον εἶναι φεύγειν, πρὶν ἠὼς γένηται, καὶ τὸ πᾶν ἡ Κλειὼ βασανιζομένη κατείπῃ.

crudelius dividi potuerit. Quid, quod neque iniuriae tibi factae, neque iniusti mihi doloris auctorem cognovi. O infortunia! numquid vero servus iste aliquis fuit?

XXV. Tum Leucippe animo confirmato, quod fuga elapsus essem: At tu, mater, virginitatem, inquit, meam probris incessere noli: neque enim sermone isto tuo dignum quidquam admisi, neque illum, quisquis tandem, sive Deus, sive heros, seu etiam latro fuerit, agnovi. Perterrita enim iacebam, ut neque vocem prae timore mittere possem: linguae enim vinculum timor est. Hoc tantum scio, virginitatem a nemine meam violatam fuisse. Itaque collapsa iterum Panthia ingemiscebat. Interea nos, quid fieri a nobis oporteret, soli mente agitabamus: illudque optimum iudicatum est, ut, priusquam illucesceret, ac tormentis coacta Clio rem patefaceret, solum verteremus.

1 Εἴτε Ἥρως) Legebatur antea εἴτε ἔρως male post v. εἴτε δαίμων. Nostram lectionem habuisse videtur vetus Interpres.

κστ΄. Δόξαν οὖν οὕτως εἰχόμεθα ἔργου. σκηψάμενοι δὲ πρὸς τὸν θυρωρὸν, ἀπιέναι πρὸς ἐρωμένην, καὶ ἐπὶ τὴν οἰκίαν ἐρχόμεθα τοῦ Κλεινίου. ἦσαν δὲ λοιπὸν μέσαι νύκτες, ὥστε μόλις ὁ θυρωρὸς ἀνέῳξεν ἡμῖν. καὶ ὁ Κλεινίας, ἐν ὑπερῴῳ γὰρ τὸν θάλαμον εἶχε, διαλεγομένων ἡμῶν ἀκούσας κατατρέχει τεταραγμένος. καὶ ἐν τούτῳ τὴν Κλειὼ κατόπιν ὁρῶμεν σπουδῇ θέουσαν· ἦν γὰρ δρασμὸν βεβουλευμένη· ἅμα τε ὁ Κλεινίας ἤκουσεν ἡμῶν ἃ πεπόνθαμεν, καὶ τῆς Κλειοῦς ἡμεῖς, ὅπως φύγοι, καὶ πάλιν ἡμῶν ἡ Κλειὼ τί ποιεῖν μέλλοιμεν. παρελθόντες οὖν εἴσω τῶν θυρῶν, τῷ Κλεινίᾳ διηγούμεθα τὰ γεγονότα, καὶ ὅτι φεύγειν διεγνώκαμεν. λέγει ἡ Κλειὼ, Κᾀγὼ σὺν ὑμῖν. ἢν γὰρ περιμένω τὴν ἕω, θάνατός μοι πρόκειται, τῶν βασάνων γλυκύτερος.

XXVI. Hac ſententia comprobata cum ianitore ita egimus, ut ad amicas noſtras ituros nos crederet: atque ad Cliniam recta pervenimus. Erat tum media nox, ideoque nonniſi difficulter a ianitore impetravimus, ut fores aperiret. Clinia, quod in editiore domus parte cubare conſueviſſet, colloquentes nos audivit, perturbatuſque omni cum feſtinatione obviam nobis proceſſit. Atque haec dum fiunt, Clionem celeri curſu nos ſequentem proſpicimus; fugere enim ipſa quoque decreverat. Eodem igitur tempore Clinia, quid nobis eveniſſet, intellexit, & nos, quid Clioni, quare fugeret. Clio contra noſtrum conſilium exploravit: domum enim ingreſſi nos primum Cliniae, quae acta fuerant, & quemadmodum e patria excedere ſtatueramus, expoſuimus. Deinde Clio: Ego quoque, inquit, vobiſcum una proficiſcar. Nam ſi manſero, quouſque illuceſcat, mors mihi tormentis dulcior obeunda.

κζ'. Ὁ οὖν Κλεινίας τῆς χειρός μου λαβόμενος, ἄγει τῆς Κλειοῦς μακρόθεν, καὶ λέγει· Δοκῶ μοι καλλίστην γνώμην εὑρηκέναι, ταύτην μὲν ὑπεξαγαγεῖν, ἡμᾶς δὲ ὀλίγας ἡμέρας ἐπισχεῖν, κἂν οὕτω δοκεῖ, συσκευασαμένους ἀπελθεῖν. οὐδὲ γὰρ νῦν οἶδεν τῆς κόρης ἡ μήτηρ, τίνα κατέλαβεν, ὡς ὑμεῖς φατε, ὅ, τε καταμηνύσων οὐκ ἔσται, τῆς Κλειοῦς ἐκ μέσου γενομένης. τάχα δὲ καὶ τὴν κόρην συμφυγεῖν πείσετε. Ἔλεγεν δὲ καὶ αὐτὸς ὅτι κοινωνὸς ἔσται τῆς ἀποδημίας. Ταῦτα ἔδοξεν· καὶ τὴν μὲν Κλειὼ τῶν οἰκετῶν αὐτοῦ τινι παραδίδωσι, κελεύσας ἐμβαλέσθαι σκάφει: ἡμεῖς δὲ αὐτοῦ καταμείναντες, ἐφροντίζομεν περὶ τῶν ἐσομένων, καὶ τέλος ἔδοξεν ἀποπειρασθῆναι τῆς κόρης· καὶ ἢν μὲν θελήσῃ συμφυγεῖν, οὕτω πράττειν· εἰ δὲ μὴ, μένειν αὐτοῦ, παραδόντας ἑαυτοὺς τῇ τύχῃ. κοιμηθέντες οὖν ὀλίγον τῆς νυκτὸς ὅσον τὸ λοι-

XXVII. Tum Clinia manu prehensum me procul a Clione abducit, mihique: Optimum, inquit, consilium reperisse me videor, hanc scilicet ut hinc amoveamus, nos dies paucos exspectemus: deinde, si e re ita fuerit, una abscedamus. Quem enim deprenderit puellae mater, nondum, ut vos dicitis, cognovit: nec, qui indicet, submota Clione, quisquam reperietur. Ac forte fiet, ut virgo ad fugiendum pelliciatur. Seque ipse etiam fugae nostrae socium futurum pollicitus est. Huic sententiae assensum fuit, & Clio famulorum uni tradita, qui naviculae impositam aveheret: nos illic remansimus, quae agenda supererant, procurantes. Tandem puellam tentare placuit, eo consilio, ut, si nobiscum proficisci vellet, eam abduceremus: sin minus, illic nos quoque remaneremus, fortunae arbitrio nosmet permittentes. Quantum itaque no-

πον, περὶ τὴν ἕω πάλιν ἐπὶ τὴν οἰκίαν ἐπανήλθομεν.

κη΄. Ἡ οὖν Πανθία ἀναστᾶσα, περὶ τὰς βασάνους τῆς Κλειοῦς ἠυτρεπίζετο, καὶ καλεῖν αὐτὴν ἐκέλευσε. ὡς δ᾽ ἦν ἀφανής, πάλιν ἐπὶ τὴν θυγατέρα ἵεται, καί Οὐκ ἐρεῖς, ἔφη, τὴν συσκευὴν τοῦ δράματος; ἰδοὺ καὶ ἡ Κλειὼ πέφευγεν. Ἡ δὲ ἔτι μᾶλλον ἐθάρσησε, καὶ λέγει· Τί πλέον εἴπω σοι; τίνα δὲ ἄλλην προσαγάγω πίστιν τῆς ἀληθείας μείζονα; εἰ παρθενίας ἐστί τις δοκιμασία, δοκίμασον. Ἔτι καὶ τοῦτο, ἔφη ἡ Πανθία, λείπεται, ἵνα καὶ μετὰ μαρτύρων δυστυχῶμεν. Ταῦθ᾽ ἅμα λέγουσα, ανεπήδησεν ἔξω.

κθ΄. Ἡ δὲ Λευκίππη καθ᾽ αὑτὴν γενομένη, καὶ τῶν τῆς μητρὸς γεμισθεῖσα ῥημάτων, παντοδαπή τις ἦν [1], ἤχθετο, ᾐσχύνετο, ὠργίζετο. ἤχθετο μὲν, πε-

ctis supererat, somno concessimus; ac summo mane domum revenimus.

XXVIII. Tum vero exsurgens Panthia Clionem, ut de ea quaestionem haberet, vocari iussit: quam cum nusquam inveniri cognovit, rursum ad filiam reversa: Quid, inquit, causae est, quamobrem facti huius seriem mihi non explicas? ecce ipsa etiam Clio evanuit. Tum Leucippe audentior etiam facta: Quidnam, inquit, tibi amplius dicam? aut quam aliam veritatis fidem maiorem afferam? Si virginitatis periculum modo aliquo fieri potest, fiat. Scilicet id etiam restat, inquit Panthia, ut infortunii nostri testes adsciscam. Atque haec cum dixisset, statim exivit.

XXIX. Leucippe sola relicta, maternisque verbis satiata, varias in partes distrahebatur. Dolebat, quod deprehensa fuisset: erubescebat, quod se mater probris affecis-

1 Παντοδαπή τις ἦν) Infra L. VII, c. 1: Παντοδαπὸς ἦν, ἤχθετο, ὠργίζετο, ἐβουλεύετο. ὠργίζετο μὲν, ὡς ὑβρισμένος· ἤχθετο δ᾽ ὡς ἀποτυχών· ἐβουλεύετο δὲ, ὡς ἐρῶν.

φωραμένη· ᾐσχύνετο δὲ, ὀνειδιζομένη· ὠργίζετο δὲ, ἀπιστουμένη. αἰδὼς δὲ, καὶ λύπη, καὶ ὀργὴ, τρία τῆς ψυχῆς κύματα. ἡ μὲν γὰρ αἰδὼς, διὰ τῶν ὀμμάτων εἰσρέουσα, τὴν τῶν ὀφθαλμῶν ἐλευθερίαν καθαιρεῖ. ἡ δὲ λύπη περὶ τὰ στέρνα διανεμομένη κατατήκει τῆς ψυχῆς τὸ ζώπυρον. ἡ δὲ ὀργὴ περιϋλακτοῦσα τὴν καρδίαν ἐπικλύζει τὸν λογισμὸν τῷ τῆς μανίας ἀφρῷ. λόγος δὲ τούτων ἁπάντων πατήρ. καὶ ἔοικεν ἐπὶ σκοπῷ τόξον βάλλειν, καὶ ἐπιτυγχάνειν, καὶ ἐπὶ τὴν ψυχὴν πέμπειν τὰ βλήματα, καὶ ποικίλα τοξεύματα. τὸ μέν ἐστι αὐτῷ λοιδορίας βέλος· καὶ γίνεται τὸ ἕλκος ὀργή. τὸ δέ ἐστιν ἔλεγχος ἀτυχημάτων· ἐκ τούτου τοῦ βέλους λύπη γίνεται. τὸ δὲ ὄνειδος ἁμαρτημάτων· καὶ καλοῦσιν αἰδῶ τὸ τραῦμα. ἴδιον δὲ τούτων ἁπάντων τῶν βελῶν, βαθέα μὲν τὰ βλήματα, ἄναιμα δὲ τὰ τοξεύματα. ἓν δὲ τούτων ἁπάντων φάρμακον, ἀμύνασθαι τὸν βάλλοντα τοῖς αὐτοῖς βλήμασιν. λόγος γὰρ γλώσσης βέλος, ἄλλης γλώσσης βέλει θερα-

ſet: iraſcebatur, quod ſibi fides non haberetur. Porro autem pudor, moeror, ira, tres ſunt animi fluctus. Pudor enim, in oculos illabens, eis libertatem adimit: moeror in pectus diffuſus, animi ardorem exſtinguit: ira circum cor adlatrans, rationem inſaniae ſpuma obruit. Horum omnium procreator eſt ſermo: qui tanquam telum ad metam dirigens, atque collineans, variis animum vulneribus afficit. Nam cum tria ſint illius tela, nempe convicium, calamitatis invulgatio, & erratorum exprobratio; vulnera quoque tria eſſe oportet, iram ſcilicet, moerorem, pudorem. Hiſce omnibus telis peculiare eſt, ut profundas, at non cruentas, plagas imponant. Quarum medicina eſt, eadem in ferientem tela retorquere. Sermo enim, qui linguae telum eſt, ſermone, linguae ſcilicet alterius telo, retundi-

πεύεται. καὶ γὰρ τῆς καρδίας ἔπαυσε τὸ θυμούμενον, καὶ τῆς ψυχῆς ἐμάρανε τὸ λυπούμενον. ἂν δέ τις ἀνάγκη τοῦ κρείττονος σιγήσῃ τὴν ἄμυναν, ἀλγεινότερα γίνεται τὰ ἕλκη τῇ σιωπῇ. αἱ γὰρ ὠδῖνες τῶν ἐκ τοῦ λόγου κυμάτων, οὐκ ἀποπτύσασαι τὸν ἀφρὸν, οἰδοῦσι περὶ αὑτὰς πεφυσημέναι. Τοσούτων οὖν ἡ Λευκίππη γεμισθεῖσα τῶν συμφορῶν, οὐκ ἔφερε τὴν προσβολήν.

λ΄. Ἐν τούτῳ δὲ ἔτυχον πέμψας τὸν Σάτυρον πρὸς τὴν κόρην ἀποπειρασόμενον τῆς φυγῆς. ἡ δὲ, πρὶν ἀκοῦσαι, πρὸς τὸν Σάτυρον· Δέομαι, ἔφη, πρὸς θεῶν ξενίων καὶ ἐγχωρίων, ἐξαρπάσατέ με τῶν τῆς μητρὸς ὀφθαλμῶν, ὅποι βούλεσθε. εἰ δέ με ἀπελθόντες καταλείποιτε, βρόχον πλεξαμένη τὴν ψυχήν μου οὕτως ἀφήσω. Ἐγὼ δὲ ὡς ταῦτα ἤκουσα, τὸ πολὺ τῆς φροντίδος ἀπεῤῥιψάμην. δύο δὲ ἡμέρας διαλιπόντες, ὅτε καὶ ἀποδημῶν ἔτυχε ὁ πατὴρ, παρασκευαζόμεθα πρὸς τὴν φυγήν.

tur: eoque pacto animi concitata pars ſedatur, & moeroris vires franguntur. Quod ſi cui res cum potentiore ſit, ita ut nec contra loqui, nec referire audeat, tum vero profundiora tacendo vulnera fiunt. Nam ſermonis alicuius aeſtu concitati dolores, niſi ſpumam eiecerint, ſua ipſorum mole magis ingraveſcunt. His moleſtiis conflictata Leucippe, animum deſpondebat.

XXX. Interea Satyrum ad eam, an fugere vellet, ſciſcitatum miſi. Quae ſermonem illius antevertens: Per externos, inquit, atque indigenas Deos, quaeſo, e matris oculis ereptam, quo vultis, abducite: nam ſi me relicta diſceſſeritis, laqueo mihimet animam intercludam. Quae cum mihi relata fuerunt, magna ex parte animi mei moleſtiam abſterſerunt. Biduum itaque commorati, ſiquidem domo aberat pater, quae ad fugam opus erant, paravimus.

λα΄. Εἶχε δὲ ὁ Σάτυρος τοῦ φαρμάκου λείψανον, ᾧ τὸν Κώνωπα ἦν κατακοιμήσας. τούτου διακονούμενος ἡμῖν ἐγχεῖ λαθὼν κατὰ τῆς τελευταίας κύλικος, ἣν τῇ Πανθίᾳ προσέφερεν. ἡ δὲ ἀναστᾶσα, ᾤχετο εἰς τὸν θάλαμον ἑαυτῆς, καὶ εὐθὺς ἐκάθευδε. εἶχε δὲ ἑτέραν ἡ Λευκίππη θαλαμηπόλον, ἣν τῷ αὐτῷ φαρμάκῳ καταβαπτίσας ὁ Σάτυρος, προσεπεποίητο γὰρ καὶ αὐτῆς, ἐξ οὗ τῷ θαλάμῳ προσελήλυθε, ἐρᾶν, ἐπὶ τὴν τρίτην θύραν ἔρχεται ἐπὶ τὸν θυρωρὸν, κἀκεῖνον βεβλημένον [1] τῷ αὐτῷ πόματι. ὄχημα δὲ εὐπρεπὲς ἡμᾶς πρὸ τῶν πυλῶν ἐξεδέχετο, ὅπερ Κλεινίας παρεσκεύασεν, καὶ ἔφθανεν ἡμᾶς ἐπ' αὐτοῦ περιμένων. ἐπεὶ δὲ πάντες ἐκάθευδον, περὶ πρώτας νυκτὸς φυλακὰς πρόσιμεν ἀψοφητὶ, Λευκίππην τοῦ Σατύρου χειραγωγοῦντος, καὶ γὰρ ὁ Κώνωψ, ὅσπερ ἡμῖν

XXXI. Eius autem potionis, qua Conops consopitus fuerat, reliquum Satyrus cum asservasset, id, dum nobis ministrat, postremo in poculo Panthiae clam miscuit. Quamobrem illa mensa relicta suum se intra cubiculum contulit, statimque dormitare coepit. Erat virgini alia etiam cubicularia: cui cum potionis eiusdem Satyrus partem dedisset, illam enim, ex quo thalamo praefecta fuit, adamare finxerat, ad tertiam ianuam, quae superanda erat, ad ianitorem nempe venit, eumque medicamento eodem dormire compulit. Interea curru instructo Clinia pro foribus praestolabatur, ac iam nos antevertens conscenderat. Posteaquam sopiti omnes iacuerunt, circiter primam noctis vigiliam summo cum silentio discessimus, Satyro Leucippen manu ducente: forte enim eo die Co-

1 Βεβλημένον) Cod. Bavar. & ed. pr. βέβληκε, quod quidem orationis series postulat. Forte tamen integrum verbum, λείπει, vel simile quid, excidit.

ἐφήδρευε, κατὰ τύχην, ἐκείνην ἀπεδήμει τὴν ἡμέραν, τῇ δεσποίνῃ διακονησόμενος. ἀνοίγει δὴ τὰς θύρας ὁ Σάτυρος, καὶ προήλθομεν. ὡς δὲ πάριμεν ἐπὶ τὰς πύλας, ἐπέβημεν τοῦ ὀχήματος. ἦμεν δὲ οἱ πάντες ἕξ, ἡμεῖς, καὶ ὁ Κλεινίας, καὶ δύο θεράποντες αὐτοῦ. Ἐπελαύνομεν οὖν τὴν ἐπὶ Σιδῶνα, καὶ περὶ μοίρας τῆς νυκτὸς δύο πάριμεν ἐπὶ τὴν πόλιν, καὶ εὐθὺς ἐπὶ Βηρύτου τὸν δρόμον ἐποιούμεθα, νομίζοντες εὑρίσκειν ἐκεῖ ναῦν ἐφορμοῦσαν, καὶ οὐκ ἠτυχήσαμεν. ὡς γὰρ ἐπὶ τοῦ Βηρυτίων λιμένος ἤλθομεν, ἀναγόμενον σκάφος εὕρομεν, ἄρτι τὰ πρυμνήσια μέλλον ἀπολύειν. μηδὲν οὖν ἐρωτήσαντες ποῦ πλεῖ, μετασκευαζόμεθα ἐπὶ τὴν θάλατταν ἐκ τῆς γῆς, καὶ ἦν ὁ καιρὸς μικρὸν ἄνω τῆς ἕω. ἔπλει δὲ τὸ πλοῖον εἰς Ἀλεξάνδρειαν, τὴν μεγάλην τοῦ Νείλου πόλιν.

λβ'. Ἔχαιρον δὲ τὸ πρῶτον, ὁρῶν τὴν θάλατταν, οὔπω πελαγίζοντος τοῦ σκάφους, ἀλλ' ἐπὶ τοῖς λι-

nops, qui nos obſervare conſueverat, herae cauſa domo abſceſſerat. Aperta igitur a Satyro ianua, exivimus: vehiculumque numero ſex, ego ſcilicet, Leucippe, Satyrus, Clinia, & famuli Cliniae duo, conſcendimus, ac Sidonem curſum direximus. Noctiſque parte altera exacta, eam ad urbem, mox Berytum, nulla interiecta mora, pervenimus, navem illic aliquam ſoluturam invenire credentes. Neque nos opinio fefellit. Nam ſimulac Berytiorum portum intravimus, navem iamiam ſoluturam comperimus, in eamque prius, quam, quo curſum teneret, ſciſcitaremur, noſtra omnia contulimus, & paulo ante lucem aſcendimus: ac tum demum Alexandriam, Aegypti urbem celeberrimam, petere illam cognovimus.

XXXII. Ibi vero ego primum omnium gaviſus ſum mare adſpiciens, nondum abrepta in altum, ſed in portu

μέσιν ἐποχουμένου. ὡς δὲ ἔδοξεν οὔριον εἶναι πρὸς ἀναγωγὴν τὸ πνεῦμα, θόρυβος ἦν πολὺς κατὰ τὸ σκάφος, τῶν ναυτῶν διαθεόντων, τοῦ κυβερνήτου κελεύοντος. ἑλκομένων τῶν κάλων [1] ἡ κεραία [2] περιήγετο, τὸ ἱστίον καθίετο, ἡ ναῦς ἀπεσαλεύετο, τὰς ἀγκύρας ἀνέσπων, ὁ λιμὴν κατελείπετο, γῆν γὰρ ἑωρῶμεν ἀπὸ τῆς νηὸς κατὰ μικρὸν ἀναχωροῦσαν, ὡς αὐτὴν πλέουσαν. παιανισμὸς ἦν καὶ πολλή τις εὐχή. θεοὺς σωτῆρας καλοῦντες, εὐφημοῦντες αἴσιον τὸν πλοῦν γενέσθαι. τὸ πνεῦμα ἤρετο σφοδρότερον, τὸ ἱστίον ἐκυρτοῦτο, καὶ εἷλκε τὴν ναῦν.

adhuc quiescente navi. Postea vero quam idoneus ad exeundum ventus flare visus est, ingens in navi discurrentium nautarum, attractorum rudentum, gubernatoris hortantis strepitus exortus: antenna obversa, velum factum, navis in altum abrepta, sublatae ancorae, portus relictus est, terra a navi, quasi ipsa navigaret, recedere paulatim videbatur. Ibi tum plausus excitatus, multaeque Deis servatoribus, quo prospera navigatione uti liceret, preces effusae sunt. Interea venti vis augebatur, velumque implebat, ac navim propellebat.

1 Ἑλκομένων τῶν κάλων) In aliis, ut & editione, τῶν καλωδίων. Et mox ἡ κεραία περιῆγεν, pro περιήγετο. *Obvertebatur antenna.*

Cornua velatarum obvertimus antennarum.

Τὰς κεραίας περιήγομεν. Sed omnes libri hic legunt, ἡ κεραία περιῆγεν. An περιήχει: *tractis rudentibus antenna stridebat?* Illud melius, quod reposuimus, nec aliter omnino scribendum. Infra Lib. III: καὶ ὁ κυβερνήτης περιάγειν ἐκέλευσε τὴν κεραίαν.

2 Κεραία) Scholiastes Homeri Iliad. Σ. Κεραία καλεῖται τὸ ἐπάνω τοῦ ἱστοῦ δεδεμένον πλάγιον ξύλον, οὗ ἐξάπτεται ἡ ὀθόνη. Vocatur & κέρας infra L. V, ἐπὶ τὸ κέρας ἦξα. Aelianus de nat. anim. L. II, cap. 48 de corvis: καθίσαντες ἐπὶ τὸ κέρας τῆς νεώς.

λγ'. Ἔτυχε δέ τις ἡμῖν νεανίσκος παρασκηνῶν [1], ὃς, ἐπεὶ καιρὸς ἦν ἀρίστου, φιλοφρονούμενος ἡμᾶς, συναριστᾶν ἠξίου. καὶ ἡμῖν δὲ ὁ Σάτυρος παρέφερεν. ὥστε εἰς μέσον καταθέμενοι ἃ εἴχομεν, τὸ ἄριστον ἐκοινωνοῦμεν, ἤδη δὲ καὶ λόγον. Λέγω δὴ πρῶτος· Πόθεν, ὦ νεανίσκε, καὶ τίνα σε δεῖ καλεῖν; Ἐγὼ Μενέλαος, εἶπεν· τὸ δὲ γένος Αἰγύπτιος. τὰ δὲ ὑμέτερα τίνα; Ἐγὼ Κλειτοφῶν, οὗτος Κλεινίας, Φοίνικες ἄμφω. Τίς οὖν ἡ πρόφασις ὑμῖν τῆς ἀποδημίας; Ἢν σὺ πρῶτος ἡμῖν φράσῃς, καὶ τὰ παρ' ἡμῶν ἀκούσῃ.

λδ'. Λέγει οὖν ὁ Μενέλαος· Τὸ μὲν κεφάλαιον τῆς ἐμῆς ἀποδημίας, ἔρως βάσκανος, καὶ θήρα δυστυχής. ἤρων δὲ μειρακίου καλοῦ. τὸ δὲ μειράκιον, φι-

XXXIII. Forte autem ea ipſa in navi prope nos iuvenis quidam ſedebat: qui, quoniam cibi capiendi tempus venerat, perhumane nos, ut una edere liceret, rogavit. Quamobrem cum Satyrus, quae nobis paraverat, iam promere coepiſſet, ea omnia in commune conferentes, prandio, colloquioque nos mutuo participavimus. Atque ego prior: Cuias tu, inquam, adoleſcens, es, quodve tibi nomen eſt? Tum ille: Aegyptius, inquit, ſum, ac Menelao mihi nomen eſt. De vobis autem ecquid mihi reſpondetis? Cui ego: Clitophon, inquam, vocor, hic autem Clinia, Phoenices ambo. Quaenam vero cauſa veſtrae profectionis? Si tu navigationis tuae cauſam nobis recenſueris, nos noſtrae contra tibi aperiemus.

XXXIV. Tum Menelaus: Meae, inquit, navigationis ſumma eſt, amor invidus, & venatio infelix. Formoſi enim adoleſcentuli amore ardebam. Adoleſcentulus venationi de-

1 Παρασκηνῶν) Σκηνὴ erat locus in puppi, ubi gubernator ac praetor ſedebant ſub tabernaculo. Pollux: Σκηνὴ ὀνομάζεται τὸ πηγνύμενον στρατηγῷ ἢ τριηράρχῳ.

λόθηρον ἦν. ἐπεῖχον τὰ πολλά, κρατεῖν οὐκ ἠδυνάμην. ὡς δ᾽ οὐκ ἔπειθον, εἱπόμην κἀγὼ ἐπὶ τὰς ἄγρας. ἐθηρῶμεν οὖν ἱππεύοντες ἄμφω, καὶ τὰ πρῶτα εὐτυχοῦμεν, τὰ λεπτὰ διώκοντες τῶν θηρίων. ἐξαίφνης δὲ σῦς τῆς ὕλης προπηδᾷ. καὶ τὸ μειράκιον ἐδίωκεν, καὶ ὁ σῦς ἐπιστρέφει τὴν γένυν, καὶ ἀντιπρόσωπος ἐχώρει δρόμῳ. καὶ τὸ μειράκιον οὐκ ἐξέτρεπτο. βοῶντος ἐμοῦ, καὶ κεκραγότος, ἕλκε τὸν ἵππον μετενέγκας τὰς ἡνίας, πονηρὸν τὸ θηρίον, ἀλλάξας δὲ ὁ σῦς σπουδῆς ἔτρεχεν ὡς ἐπ᾽ αὐτόν, καὶ οἱ μὲν συνέπιπτον ἀλλήλοις· ἐμὲ δὲ τρόμος, ὡς εἶδον, λαμβάνει, καὶ φοβούμενος μὴ φθάσῃ τὸ θηρίον, καὶ πατάξῃ τὸν ἵππον, ἐναγκυλησάμενος τὸ ἀκόντιον, πρὶν ἀκριβῶς καταστοχάσασθαι τοῦ σκοποῦ, πέμπω τὸ βέλος. τὸ δὲ μειράκιον παραθέον ἁρπάζει τὴν βολήν. τίνα οἴει με τότε ψυχὴν

ditus erat: a qua tametsi eum plerumque revocabam, abducere tamen omnino nequibam. Itaque cum non obtemperaret, venantem ipse quoque sequebar. Ac cum equestres ambo venatum semel exivissemus, quamdiu quidem infirmiores feras persecuti fuimus, res e sententia processit: sed cum tandem aper improviso e silva prodiisset, adolescens illum persequitur, aper se convertens cum fulmineis dentibus adversus stabat, ille vero loco non cessit, me etiam reclamante, atque, ut equum sustineret, habenasque adduceret, quoniam immanis bellua esset, admonente. Aper in adolescentem magna vi cursum direxit, amboque alter in alterum impetum fecerunt. Quod simulac vidi, equidem cohorrui, veritusque, ne bellua eum assequeretur, & equum ictu prosterneret, iaculum, quod gerebam, minime, quo intenderem, praevidens, conieci: factumque est, ut, dum praetercurrit adolescens, ipse vulnus exceperit. Quem vero mihi animum fuisse tum putas?

ἔχειν; εἰ καὶ ψυχὴν εἶχον ὅλως, ὡς ἂν ἄλλος τις ἀποθάνοι ζῶν. τὸ δὲ οἰκτρότερον, τὰς χεῖρας ὤρεγέ μοι, μικρὸν ἔτι ἐμπνέων, καὶ περιέβαλλεν, καὶ ἀποθνήσκων οὐκ ἐμίσει με τὸν πονηρὸν, ὁ ὑπ' ἐμοῦ πεφονευμένος, ἀλλὰ τὴν ψυχὴν ἀφῆκε, τῇ φονευσάσῃ μου περιπλεκόμενος δεξιᾷ. ἄγουσιν οὖν με ἐπὶ τὸ δικαστήριον οἱ τοῦ μειρακίου γονεῖς οὐκ ἄκοντα· καὶ γὰρ ἀπελθὼν ἀπελογούμην οὐδὲν, θανάτου δὲ ἐτιμώμην ἐμαυτόν. ἐλεήσαντες οὖν οἱ δικασταὶ προσετιμήσαντό μοι τριετῆ φυγήν· ἧς νῦν τέλος ἐχούσης, αὖθις ἐπὶ τὴν ἐμαυτοῦ καταίρω. Ἐπεδάκρυσεν ὁ Κλεινίας, αὐτοῦ λέγοντος ταῦτα· Πάτροκλον πρόφασιν [1] ἀναμνησθεὶς

si modo animi quidquam mihi omnino relictum fuit, tale utique fuit, quale in uno aliquo animam efflante esse consuevit. Quod autem omnium luctuosissimum fuit, manus mihi spirans adhuc porrigebat, amplexabaturque: tantumque abest, ut, a quo interfectus fuerat, me sontem odio haberet, ut dexteram etiam vulneris auctorem tenens animam efflaret. Hac me de causa in ius adolescentis parentes vocarunt, sane non invitum: sistens enim non solum excusatione aliqua usus non sum, sed etiam morte dignum ipse me censui. Verumtamen misericordia commoti iudices annos tres exsulare me iusserunt. Quod tempus cum effluxerit, nunc in patriam revertor. Haec dum Menelaus commemoraret, Clinia Chariclis recordatus, non potuit, quin quasi sub praetextu Patrocli lacrimaretur.

1 Πάτροκλον πρόφασιν) Notum illud proverbium ex illo Homerico: Πάτροκλον πρόφασιν. Cum captivae mulieres Troianae praeficarum more cogerentur lamentari Patrocli mortem, veras quidem lacrimas fundebant, sed non propter Patroclum. Nam suas miserias captivitatemque deflebant. Patroclus illi fletui praetextus erat. Vera causa sua sibi miseranda sors. Ideo flebant Πάτροκλον πρόφασιν. Ita & iste Clinias illacrimavit narrationi Menelai Πάτροκλον πρόφασιν, non ob Menelai casum & infortunium, sed ob suum illi simile ac paene germanum.

Χαρικλέους. Καὶ ὁ Μενέλαος· Τὰ ’μὰ δακρύεις; ἔφη· ἢ καί σέ τι τοιοῦτον ἐξήγαγεν; Στενάξας οὖν ὁ Κλεινίας, καταλέγει τὸν Χαρικλέα καὶ τὸν ἵππον, κἀγὼ τὰ ἐμαυτοῦ.

λέ. Ὁρῶν οὖν ἐγὼ τὸν Μενέλαον κατηφῆ πάνυ τῶν ἑαυτοῦ μεμνημένον, τὸν δὲ Κλεινίαν ὑποδακρύοντα μνήμῃ Χαρικλέους, βουλόμενος αὐτοὺς τῆς λύπης ἀπαγαγεῖν, ἐμβάλλω λόγον ἐρωτικῆς ἐχόμενον ψυχαγωγίας. καὶ γὰρ οὐδὲ ἡ Λευκίππη παρῆν, ἀλλ’ ἐν μυχῷ ἐκάθευδε τῆς νηός. λέγω δὴ πρὸς αὐτοὺς ὑπομειδιῶν· Ὡς παρὰ πολὺ κρατεῖ μου Κλεινίας; ἐβούλετο γὰρ λέγειν κατὰ γυναικῶν, ὥσπερ εἰώθει. ῥᾷον δ’ ἂν εἴποι νῦν, ἤτοι ὡς κοινωνὸν ἔρωτος εὑρών. οὐκ οἶδα γὰρ, πῶς ἐπιχωριάζει νῦν ὁ εἰς τοὺς ἄῤῥενας ἔρως. Οὐ γὰρ πολὺ ἄμεινον, ὁ Μενέλαος ἔφη, τοῦτο ἐκείνου;

Quamobrem Menelaus: Meane, inquit, cauſa lacrimas iſtas profundis, an vero ſimilis te quoque caſus aliquis exſulare cogit? Tum Clinia non ſine multis ſuſpiriis Chariclis & equi eventum narravit. Poſt quem meum ipſe quoque penſum abſolvi.

XXXV. Dein vero cum Menelaum rerum ſuarum recordatione valde triſtem, Cliniam vero ob Chariclis memoriam etiam lacrimantem vidiſſem, moerorem amborum abſtergere cupiens, ſermonem amatoria voluptate perfuſum excitavi: aberat enim tum Leucippe, in occultiore navis parte ſomnum capiens: ac converſus ad eos, ſubridenſque, Quanto, inquam, me Clinias potentior: & id nunc etiam, (in mulieres enim, uti mos ſuus eſt, invehi peroptat) eo facilius faciet, quod amoris ſocium invenit. Quid autem in cauſa ſit, quamobrem tam multi puerorum amoribus delectentur, ipſe ſane non video. Tum Menelaus: An non hic, inquit, muliebri longe praeſtantior

καὶ γὰρ ἁπλούστεροι παῖδες γυναικῶν, καὶ τὸ κάλλος αὐτοῖς δριμύτερον εἰς ἡδονήν. Ποῖ δριμύτερον; ἔφην· ὅτι παρακύψαν μόνον οἴχεται, καὶ οὐκ ἀπολαῦσαι δίδωσι τῷ φιλοῦντι, ἀλλ' ἔοικε τῷ τοῦ Ταντάλου πόματι; πολλάκις γὰρ ἐν ᾧ πίνεται, πέφευγεν, καὶ ἀπῆλθεν ὁ ἐραστὴς οὐχ εὑρὼν πιεῖν. τὸ δὲ ἔτι πινόμενον, ἁρπάζεται πρὶν ὁ πίνων κορεσθῇ. καὶ οὐκ ἔστιν ἀπὸ παιδὸς ἀπελθεῖν ἐραστὴν ἄλυπον ἔχοντα τὴν ἡδονήν· καταλείπει γὰρ ἔτι διψῶντα.

λστ'. Καὶ ὁ Μενέλαος· Ἀγνοεῖς, ὦ Κλειτοφῶν, ἔφη, τὸ κεφάλαιον τῆς ἡδονῆς. ποθεινὸν γὰρ ἀεὶ τὸ ἀκόρεστον. τὸ μὲν γὰρ εἰς χρῆσιν χρονιώτερον, τῷ κόρῳ μαραίνει τὸ τερπνόν· τὸ δὲ ἁρπαζόμενον καινόν ἐστιν ἀεὶ, καὶ μᾶλλον ἀνθεῖ. οὐ γὰρ γεγηρακυῖαν ἔχει τὴν

eſt? Mulieribus enim ſimpliciores pueri ſunt, eorumque forma ad movendos iucunditate ſenſus vehementior. At quo pacto, inquam ego, vehementior? An quia, ſimul atque apparuit, evaneſcit, nec amanti ſui perfruendi poteſtatem facit, ſed Tantali poculo ſimilis videtur? Saepe enim etiam inter bibendum avolat, amanſque nihil, quod hauriat, amplius inveniens, abire cogitur. Atque id etiam, quod iam hauſtum eſt, prius eripitur, quam qui bibit, exſaturetur. Quid, quod fieri nequit, a puero amans ut diſcedat, quin moerore delibutam voluptatem ſentiat; utpote qui ſitiens adhuc deſeratur.

XXXVI. Tum Menelaus: At tu, inquit, neſcis, o Clitophon, quid in voluptate ſummum ſit. Illud quidem certe optandum eſt ſemper, quod nullam ſatietatem habet. Nam, quae ad fruendum nobis diuturniora ſunt, ea delectationem, ſatietatis faſtidio tollunt. Quae vero eripiuntur nonnunquam, recentia ſemper fiunt, & in dies efflореſcunt: eorum enim voluptas nunquam ſeneſcit: ſed

ἡδονὴν, καὶ τοῖς ἄλλοις ὅσον συνελαττοῦται τῷ χρόνῳ, τοσοῦτον εἰς μέγεθος ἐκτείνεται πόθῳ. καὶ τὸ ῥόδον διὰ τοῦτο τῶν ἄλλων εὐμορφότερόν ἐστι τῶν φυτῶν, ὅτι τὸ κάλλος αὐτοῦ φεύγει ταχύ. δύο γὰρ ἐγὼ νομίζω κατὰ ἀνθρώπους κάλλει πλανᾶσθαι, τὸ μὲν οὐράνιον, τὸ δὲ πάνδημον, ὥσπερ τοῦ κάλλους αἱ χορηγοὶ θεαί. ἀλλὰ τὸ μὲν οὐράνιον ἄχθεται θνητῷ κάλλει δεδεμένον, καὶ ζητεῖ πρὸς οὐρανὸν ταχὺ φεύγειν· τὸ δὲ πάνδημον, ἔῤῥιπται κάτω, καὶ ἐγχρονίζει περὶ τοῖς σώμασιν. εἰ δὲ καὶ ποιητὴν δεῖ λαβεῖν μάρτυρα τῆς οὐρανίας τοῦ κάλλους ἀνόδου, ἄκουσον Ὁμήρου, λέγοντος·

Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διῒ οἰνοχοεύειν
Κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.

Οὐδεμία δὲ ἀνίετο ἤ ποτε εἰς οὐρανοὺς διὰ κάλλος γυνή. καὶ γὰρ γυναιξὶν κεκοινώνηκεν ὁ Ζεύς. ἀλλὰ

quantum iis temporis brevitate demitur, tantum desiderii magnitudine accedit: propter eaque plantis aliis rosa formosior iudicatur, quod pulchritudo eius brevi deflorescit. Sane vero duas ego inter mortales pulchritudines vagari censeo, coelestem alteram, alteram vulgarem: quae quasi formae largitrices Deae sunt. Coelestis mortali formae adiungi moleste fert, eoque ad coelum quamprimum evolare nititur. Vulgaris humi serpit, corporibusque adhaeret. Quod si pulchritudinis ad coelum volantis testem poëtam adhibere oporteat, Homeri versus hosce audi:

Incensi forma quem Dii rapuere, Tonanti
Pocula ut ambrosio miscceret plena liquore,
Exigeretque suum Diis cum immortalibus aevum.

Nulla vero mulier pulchritudinis gratia in coelum unquam ascendit, quamvis cum mulieribus consueverit Iuppiter:

᾿Αλκμήνην μὲν ἔσχεν πένθος καὶ φυγή· Δανάην δὲ, λάρναξ καὶ θάλασσα· Σεμέλη δὲ πυρὸς γέγονε τροφή. ἂν δὲ μειρακίου Φρυγὸς ἐρασθῇ, τὸν οὐρανὸν αὐτῷ δίδωσιν, ἵνα καὶ συνοικῇ, καὶ οἰνοχόον ἔχῃ τοῦ νέκταρος· ἡ δὲ πρότερον διάκονος τῆς τιμῆς ἐξέωσται. ἦν γὰρ, οἶμαι, γυνή.

λζ΄. Ὑπολαβὼν οὖν ἐγώ· Καὶ μὴν οὐράνιον, ἔφην, ἔοικε μᾶλλον εἶναι τὸ τῶν γυναικῶν κάλλος, ὅσον μὴ ταχὺ φθείρεται. ἐγγὺς γὰρ τοῦ θείου τὸ ἄφθαρτον. τὸ δὲ κινούμενον ἐν φθορᾷ θνητὴν τὴν φύσιν μιμούμενον, οὐκ οὐράνιόν ἐστιν, ἀλλὰ πάνδημον. ἠράσθη μειρακίου Φρυγὸς, ἀνήγαγεν εἰς οὐρανοὺς τὸν Φρύγα. τὸ δὲ κάλλος τῶν γυναικῶν αὐτὸν τὸν Δία κατήγαγεν ἐξ οὐρανοῦ· διὰ γυναῖκά ποτε Ζεὺς ἐμυκήσατο· διὰ γυναῖκά ποτε Σάτυρος ὠρχήσατο, καὶ

ſed Alcmena in luctum incidit, ac fugere coacta eſt: Danaën arca & mare ſuſcepit: Semelen ignis abſumſit. Cum autem Phrygii adoleſcentis amore captus eſſet, in coelum eum ſuſtulit, quo & una ſecum habitaret, & nectar miſceret, priore adminiſtratore, mulierem enim fuiſſe puto, abdicato.

XXXVII. Tum ego, ſermone arrepto: Coeleſtis magis, inquam, mulierum forma mihi eſſe videtur, ea potiſſimum ratione, quod earum forma non admodum cito interit. Prope enim ad divinitatem accedit, quod ab interitu longe abeſt. Contra, non coeleſte, ſed terrenum vocari debet, quidquid interitui proximum eſt, dum mortalem imitatur naturam. Phrygium quidem adoleſcentem dilexit Iuppiter, atque in coelum ſuſtulit: ſed idem etiam de coelo a muliebri forma detractus eſt; ſaneque mulieris cauſa in taurum quondam ſe commutavit. Eadem de re

χρυσὸν πεποίηκεν ἑαυτὸν ἄλλῃ γυναικί. οἰνοχοείτω μὲν Γανυμήδης, μετὰ δὲ τῶν θεῶν Ἥρα πινέτω, ἵνα ἔχῃ διάκονον μειράκιον γυνή. ἐλεῶ δὲ αὐτοῦ καὶ τὴν ἁρπαγήν. καὶ ὄρνις ἐπ' αὐτὸν κατέβη ὠμηστὴς, ὁ δὲ ἀναρπαστὸς γενόμενος ὑβρίζεται, καὶ ἔοικεν τυραννουμένῳ· καὶ τὸ θέαμά ἐστιν αἴσχιστον, μειράκιον ἐξ ὀνύχων κρεμάμενον. Σεμέλην δὲ εἰς τὸν οὐρανὸν ἀνήγαγεν, οὐκ ὄρνις ὠμηστὴς, ἀλλὰ πῦρ. καὶ μὴ θαυμάσῃς εἰ διὰ πυρός τις ἀναβαίνει εἰς οὐρανόν. οὕτως ἀνέβη Ἡρακλῆς. εἰ δὲ Δανάης τὴν λάρνακα γελᾷς, πῶς τὸν Περσέα σιωπᾷς; Ἀλκμήνῃ δὲ τοῦτο μόνον δῶρον ἀρκεῖ, ὅτι δι' αὐτὴν ἔκλεψεν ὁ Ζεὺς τρεῖς ὅλους ἡλίους. Εἰ δὲ δεῖ μεθέντα τὰς μυθολογίας, αὐτὴν εἰπεῖν τὴν ἐν τοῖς ἔργοις ἡδονήν· ἐγὼ μὲν πρωτόπειρος ὢν εἰς γυναῖκας, ὅσον ὁμιλῆσαι ταῖς εἰς Ἀφροδίτην

Satyri formam induit, atque in aurum ſe convertit. Miſceat ſane Diis vinum Ganymedes, dum cum iis Iuno quoque accumbat, quo etiam mulier adoleſcentem habeat adminiſtratorem. Me vero raptus quoque illius miſeret: crudivora enim avis eum rapuit: contumeliaque affecit non admodum ab ea diverſa, quam tyrannide oppreſſi perpetiuntur: cum alioqui adſpectu etiam foedum ſit adoleſcentem ex unguibus pendentem ſpectare. Semelen non crudivora volucris, ſed flamma, in coelum ſuſtulit. Nec vero mirum tibi videatur, aliquos ab igne ſublatos in coelum aſcendiſſe: neque enim Hercules alio pacto aſcendit. Quod ſi Danaës arcam rides, cur Perſei mentionem non facis? Alcmenae illud unum munus ſatis fuit, Iovem tres integros eius cauſa dies mundo eripuiſſe. Ac fabulis omiſſis, verae voluptatis, quae muliebri ex uſu percipitur, mentionem facere opus eſt. Ego mulieres primum modo expertus, quantum quidem cum iis, quae pretio proſtant,

πωλουμέναις, ἄλλος γὰρ ἂν ἴσως εἰπεῖν τι καὶ πλέον ἔχοι μεμυημένος· εἰρήσεται δέ μοι, κἂν μετρίως ἔχω πείρας. γυναιξὶ μὲν οὖν ὑγρὸν μὲν τὸ σῶμα ἐν ταῖς συμπλοκαῖς· μαλθακὰ δὲ τὰ χείλη πρὸς τὰ φιλήματα. καὶ διὰ τοῦτο μὲν ἔχει τὸ σῶμα ἐν τοῖς ἀγκαλίσμασιν, ἐν δὲ ταῖς σαρξὶν ὅλον ἐνηρμοσμένον. ὁ δὲ συγγινόμενος προσβάλλει τὴν ἡδονὴν, ἐγγίζει δὲ τοῖς χείλεσιν ὥσπερ σφραγῖδας τὰ φιλήματα. φιλεῖ δὲ τέχνῃ, καὶ σκευάζει τὰ φιλήματα γλυκύτερον. οὐ γὰρ μόνον ἐθέλει φιλεῖν τοῖς χείλεσιν, ἀλλὰ καὶ τοῖς ὀδοῦσι συμβάλλεται, καὶ περὶ τὸ τοῦ φιλοῦντος στόμα βόσκεται, καὶ δάκνει τὰ φιλήματα. ἔχει δέ τινα καὶ μαστὸς ἐπαφώμενος ἰδίαν ἡδονήν. ἐν δὲ τῇ τῆς Ἀφροδίτης ἀκμῇ, οἰστρεῖ μὲν ὑφ' ἡδονῆς· περικέχηνε δὲ φιλοῦσα καὶ μαίνεται. αἱ δὲ γλῶτται τοῦτον τὸν χρόνον φοιτῶσιν ἀλλήλαις εἰς ὁμιλίαν, καὶ ὡς δύναν-

licuit, forte enim experientior aliquis plura dicere queat, ego, inquam, tametſi huius rei modicus mihi uſus adſit, dicam tamen, corpus amplexatu tenerum, labra baſiatu mollia eſſe. Atque hac de cauſa mulier cum ulnas, tum carnem, ad id omnino apte conformata ſortita eſt. Sane qui ad mulierem ſeſe applicat, is vere voluptatem amplectitur, labriſque oſcula, tanquam qui ſigna in epiſtolis apponit, imprimit. Illa vero artificioſe oſculatur, maioreque condita ſuavitate baſia praebet: non ſolum enim labris ſuaviari ſat habet, ſed etiam dentibus confligit, & circum baſiantis ora depaſcitur, ac baſia ipſa mandit. Iam vero etiam in mammarum attrectatu non aſpernanda quaedam ineſt iucunditas. In ipſo autem venerei complexus calore, voluptate, quaſi oeſtro, concitata, & baſians mordet, & inſanit: tum linguae mutuo concurrunt, ac ſe ipſas,

ται βιάζονται κἀκεῖναι φιλεῖν. σὺ δὲ μείζονα ποιεῖς τὴν ἡδονὴν, ἀνοίγων τὰ φιλήματα. πρὸς δὲ τὸ τέρμα αὐτῆς τῆς Ἀφροδίτης ἡ γυνὴ γενομένη πέφυκεν ἀσθμαίνειν ὑπὸ καυματώδους ἡδονῆς. τὸ δὲ ἆσθμα σὺν πνεύματι ἐρωτικῷ μέχρι τῶν τοῦ στόματος χειλέων ἀναθοροῦν, συντυγχάνει πλανωμένῳ τῷ φιλήματι, καὶ ζητοῦντι καταβῆναι κάτω. ἀναστρέφει δὲ σὺν ἄσθματι καὶ τὸ φίλημα, καὶ μιχθὲν ἕπεται, καὶ βάλλει τὴν καρδίαν. ἡ δὲ ταραχθεῖσα τῷ φιλήματι, πάλλεται. εἰ δὲ μὴ τοῖς σπλάγχνοις ἦν δεδεμένη, ἠκολούθησεν ἂν ἑλκυσθεῖσα τοῖς φιλήμασιν. Παίδων δὲ φιλήματα μὲν ἀπαίδευτα, περιπλοκαὶ δὲ ἀμαθεῖς, Ἀφροδίτη δὲ ἀργὴ, ἡδονῆς δὲ οὐδέν.

λη΄. Καὶ ὁ Μενέλαος· Ἀλλὰ σύ μοι δοκεῖς, ἔφη, μὴ πρωτόπειρος, ἀλλὰ γέρων εἰς Ἀφροδίτην τυγχάνειν· τοσαύτας ἡμῖν κατέχεας γυναικῶν περιεργίας.

quoad eius fieri poteſt, oſculari nituntur. Tu vero baſia in apertum proferens voluptatem reddis maiorem. Sub ipſum congreſſus finem dulcedinis ardore quodam victa mulier anhelare conſuevit, anhelitus autem huiuſmodi amatorio ſpiritu comitatus ad ſumma labra pervenit, errantique oſculo, & ad imas pectoris partes deſcendere quaerenti obviam fit. Tunc baſium ipſo cum anhelitu regreditur, amboque in unum coëuntes cor pulſant, quod baſio conturbatum ſalit: ac, niſi viſceribus nexum haereret, ſequeretur utique, & cum baſiis aſcenderet. Puerorum oſcula rudia ſunt, complexus indocti, venus languida, omnique prorſus iucunditate deſtituta.

XXXVIII. Tum Menelaus: Tu quidem certe, inquit, non Venerem nunc primum attigiſſe, verum in ea conſenuiſſe mihi videris: ita multas nobis mulierum curioſitates enu-

ἐν μέρει δὲ καὶ τὰ τῶν παίδων ἀντάκουσον. γυναιξὶ μὲν γὰρ πάντα ἐπίπλαστα, καὶ τὰ ῥήματα καὶ τὰ σχήματα, κἂν εἶναι δόξῃ καλὴ, τῶν ἀλειμμάτων ἡ πολυπράγμων μηχανή. καὶ ἔστιν αὐτῆς τὸ κάλλος ἢ μύρων, ἢ τριχῶν βαφῆς, ἢ καὶ φιλημάτων. ἂν δὲ τῶν πολλῶν τούτων γυμνώσῃς δόλων, ἔοικε κολοιῷ γεγυμνωμένῳ τῶν τοῦ μύθου πτερῶν. τὸ δὲ κάλλος τὸ παιδικὸν οὐκ ἀρδεύεται μύρων ὀσφραῖς, οὐδὲ δολεραῖς καὶ ἀλλοτρίαις ὀσμαῖς. πάσης δὲ γυναικῶν μυραλοιφίας ἥδιον ὄδωδεν ὁ τῶν παίδων ἱδρώς. ἔξεστι δὲ αὐτῷ καὶ πρὸ τῆς ἐν Ἀφροδίτῃ συμπλοκῆς, καὶ ἐν παλαίστρᾳ συμπεσεῖν, καὶ φανερῶς περιχυθῆναι· καὶ οὐκ ἔχουσιν αἰσχύνην αἱ περιπλοκαὶ, καὶ οὐ μαλθάσσει τὰς ἐν Ἀφροδίτῃ περιπλοκὰς ὑγρότητι σαρκῶν, ἀλλ' ἀντιτυπεῖ πρὸς ἄλληλα τὰ σώματα, καὶ περὶ τῆς ἡδονῆς ἀθλεῖ. τὰ δὲ φιλήματα σοφίαν μὲν

merasti. Sed vicissim tu quoque audi, quaenam e puerorum amoribus voluptas percipiatur. In muliere cum verba tum reliqua omnia fucis plena sunt: ac si qua formosa videatur, ea est operosa pigmentorum moles: cuius forma omnis alia nulla ex re, quam aut unguentis, aut tinctis capillis, aut basiationibus constat. E quibus fucum si detraxeris, nae graculo pennis, ut habetur in fabulis, denudato similem iudicabis. Puerorum autem forma non pigmentorum fucis illinitur, non adulterinis aut externis perfricatur odoribus. Omnibus autem mulierum omnium unguentis e puerorum sudore afflatus odor antecellit. Iam vero etiam ante venereos congressus palaestra cum iis decertare, palamque, ac sine rubore amplecti licet: neque ulla est carnis teneritas, quae complexuum tactioni cedat; sed corpora sibi mutuo resistunt, ac voluptate contendunt. Basia quoque muliebrem illam diligentiam minime sapiunt,

οὐκ ἔχει γυναικείαν, οὐδὲ μαγγανεύει τοῖς χείλεσιν εἶναι μωρὰν ἀπάτην. ὡς δὲ οἶδε, φιλεῖ, καὶ οὐκέτι τέχνης, ἀλλὰ τῆς φύσεως τὰ φιλήματα. αὐτὴ δὲ παιδὸς φιλήματος εἰκὼν, εἰ καὶ νέκταρ ἐπήγνυτο, καὶ χεῖλος ἐγίνετο, τοιαῦτα ἂν ἔσχε τὰ φιλήματα. Φιλῶν δὲ οὐκ ἂν ἔχοις κόρον, ἀλλ᾽ ὅσον ἐμφορῇ, διψεῖς ἔτι φιλεῖν, καὶ οὐκ ἂν ἀποσπάσειας τὸ στόμα, μέχρις ἂν ὑφ᾽ ἡδονῆς ἐκφύγοις τὰ φιλήματα.

nec ſtulto errore labris illito decipiunt. Puer, quemadmodum quidem novit, ſuavia dat, iam non ab arte aliqua, ſed a natura ipſa proficiſcentia. Saneque baſii puerilis imago eiuſmodi eſt, ut ſi quis concretum atque in labra commutatum nectar oſcularetur. Ex quo fieri modo ullo nequit, ut aliqua baſiandi tibi ſatietas oriatur: quin immo quo plus haurias, hoc vehementiore ſiti labores, neque os inde abſtrahere poſſis, donec prae voluptate baſia ipſe refugias.

ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

ΤΡΙΤΗΝ δὲ ἡμέραν πλεόντων ἡμῶν, ἐξ αἰθρίας πολλῆς αἰφνίδιον ἀχλὺς περιχεῖται, καὶ τῆς ἡμέρας ἀπολώλει τὸ φῶς· ἐγείρεται δὲ κάτωθεν ἄνεμος ἐκ τῆς θαλάσσης, κατὰ πρόσωπον τῆς νηὸς, καὶ ὁ κυβερνήτης περιάγειν ἐκέλευσε τὴν κεραίαν. καὶ σπουδῇ περιῆγον οἱ ναῦται· πῇ μὲν τὴν ὀθόνην ἐπὶ θάτερα συνάγοντες ἄνω τοῦ κέρως βίᾳ· τὸ γὰρ πνεῦμα σφοδρότερον ἐμπεσὸν ἀνθέλκειν οὐκ ἐπέτρεπε· πῇ δὲ πρὸς θάτερον μέρος φυλάττοντες τοῦ πρόσθεν μέτρου. καθ' ὃ συνέβαινεν οὔριον εἶναι τῇ περιαγωγῇ τὸ πνεῦμα, κλίνεται δὴ κοῖλον τοιχίσαν τὸ σκάφος, καὶ ἐπὶ θάτερα μετεωρίζεται, καὶ πάντη πρηνὲς ἦν. καὶ ἐδόκει τοῖς πολλοῖς ἡμῶν ἀεὶ περιτραπήσεσθαι καθάπαξ ἐμπίπτοντος τοῦ πνεύματος. μετασκευαζόμεθα σὺν ἀπαν-

LIBER TERTIUS.

TERTIO die cum ſereniſſimo coelo navis curſum teneret, obortae improviſo tenebrae omnia obſcura viderunt, ventuſque ab imo mari navi adverſus exortus eſt. Quamobrem gubernator antennam obverti iuſſit. Itaque nautae confeſtim fecerunt, collecto per vim ab altera tantum parte velo. Nam cum vehementius flaret ventus, impedimentoque eſſet, quo minus ab altera contrahi poſſet, illud eo ſtatu, quo prius fuerat, relinquere coacti ſunt. Ex quo accidit, ut maior ea obverſione ventus ingrueret. Iam navis pars altera deprimebatur, altera elevabatur, ita ut praeceps omnino ageretur, & noſtrûm plerique ſubinde everſum iri navigium putabamus, vento cum impetu irrumpente. Itaque ad altiorem omnes navis partem aſcen-

τες εἰς τὰ μετέωρα τῆς νηὸς, ὅπως τὸ μὲν βαπτιζόμενον τῆς νηὸς ἀνακουφίσαιμεν, τὸ δὲ τῇ προσθήκῃ βιασάμενοι κατὰ μικρὸν, καθέλοιμεν εἰς τὸ ἀντίῤῥοπον. πλέον δὲ ἠνύομεν οὐδέν. ἀνέφερε γὰρ ἡμᾶς μᾶλλον κουφούμενον τὸ ἔδαφος τῆς νηὸς, ἢ πρὸς ἡμῶν κατεβιβάζετο. καὶ χρόνον μέν τινα διαταλαντουμένην οὕτω τὴν ναῦν τοῖς κύμασιν ἐπαλαίομεν εἰς τὸ ἀντίῤῥοπον καθελεῖν· αἰφνίδιον δὲ μεταλλάττεται τὸ πνεῦμα ἐπὶ θάτερα τῆς νηὸς, καὶ μικροῦ βαπτίζεται τὸ σκάφος· τοῦ μὲν τέως εἰς κῦμα κλιθέντος, ἀναθορόντος ὀξείᾳ ῥοπῇ· θατέρου δὲ ἠωρεῖτο[1] καταῤῥαγέντος εἰς τὴν θάλατταν. κωκυτὸς οὖν αἴρεται μέγας ἐκ τῆς νηὸς, καὶ μετοικία πάλιν, καὶ δρόμος μετὰ βοῆς ἐπὶ τὰς ἀρχαίας ἕδρας· καὶ τρίτον καὶ τέταρτον καὶ πολλάκις τὸ αὐτὸ πάσχοντες κοινὴν ταύτην εἴχομεν τῷ σκάφει τὴν πλάνην. πρὶν μὲν γὰρ μετασκευάσασθαι

dimus, ſimul ut demerſam aliam allevaremus, ſimul ut aequaliter diſtributo onere toto aequalis ferretur. Sed hoc fruſtra fuit. Tantum enim abfuit, ut navis a nobis fundus deprimeretur, ut ab eo ipſi magis etiam attolleremur. Nos quidem fluctuantem navim aequilibrem aliquamdiu tenere conati fuimus: verum in alteram eius partem mutatus improviſo ventus incubuit: parumque abfuit, quin eam demergeret; depreſſam ſcilicet antea partem magno impetu ſuſtollendo, & ſublatam deprimendo. Quocirca ingens in navi luctus obortus eſt, omneſque priorem ad locum, non ſine curſu & clamore redire cogebamur. Ac deinceps tertio, & quarto, ac ſaepius etiam eundem caſum experti, eodem cum navi errore ducebamur. Prius

1 Θατέρου δὲ ἠωρεῖτο) Locus mutilus. Senſus poſtulat, ut legatur: θατέρου δὲ, ὡς ἐκεῖνο ἠωρεῖτο, καταῤῥαγ. εἰς τ. θ.

τὸ πρῶτον, δίαυλος ἡμᾶς διαλαμβάνει δεύτερος.

β'. Σκευοφοροῦντες οὖν κατὰ τὴν ναῦν διὰ πάσης ἡμέρας, δολιχόν τινα τοῦτον δρόμον μύριον ἐπονοῦμεν, ἀεὶ τὸν θάνατον προσδοκῶντες. καὶ ἦν, ὡς εἰκὸς, οὐ μακράν. περὶ γὰρ μεσημβρίας δείλην ὁ μὲν ἥλιος τέλεον ἁρπάζεται, ἑωρῶμεν δὲ ἑαυτοὺς ὡς ἐν σελήνῃ. πῦρ μὲν ἀπ' αὐτῆς ἵπταται, μυκᾶται δὲ βροντὴν οὐρανὸς, καὶ τὸν ἀέρα γεμίζει βόμβος, ἀντεβόμβει δὲ κάτωθεν τῶν κυμάτων ἡ στάσις [1], μεταξὺ δὲ οὐρανοῦ καὶ θαλάσσης ἀνέμων ποικίλων ἐσύριζε ψόφος. καὶ ὁ μὲν ἀὴρ εἶχεν σάλπιγγος ἦχον, οἱ δὲ κάλοι περὶ τὴν ὀθόνην πίπτοντες, ἀντιπαταγοῦντες ἐτετρίγεσαν. ἐφόβει δὲ τὰ ξύλα τῆς νηὸς ῥηγνύμενα, μὴ κατὰ μικρὸν ἀνοιχθείη τὸ σκάφος τῶν γόμφων ἀποσπωμένων. γέῤῥα δὲ περὶ πᾶσαν τὴν ναῦν ἐκεκάλυπτο. καὶ γὰρ

enim quam primum curſum confeciſſemus, nos ſecundus excipiebat.

II. Comportantes igitur totum diem ſarcinas, idem curriculum millies, quaſi duplex uno curſu ſtadium curreremus, confecimus, mortem ſemper exſpectantes: quae ſane, uti credi par eſt, non longe aberat. Nam poſt meridiem ſol nobis omnino ereptus fuit: neque alter alterum cernebamus, niſi ut ſit luna lucente. Flamma inter nubes coruſcabat, coelum tonitru mugiebat, aër ſtrepitu implebatur. Surgentes ab imo, ac mutuo ſeſe collidentes fluctus adſtrepebant, inter coelum & mare diverſorum ventorum murmura reſonabant, aërque tubae inſtar clangorem fundebat: attriti ac diſrupti a velo funes decidebant. Illud etiam timebatur, ne, comminutis tabulis & convulſis clavis, navis ſolveretur. Iam vero tecta eius omnia undis, quae innumerae influebant, operiebantur: quam-

1 Τῶν κυμάτων ἡ στάσις) Bodenus em. βράσις· temere. Τῶν κυμάτων ἡ στάσις, ſunt fluctus erecti, alti, nihil amplius.

ὄμβρος ἐπέκλυζε πολύς, ἡμεῖς δὲ τὰ γέῤῥα ὑποδύντες, ὥσπερ εἰς ἄντρον ἐμένομεν, παραδόντες ἑαυτοὺς τῇ τύχῃ, ῥίψαντες τὰς ἐλπίδας. τρικυμίαι δὲ πολλαὶ πάντοθεν, αἱ μὲν κατὰ πρόσωπον, αἱ δὲ κατ᾽ οὐρὰν τῆς νηὸς ἀλλήλαις ἀντέπιπτον. ἡ δὲ ναῦς ἀεὶ πρὸς μὲν τὸ κυρτούμενον τῆς θαλάσσης ἠγείρετο, πρὸς δὲ τὸ παράδρομον ἤδη καὶ χθαμαλὸν τοῦ κύματος κατεδύετο. ἐῴκει δὲ τῶν κυμάτων, τὰ μὲν ὄρεσιν, τὰ δὲ χάσμασιν. ἦν δὲ καὶ τὰ ἐγκάρσια τῶν κυμάτων ἑκατέρωθεν φοβερώτερα. ἀναβαίνουσα μὲν γὰρ ἐπὶ τὴν ναῦν ἡ θάλασσα, διὰ τῶν γέῤῥων ἐκυλίετο καὶ ἐκάλυπτε πᾶν τὸ σκάφος. τὸ γὰρ κῦμα αἰρόμενον ὑψοῦ, ψαῦον αὐτῶν τῶν νεφῶν, πόῤῥωθεν μὲν πρὸς ἀντιπρόσωπον ἐφαίνετο τῷ σκάφει μέγεθος οἷον· προσιὼν δὲ βλέπων, καταποθήσεσθαι [1] τὴν ναῦν προσεδόκησας. ἦν οὖν ἀνέ-

obrem ea ipſa ſubeuntes, tanquam in ſpelunca aliqua, morabamur, fortunae arbitrio, nulla ſalutis retenta ſpe, noſmet dedentes. Crebri autem & maximi cum a prora, tum a puppi, ſurgentes fluctus inter ſe concurrebant. Aſſurgente fluctu, navis attollebatur, praeterlabente vero & ſubſidente, deprimebatur. E fluctibus alii montibus, alii voraginibus, ſimiles erant: ſed ii moleſtiores, qui ab utraque ſponda obliqui ſurgebant. Navis enim tecta ſubiens aqua convolvebatur, totamque obruebat. Porro aqua in ſublime acta, nubeſque paene contingens, dum quidem ante proram procul cernebatur, mirae cuiuſdam magnitudinis eſſe videbatur: at ſi ut propius factam ſpectaviſſes, navim abſorpturam fuiſſe iudicaſſes. Venti cum fluctibus

1 Καταποθήσεσθαι) Utraque editio mendoſe. Commeliniana: καταποτήσεται. Salmaſiana: καταπετήσεσθαι, ubi forte in animo editoris erat καταποντίσεσθαι. Vera lectio, ut edidi, a καταπίνειν, *deglutire*.

μων μάχη καὶ κυμάτων· ἡμεῖς δὲ οὐκ ἐδυνάμεθα κατὰ χώραν μένειν ὑπὸ τοῦ τῆς νηὸς σεισμοῦ· συμμιγὴς δὲ πάντων ἐγίνετο βοή· ἐῤῥόχθει τὸ κῦμα, ἐπάφλαζε τὸ πνεῦμα, ὀλολυγμὸς γυναικῶν, ἀλαλαγμὸς ἀνδρῶν, κελευσμὸς ναυτῶν, πάντα θρήνων καὶ κωκυτῶν ἀνάμεστα. καὶ ὁ κυβερνήτης ἐκέλευε ῥίπτειν τὸν φόρτον. διάκρισις δὲ οὐκ ἦν ἀργύρου καὶ χρυσοῦ πρὸς ἄλλο τι τῶν εὐτελῶν, ἀλλὰ πάντα ὁμοίως ἠκοντίζομεν ἔξω τῆς νηός. πολλοὶ δὲ καὶ τῶν ἐμπόρων, αὐτοὶ τῶν οἰκείων λαμβάνοντες ἐν οἷς εἶχον τὰς ἐλπίδας, ὤθουν ἐπειγόμενοι. καὶ ἦν ἤδη ἡ ναῦς τῶν ἐπίπλων γυμνή· ὁ δὲ χειμὼν οὐκ ἐσπένδετο.

γ΄. Τέλος ὁ κυβερνήτης ἀπειπὼν, ῥίπτει μὲν τὰ πηδάλια ἐκ τῶν χειρῶν· ἀφίησι δὲ τὸ σκάφος τῇ θαλάσσῃ, καὶ εὐτρεπίζει ἤδη τὴν ἐφολκίδα, καὶ τοῖς ναύταις ἐμβαίνειν κελεύσας, τῆς ἀποβάθρας ἦρχεν. οἱ δὲ εὐθὺς κατὰ πόδας ἐξήλλοντο. ἔνθα δὴ καὶ τὰ δεινὰ

pugnabant. Nos ob navis iactationem nullibi consistere quibamus. Confusae erant omnium voces: murmurabat unda, perstrepebat ventus, mulierum eiulatus, virorum clamor, nautarum hortatio, eodem tempore audiebantur: luctuque ac gemitu plena erant omnia. Tum gubernator deiici onera iussit. Nec ullum inter aurum, argentumve, ac vilia quaeque discrimen fiebat: sed omnia aeque in mare deturbabantur, iis ipsis etiam mercatoribus merces omnes suas, in quibus spem posuerant, deiicientibus. Iam navis penitus exhausta erat: nec tamen tempestas commutabatur.

III. Tandem fessus gubernator, temone abiecto, maris arbitrio navem permisit, scaphamque instruxit, ac nautis descendere iussis, prior ipse, deinde illi vestigia eius statim secuti desilierunt. Ibi tum maius ortum est malum,

ἦν, καὶ ἦν μάχη χειροποίητος. οἱ μὲν γὰρ ἐπιβάντες ἤδη τὸν κάλον ἔκοπτον, ὃς συνέδει τὴν ἐφολκίδα τῷ σκάφει· τῶν δὲ πλωτήρων ἕκαστος ἔσπευδεν μεταπηδᾷν, ἔνθα καὶ τὸν κυβερνήτην ἑωράκεισαν ἐφέλκοντα τὸν κάλον. οἱ δὲ ἐκ τῆς ἐφολκίδος μεταβαίνειν οὐκ ἐπέτρεπον. εἶχον δὲ καὶ πελέκεις, καὶ μαχαίρας, καὶ πατάξειν ἠπείλουν, εἴ τις ἐπιβήσεται· καὶ πολλοὶ δὲ ἐκ τῆς νηὸς ὁπλισάμενοι τὸ δυνατὸν, ὁ μὲν κώπης παλαιᾶς τρύφος ἀράμενος, ὁ δὲ τῶν τῆς νεὼς σελμάτων, ἠμύνετο. θάλασσα γὰρ εἶχε νόμον τὴν βίαν. καὶ ἦν ναυμαχίας καινὸς τρόπος. οἱ μὲν γὰρ ἐκ τῆς ἐφολκίδος δέει τοῦ καταδῦναι τῷ τῶν ἐπεμβαινόντων ὄχλῳ, πελέκεσι καὶ μαχαίραις τοὺς ἐξαλλομένους ἔπαιον· οἱ δὲ σκυτάλαις καὶ κώπαις, ἅμα τῷ πηδήματι τὰς πληγὰς κατεφέροντο· οἱ δὲ καὶ ἄκρου ψαύοντες τοῦ σκάφους, ἐξωλίσθαινον· ἔνιοι δὲ καὶ ἐπιβαίνοντες τοῖς ἐπὶ τῆς ἐφολκίδος ἤδη διεπάλαιον· φιλίας γὰρ ἡ αἰ-

manibusque pugnari coeptum. Nautae enim iam funem, quo scapha navi alligabatur, praecidebant: vectores autem, gubernatorem funem trahentem cernentes, omnem, ut & ipsi desilirent, operam dabant. Illi contra minime pati, sed, cum secures gladiosque haberent, intentatis plagis quemcunque ingredi volentem perterrere. Hi, ut cuique sors obtulerat, alius vetusti remi partem, alius navis tabulam aliquam arripientes, repugnare. Pro lege enim vi mare utebatur, navalisque pugnae modus non antea visus illic apparuit. Nam, qui in scapha erant, veriti, ne ob descendentium multitudinem mergerentur, securibus & gladiis feriebant: ii autem sudibus ac remis inter desiliendum plagas referebant. Alii vix scaphae summum attingentes corruebant. Nonnulli etiam ingressi, cum iis, qui prius descenderant, luctabantur: pudoris enim at-

δοῦς οὐκ ἔτι θεσμὸς ἦν, ἀλλὰ τὸ οἰκεῖον ἕκαστος σκοπῶν ἀσφαλὲς, τὸ πρὸς τοὺς ἑτέρους εὔγνωμον οὐκ ἐλογίζετο. οὕτως οἱ μεγάλοι κίνδυνοι καὶ τοὺς τῆς φιλίας λύουσι νόμους.

δ'. Ἔνθα δή τις ἀπὸ τῆς νεὼς νεανίσκος εὔρωστος λαμβάνεται τοῦ κάλω, καὶ ἐφέλκεται τὴν ἐφολκίδα, καὶ ἦν ἐγγὺς ἤδη τοῦ σκάφους· ηὐτρεπίζετο δὲ ἕκαστος, ὡς, εἰ πελάσειεν, πηδήσων εἰς αὐτήν. καὶ δύο μὲν ἢ τρεῖς ἠτύχησαν οὐκ ἀναιμωτί· πολλοὶ δὲ ἀποπηδᾶν πειρώμενοι, ἐξεκυλίσθησαν τῆς νεὼς κατὰ τῆς θαλάσσης. ταχὺ γὰρ τὴν ἐφολκίδα ἀπολύσαντες οἱ ναῦται, πελέκει κόψαντες τὸν κάλον, τὸν πλοῦν εἶχον, ἔνθα αὐτοὺς ἦγε τὸ πνεῦμα. οἱ δὲ ἐπὶ τῆς νηὸς ἐπειρῶντο καταδῦναι τὴν ἐφολκίδα. τὸ δὲ σκάφος ἐκυβίστα περὶ τοῖς κύμασιν ὀρχούμενον· λανθάνει δὴ προσενεχθὲν ὑφάλῳ πέτρᾳ, καὶ ῥήγνυται πᾶν. ἀπωσθείσης δὲ τῆς νηὸς, ὁ ἱστὸς ἐπὶ θάτερα πεσὼν, τὸ

que amicitiae lex omnis ſublata fuerat, ac ſuae quiſque ſaluti intentus alienam contemnebat. Ita periculorum magnitudo vel amicitiae leges ſolvit.

IV. Interea vectorum unus, iuvenis robuſtus, arrepto fune ſcapham prope navim paene pertraxerat, paratique alii omnes exſpectabant, ut in eam, ſimulac appropinquaſſet, tranſilirent: ac duobus tantum tribuſve cecidit, ut optato, non tamen ſine ſanguine, perfruerentur. Nam multi alii hoc idem conati, in mare deturbati fuerunt: nautae enim praeciſo ſtatim ſecuribus fune ſcapham ſolverunt, ac quo ventus voluit, abire permiſerunt, vectoribus eam mergere conantibus. Navis autem ipſa undis iactata in gyrum agebatur, ac tandem ad aquis contectum ſaxum imprudenter delata, illiſa, ſolutaque tota eſt: maloque alteram in partem collabente partim quidem fracta,

μέν τι κατέκλασε, τὸ δέ τι κατέδυσε αὐτῆς. ὁπόσοι μὲν οὖν παραχρῆμα τῆς ἅλμης πίοντες κατεσχέθησαν, οὗτοι μετριωτέραν ὡς ἐν κακοῖς ἔσχον τὴν συμφορὰν, οὐκ ἐνδιατρίψαντες τῷ τοῦ θανάτου φόβῳ. ὁ γὰρ ἐν θαλάττῃ θάνατος βραδὺς προαναιρεῖ πρὸ τοῦ παθεῖν. ὁ γὰρ ὀφθαλμὸς πελάγους γεμισθεὶς, ἀόριστον ἐκτείνει τὸν φόβον, ὡς καὶ διὰ τούτων θάνατον δυστυχεῖν πλείονα. ὅσον γὰρ τῆς θαλάσσης τὸ μέγεθος, τοσοῦτος καὶ ὁ τοῦ θανάτου φόβος. Ἔνιοι δὲ κολυμβᾷν πειρώμενοι, προσραγέντες ὑπὸ τοῦ κύματος τῇ πέτρᾳ διεφθείροντο· πολλοὶ δὲ καὶ ξύλοις ἀπεῤῥωγόσι συμπεσόντες, ἐπείροντο δίκην ἰχθύων. οἱ δὲ καὶ ἡμιθνῆτες ἐνήχοντο.

έ. Ἐπεὶ οὖν τὸ πλοῖον διελύθη, δαίμων τις ἀγαθὸς περιέσωσεν ἡμῖν τῆς πρώρας μέρος, ἔνθα περικαθίσαντες ἐγώ τε καὶ ἡ Λευκίππη, κατὰ ῥοῦν ἐφερόμεθα τῆς θαλάσσης. ὁ δὲ Μενέλαος καὶ ὁ Σάτυρος

partim vero ſubmerſa. Sane quotquot epota maris aqua confeſtim obierunt, cum iis, ut tunc res erat, mitius actum fuit, ut qui in mortis metu non admodum diu immorati ſint. Procraſtinans enim in mari mors prius interimit, quam ſentiatur. Nam oculi maris immenſitate pleni metum afferunt, nullis terminis circumſcriptum: eoque miſerior eſt mors. Quanta enim maris eſt amplitudo, tantus etiam mortis eſt pavor. Quidam enatare conati, ab unda ſaxo alliſi perierunt. Multi, disiectas navis tabulas nacti, piſcium more nabant. Nonnulli ſemimortui ferebantur.

V. Fracta eo pacto navi, prorae partem bonus quidam genius nobis conſervavit: in qua ſedentes ego & Leucippe, ſecundum maris aeſtum vehebamur. Menelaus,

σὺν ἄλλοις τῶν πλωτήρων ἐπιτυχόντες τοῦ ἱστοῦ, καὶ ἐπιπεσόντες ἐνήχοντο. Πλησίον δὲ καὶ τὸν Κλεινίαν ἑωρῶμεν περινηχόμενον τῇ κεραίᾳ, καὶ ταύτην ἠκούσαμεν αὐτοῦ τὴν βοήν· Ἔχου τοῦ ξύλου, Κλειτοφῶν. ἅμα δὲ λέγοντα κῦμα διεγκεκάλυπτε κατόπιν· καὶ ἡμεῖς ἐκωκύσαμεν. κατ' αὐτὸ καὶ ἡμῖν ἐπεφέρετο κῦμα. ἀλλὰ τύχῃ τινὶ πλησίον γενόμενον ἡμῶν, κάτωθεν παρατρέχει, ὥστε μόνον ὑψούμενον μετέωρον τὸ ξύλον κατὰ τὸν αὐχένα τοῦ κύματος, καὶ τὸν Κλεινίαν ἰδεῖν αὖθις. ἀνοιμώξας οὖν· Ἐλέησον, ἔφην, δέσποτα Ποσειδῶν, καὶ σπεῖσαι πρὸς τὰ τῆς ναυαγίας σου λείψανα. πολλοὺς ἤδη τῷ φόβῳ θανάτους ὑπεμείναμεν. εἰ δὲ ἡμᾶς ἀποκτεῖναι θέλεις, μὴ διαστήσῃς ἡμῶν τὴν τελευτήν. ἓν ἡμᾶς κῦμα καλυψάτω. εἰ δὲ καὶ θηρίων ἡμᾶς βορὰν πέπρωται γενέσθαι, εἷς ἡμᾶς ἰχθὺς ἀναλωσάτω, μία γαστὴρ χωρησάτω, ἵνα καὶ ἐν

& Satyrus, aliique vectores, cum in malum incidissent, eo apprehenso, natabant. Cliniam vero, circum antennam nantem, non procul adspeximus, atque audivimus etiam: me enim, ut ligno haererem, adhortabatur. Intereaque superveniens a tergo fluctus loquentem, quae sane res lacrimas nobis excussit, primum adobruit: deinde nobis etiam incubuit. Sed fato quodam propior factus infra nos praeterlapsus est ita, ut lignum tantummodo alte sublatum in ipso fluctus summo, & Cliniam rursum videremus. Multis itaque cum lacrimis ego: Here, inquam, Neptune, miserere, ac naufragii reliquiis parce: unus ipse metus multas nobis mortes attulit. Aut si tibi omnino in animo est ut pereamus, ne nostram mortem divide: sed idem fac ut nos fluctus absorbeat. Sin vero fata etiam volunt, ut belluarum esca simus, unus tantum nos piscis deglutiat: una tantum nos alvus hauriat: ut

ἰχθύσι κοινῇ ταφῶμεν. Μετὰ μικρὸν δὲ τῆς εὐχῆς τὸ πολὺ τοῦ πνεύματος περιεπέπαυτο, τὸ δὲ ἄγριον ἐστορεῦτο τοῦ κύματος. μεστὴ δὲ ἦν ἡ θάλαττα νεκρῶν σωμάτων. τοὺς μὲν οὖν ἀμφὶ τὸν Μενέλαον θᾶττον προσάγει τῇ γῇ τὸ κῦμα, καὶ ἦν ταῦτα τῆς Αἰγύπτου τὰ παράλια· κατεῖχον δὲ τότε λῃσταὶ πᾶσαν τὴν ἐκεῖ χώραν· ἡμεῖς δὲ περὶ δείλην ἑσπέραν τύχῃ τινὶ τῷ Πηλουσίῳ προσίσχομεν, καὶ ἄσμενοι γῆς λαβόμενοι τοὺς θεοὺς ἀνευφημοῦμεν· εἶτα ὠλοφυρόμεθα τὸν Κλεινίαν καὶ τὸν Σάτυρον, νομίζοντες τούτους ἀπολωλέναι.

στʹ. Ἔστι δὲ ἐν τῷ Πηλουσίῳ Διὸς ἱερὸν ἄγαλμα Κασίου. τὸ δὲ ἄγαλμα νεανίσκος, Ἀπόλλωνι μάλιστα ἐοικώς. οὕτω γὰρ ἡλικίαν εἶχε. προβέβληται δὲ τὴν χεῖρα, καὶ ἔχει ῥοιὰν ἐπ' αὐτῇ. τῆς δὲ ῥοιᾶς ὁ λόγος μυστικός. Προσευξάμενοι δὴ τῷ θεῷ, καὶ περὶ τοῦ Κλεινίου καὶ τοῦ Σατύρου σύμβολον ἐξαιτήσαντες· καὶ γὰρ ἔλεγον μαντικὸν εἶναι τὸν θεόν·

eodem a piſcibus etiam vorati ſepulcro condamur. Paulo poſt, quam has preces effudi, venti vis undique ſedata eſt, fluctuſque ſubſiderunt, & cadaveribus plenum mare apparuit. Menelaum & qui cum eo erant, ad Aegypti, quae vocant, paralia fluctus reiecit: eam autem regionem omnem latrones incolebant. Nos circiter veſperam caſu quodam Peluſium applicuimus: peroptatamque in terram egreſſi gratias Diis egimus. Cliniam deinde ac Satyrum, quos obiiſſe putabamus, deflevimus.

VI. Peluſii ſtatua eſt Iovis Caſii, iuvenili aetate, atque adeo ut Apollini quam ſimillima ſit, dextera manu, quo punicum malum ſuſtinebat, extenſa: cuius rei ſignificatio minime vulgata eſt. Huic Deo ſupplicaturi, ac de Clinia, Satyroque (futura enim praedicere illum aiunt) percon-

περιῄειμεν τὸν νεών. Κατὰ δὲ τὸν ὀπισθόδομον ὁρῶμεν εἰκόνα διπλῆν· Εὐάνθης μὲν ὁ γραφεύς· ἡ δὲ εἰκὼν καὶ Ἀνδρομήδα καὶ Προμηθεὺς, δεσμῶται μὲν ἄμφω· διὰ τοῦτο γὰρ αὐτοὺς οἶμαι εἰς ἓν συνήγαγεν ὁ ζωγράφος. ἀδελφαὶ δὲ καὶ τὴν ἄλλην τύχην αἱ γραφαί. πέτραι μὲν ἀμφοῖν τὸ δεσμωτήριον, θῆρες δὲ κατ᾽ ἀμφοῖν οἱ δήμιοι, ἀλλὰ τῷ μὲν ἐξ ἀέρος, τῇ δὲ ἐκ θαλάττης. ἐπίκουροι δὲ αὐτοῖς Ἀργεῖοι δύο συγγενεῖς, τῷ μὲν Ἡρακλῆς, τῇ δὲ Περσεύς· ὁ μὲν τοξεύων τὸν ὄρνιν τοῦ Διὸς, ὁ δὲ ἐπὶ τὸ κῆτος τοῦ Ποσειδῶνος ἀθλῶν. ἀλλ᾽ ὁ μὲν ἵδρυται τοξαζόμενος ἐν γῇ· ὁ δὲ ἐξ ἀέρος κρέμαται τῷ πτερῷ.

ζ΄. Ὀρώρυκται μὲν οὖν εἰς τὸ μέτρον τῆς κόρης ἡ πέτρα· θέλει δὲ τὸ ὄρυγμα λέγειν, ὅτι μή τις αὐτὸ πεποίηκε χειρί. ἀλλ᾽ ἔστιν αὐτόχθων ἡ γραφή. ἐτράχυνε γὰρ τοῦ λίθου τὸν κόλπον ὁ γραφεὺς, ὡς ἔτεκεν αὐ-

taturi templum circuibamus: duasque in eius interiore tabulas Evanthae pictoris, cuius illic etiam imago depicta fuerat, vidimus. In quarum altera Andromeda, in altera Prometheus vinculis constricti cernebantur. Atque ambos ea de causa pictorem coniunxisse puto, tametsi alia etiam inter se communia haberent. Saxa enim utrique pro carcere erant: ferae utrique, aëria huic, marina illi, tanquam carnifices, imminebant. Argivi etiam, utrique ex eadem gente, auxiliatores aderant, Hercules scilicet, atque Perseus: quorum alter Iovis volucrem aquilam in terra stans sagittis appetebat: alter Neptuni belluam cete pennis in aëre sustentatus adoriebatur.

VII. Sane pro puellae magnitudine saxum excavatum erat ita, ut non arte aliqua fabrefactum, sed sponte natum cavum pictura testari videretur. Illud enim asperum, quomodo quidem terra producere solet, pictor effinxerat.

τὸν ἡ γῆ. Ἡ δὲ ἐνίδρυται τῇ σκέπῃ· καὶ ἔοικε τὸ θέαμα, εἰ μὲν εἰς τὸ κάλλος ἀπίδοις, ἀγάλματι καινῷ· εἰ δὲ εἰς τὰ δεσμὰ καὶ τὸ κῆτος, αὐτοσχεδίῳ τάφῳ. ἐπὶ δὲ τῶν προσώπων αὐτῆς κάλλος κεκέρασται καὶ δέος. ἐν μὲν γὰρ ταῖς παρειαῖς τὸ δέος κάθηται, ἐκ δὲ τῶν ὀφθαλμῶν ἀνθεῖ τὸ κάλλος. ἀλλ᾽ οὔτε τῶν παρειῶν τὸ ὠχρὸν τέλειον ἀφοίνικτον ἦν, ἠρέμα δὲ τῷ ἐρεύθει βέβαπται· οὔτε τὸ τῶν ὀφθαλμῶν ἄνθος ἐστὶν ἀμέριμνον, ἀλλ᾽ ἔοικε τοῖς ἄρτι μαραινομένοις ἴοις. οὕτως αὐτὴν ἐκόσμησεν ὁ ζωγράφος εὐμόρφῳ φόβῳ. τὰς δὲ χεῖρας εἰς τὴν πέτραν ἐξεπέτασεν. ἄγχει δὲ ἄνω δεσμὸς ἑκατέραν συνάπτων τῇ πέτρᾳ· οἱ καρποὶ δὲ ὥσπερ ἀμπέλου βότρυες κρέμανται. καὶ αἱ μὲν ὠλέναι τῆς κόρης ἄκρατον ἔχουσαι τὸ λευκὸν, εἰς τὸ πελιδνὸν μετέβαλλον, καὶ ἐοίκασιν ἀποθνήσκειν οἱ δάκτυλοι. δέδεται μὲν οὖν τὸν θάνατον ἐκδεχομένη· ἕστηκε δὲ νυμ-

In illo ſedebat puella eo adſpectu, ut, ſi pulchritudinem tantum conſiderare voluiſſes, admiratione dignam imaginem; ſin vero vincula etiam, & cete; rude & inconditum ſepulcrum ſpectandum tibi propoſitum exiſtimaturus fueris. In vultu pulchritudini pallor admixtus erat, hic genas occupans, illa ex oculis effulgens: non tamen eouſque genae pallebant, ut ſuus eis rubor deeſſet: nec oculorum fulgor adeo coruſcabat, quin languore quodam, qualem in violis paulo ante ſucciſis conſpicimus, dehoneſtaretur. Ita pulchro timore pictor puellam decoraverat. Manus extentae, ac alte ſaxo alligatae non aliter e brachiis, quam racemi e vite, pendebant. Brachiorum autem ipſorum candor ad livorem vergebat, & digiti mori videbantur. Haec erat mortem exſpectantis puellae facies. Atque ſponſarum etiam more, quaſique Plutoni nuptum tra-

φικῶς ἐστολισμένη· ποδήρης χιτὼν, λευκὸς ὁ χιτὼν, τὸ δὲ ὕφασμα λεπτὸν, ἀραχνίων ἐοικὸς πλοκῇ, οὐ κατὰ τὴν τῶν προβατείων τριχῶν, ἀλλὰ κατὰ τὴν τῶν ἐρίων, τῶν πτηνῶν, οἷον ἀπὸ δένδρων ἕλκουσαι νήματα γυναῖκες ὑφαίνουσιν Ἰνδαί. τὸ δὲ κῆτος ἀντιπρόσωπον τῆς κόρης κάτωθεν ἀναβαῖνον ἀνοίγει τὴν θάλασσαν. καὶ τὸ μὲν πολὺ τοῦ σώματος περιβέβληται τῷ κύματι· μόνῃ δὲ τῇ κεφαλῇ τὴν θάλατταν ἀποδύεται. ὑπὸ δὲ τὴν ἅλμην τοῦ κύματος ἡ τῶν νώτων ἐγέγραπτο προφαινομένη σκιὰ, τὰ τῶν φολίδων ἐπάρματα, τὰ τῶν αὐχένων κυρτώματα, ἡ λοφιὰ τῶν ἀκανθῶν, οἱ τῆς οὐρᾶς ἑλιγμοὶ, ἡ γένυς πολλὴ καὶ μακρά. ἠνέῳκτο δὲ πᾶσα μέχρι τῆς τῶν ὤμων συμβολῆς, καὶ εὐθὺς ἡ γαστήρ. μεταξὺ δὲ τοῦ κήτους καὶ τῆς κόρης ὁ Περσεὺς ἐγέγραπτο καταβαίνων ἐξ ἀέρος· καταβαίνει δὲ ἐπὶ τὸ θηρίον γυμνὸς τὸ πᾶν, χλαμὺς ἀμφὶ τοῖς ὤμοις μόνοις, καὶ πέδιλον περὶ τὼ πόδε πλησίον τοῦ πτεροῦ· πῖλος δὲ αὐτοῦ τὴν κεφαλὴν καλύ-

deretur, ſtolam induerat, nec non talarem tunicam, albam quidem illam, atque araneolae reti ſubtilitate parem, contextamque, non quomodo ovium vellera, ſed vermium lanae, quales Indae ab arboribus mulieres depectunt, conſueverunt. Adverſus puellam cetus, ab imo mari emergens, undas capite, quo uno exſtabat, fundebat. Nam corporis maior pars aqua contegebatur: non tamen adeo, quin humerorum umbra, ſquamarum ordines, dorſi curvatura, ſpinarum ſummitas, caudae flexiones proſpicerentur Sanna ingenti, & profundo hiatu ad humeros uſque patebat. ſtatimque a ventre excipiebatur. Inter cetum ac puellam Perſeus e coelo devolans in belluam ferebatur nudo corpore; niſi quod chlamyde humeros cooperuerat, & calceos alis ſimiles pedibus aptaverat, pileumque Ditis

πτει· ὁ πῖλος δὲ ὑπηνίττετο τὴν Ἀΐδος κυνέην·[1] τῇ λαιᾷ τὴν τῆς Γοργοῦς κεφαλὴν κρατεῖ, καὶ προβέβληται δίκην ἀσπίδος. ἡ δέ ἐστιν φοβερὰ, καὶ ἐν τοῖς χρώμασι τοὺς ὀφθαλμοὺς ἐξεπέτασεν, ἔφριξε τὰς τρίχας τῶν κροτάφων, ἐγείρει τοὺς δράκοντας· οὕτως ἀπειλεῖ κἀν τῇ γραφῇ. ὅπλον μὲν τοῦτο τῇ λαιᾷ· ὥπλισται δὲ καὶ τὴν δεξιὰν διφυεῖ σιδήρῳ εἰς δρέπανον καὶ ξίφος ἐσχισμένῳ. ἄρχεται μὲν γὰρ ἡ κώπη κάτωθεν ἀμφοῖν ἐκ μιᾶς, καὶ ἔστιν ἐφ᾽ ἥμισυ τοῦ σιδήρου τὸ ξίφος· ἐντεῦθεν δὲ ἀποῤῥαγὲν, τὸ μὲν ὀξύνεται, τὸ δ᾽ ἐπικάμπτεται. καὶ τὸ μὲν ἀπωξυσμένον, μένει ξίφος, ὡς ἤρξατο· τὸ δὲ καμπτόμενον δρέπανον γίνεται, ἵνα μιᾷ πληγῇ τὸ μὲν ἐρείδῃ τὴν σφαγὴν, τὸ δὲ κρατῇ τὴν τομήν. Τὸ μὴν τῆς Ἀνδρομέδας δρᾶμα τοῦτο.

η΄. Ἑξῆς δὲ τὸ τοῦ Προμηθέως ἐγεγόνει. δέδεται μὲν ὁ Προμηθεὺς σιδήρῳ καὶ πέτρᾳ, ὥπλισται δὲ Ἡρα-

galeam imitantem capiti impoſuerat. Laeva manu Gorgonis caput ſuſtinebat, & pro ſcuto proiiciebat, horribili ſane adſpectu. Nam & torve intueri, & comam concutere, & ſerpentes vibrare, ac minitari etiam e pictura videbatur. Dextera ferro eiuſmodi armata erat, ut & falx & gladius ſimul eſſet. A capulo enim ad medium uſque gladii formam referebat: inde duas in partes ſectum altera in mucronem protendebatur, itaque in gladium, ſicut initio eſſe coeperat, deſinebat: altera in uncum flectebatur, atque in falcem evadebat, eodem ut ictu & vulneraret, & attraheret. Atque ita quidem Andromedae ſe res habebant.

VIII. Sequebatur altera deinceps pictura huiuſmodi. Prometheus ferreis catenis ſaxo adalligatus erat. Hercules

[1] Ἀΐδος κυνέην) De tota hac fabula, deque Orci galea, vide omnino Ill. Heyne ad Apollodor. II, 4, 2. p. 301.

κλῆς τόξῳ καὶ δόρατι. ὄρνις ἐς τὴν Προμηθέως γαστέρα τρυφᾷ. ἕστηκε γὰρ αὐτὴν ἀνοίγων, ἤδη μὲν ἀνεῳγμένην, ἀλλὰ τὸ ῥάμφος ἐς τὸ ὄρυγμα κεῖται· καὶ ἔοικεν ἐπορύττειν τὸ τραῦμα καὶ ζητεῖν τὸ ἧπαρ· τὸ δὲ ἐκφαίνεται τοσοῦτον, ὅσον ἀνέῳξεν ὁ γραφεὺς τὴν διώρυχα τοῦ τραύματος. ἐρείδει δὲ τῷ μηρῷ τῷ τοῦ Προμηθέως τὰς τῶν ὀνύχων ἀκμάς. ὁ δὲ ἀλγῶν πάντῃ συνέσταλται, καὶ τὴν πλευρὰν συνέσπασται, καὶ τὸν μηρὸν ἐγείρει καθ' αὑτοῦ. εἰς γὰρ τὸ ἧπαρ συνάγει τὸν ὄρνιν. ὁ δὲ ἕτερος αὐτῷ τοῖν ποδοῖν τὸν σπασμὸν ὄρθιον ἀντιτείνει κάτω, καὶ εἰς τοὺς δακτύλους ἀποξύνεται. τὸ δὲ ἄλλο σχῆμα δείκνυσι τὸν πόνον. κεκύρτωται τὰς ὀφρῦς, συνέσταλται τὸ χεῖλος, φαίνει τοὺς ὀδόντας. ἠλέησας ἂν ὡς ἀλγοῦσαν τὴν γραφήν. ἀναφέρει δὲ λυπουμένῳ Ἡρακλῆς. ἕστηκε γὰρ τοξεύων τοῦ Προμηθέως τὸν δήμιον. ἐνήρμοσται τῷ τόξῳ βέλος· τῇ λαιᾷ

arcum & ſagittam tenebat. Aquila Promethei pectus depaſcebatur: quippe in aperiendo illo iam aperto perſtabat, roſtrumque in vulnus demittebat, infodereque ac iecur quaerere videbatur: cuius pars tanta ſeſe oſtendebat, quantam pictor per vulnus patere voluerat. Alteri Promethei coxae aquila ſummis unguibus innitebatur: quapropter ille in moerore totus erat, & latus retrahens, eam ipſam coxam in ſuam ipſius perniciem elevabat. Ita enim volucrem iecori propiorem faciebat. Altera coxa contentos nervos ad imos uſque pedes commonſtrabat, in digitoſque acuebatur. Quin alio etiam habitu dolorem indicabat: curvabat enim ſupercilia, labra contrahebat, exſerebat dentes. Ipſe ſane picturam quaſi doloris ſenſum habentem miſeratus fuiſſes. Iis malis onerato Prometheo ſuppetias ferebat Hercules, impoſitam arcui ſagittam in eius tortorem intendens: quippe arcum ſiniſtra manus ex-

προβέβληται τὸ κέρας ὠθῶν· ἐπὶ μαζὸν ἕλκει τὴν δεξιὰν, ἕλκων τὸ νεῦρον κεκύρτωται κατόπιν τὸν ἀγκῶνα. πάντα οὖν ὁμοῦ. πτύσσεται τὸ τόξον, τὸ νεῦρον, τὸ βέλος. ἡ δεξιὰ συνάγεται μὲν ὑπὸ τοῦ νεύρου τὸ τόξον· διπλοῦται δὲ ὑπὸ τῆς χειρὸς τὸ νεῦρον, κλίνεται δὲ ἐπὶ μαζὸν ἡ χείρ. ὁ δὲ Προμηθεὺς μεστός ἐστιν ἐλπίδος ἅμα καὶ φόβου. πῆ μὲν γὰρ εἰς τὸ ἕλκος, πῆ δὲ εἰς τὸν Ἡρακλέα βλέπει· καὶ θέλει μὲν αὐτὸν ὅλοις τοῖς ὀφθαλμοῖς ἰδεῖν, ἕλκει δὲ τὸ ἥμισυ τοῦ βλέμματος ὁ πόνος.

θʹ. Ἐνδιατρίψαντες οὖν ἡμέρας δύο, καὶ ἀναλαβόντες ἑαυτοὺς ἐκ τῶν κακῶν, ναῦν Αἰγυπτίαν μισθωσάμενοι (εἴχομεν δὲ ὀλίγον χρυσίον, ὅπερ ἐτύχομεν ἐζωσμένοι) διὰ τὸν τοῦ Νείλου πλοῦν ἐπ' Ἀλεξάνδρειαν ἐποιούμεθα, μάλιστα μὲν ἐκεῖ διεγνωκότες ποιήσασθαι τὴν διατριβὴν, καὶ νομίζοντες ταύτῃ τάχα τοὺς φίλους εὑρήσειν προσενεχθέντας. ἐπεὶ δὲ ἐγενό-

tenta impellebat, dextra vero nervo una adducto mammae admovebatur, cubito interim post se curvato. Eodemque omnia haec tempore fiebant: arcus cornua nervo adducebantur, nervus manu flectebatur, manus mammae adhaerebat. Prometheus ipse spe metuque plenus erat, ac partim quidem vulnus, partim vero Herculem intuebatur: quem sane totis oculis contemplari volebat. Sed obtutus partem alteram dolor ad se rapiebat.

IX. Ceterum cum duos illic dies commorati, ac ex malis recreati essemus, Aegyptia navi conducta, (nonnihil enim auri nobis in zona superfuerat,) Alexandriam versus Nilo amne cursum direximus, hoc consilio, aetatem ut illic degeremus, fieri etiam posse putantes, ut eo forte delatos amicos inveniremus. Cum autem ad oppidum

μεθα κατά τινα πόλιν, ἐξαίφνης βοῆς ἀκούομεν πολλῆς. καὶ ὁ ναύτης εἰπών· Ὁ βουκόλος μεταστρέφει τὴν ναῦν, ὡς ἐπαναπλεύσων εἰς τοὐπίσω. καὶ ἅμα πλήρης ἦν ἡ γῆ φοβερῶν καὶ ἀγρίων ἀνθρώπων· μεγάλοι μὲν πάντες, μέλανες δὲ τὴν χροιάν, οὐ κατὰ τὴν Ἰνδῶν τὴν ἄκρατον, ἀλλ' οἷος ἂν γένοιτο νόθος Αἰθίοψ, ψιλοὶ τὰς κεφαλάς, λεπτοὶ τοὺς πόδας, τὸ σῶμα παχεῖς, ἐβαρβάριζον δὲ πάντες. καὶ ὁ κυβερνήτης εἰπὼν, Ἀπολώλαμεν, ἔστηκε τὴν ναῦν. ὁ γὰρ ποταμὸς ταύτῃ στενότατος· καὶ ἐπεμβάντες τῶν λῃστῶν τέσσαρες, πάντα μὲν τὰ ἐν τῇ νηῒ λαμβάνουσιν, καὶ τὸ χρυσίον ἡμῶν ἀποφέρουσιν· ἡμᾶς δὲ δήσαντες, καὶ κατακλείσαντες ἔς τι δωμάτιον, ἀπηλαύνοντο, φύλακας ἡμῖν καταλιπόντες, ὡς εἰς τὴν ἐπιοῦσαν ἄξοντες ἡμᾶς ὡς τὸν βασιλέα. τούτῳ γὰρ ἐκάλουν τῷ ὀνόματι τὸν λῃστὴν τὸν μείζονα. καὶ ἦν ὁδὸς ἡμερῶν δύο, ὡς παρὰ τῶν σὺν ἡμῖν ἑαλωκότων ἠκούσαμεν.

quoddam perveniſſemus, ingens nobis clamor ſubito auditus eſt. Ac nauta exclamans: Ecce paſtor navem tanquam retro ceſſurus convertit: ſtatimque ripa feris atque agreſtibus viris completa eſt. Magna ii omnes ſtatura erant, colore non quidem, ut Indi, ſumme, ſed ut non veri Aethiopes, remiſſe nigro, capitibus raro capillo tectis, parvis pedibus, corpore craſſo, ac barbaro ſermone. Itaque gubernator periiſſe nos omnes affirmans navem ſiſtit: anguſtiſſimus enim illic fluvius erat, & latrones quatuor navim conſcendentes, quidquid in ea inerat, una cum pecunia noſtra abſtulerunt, nobiſque vinctis atque in cuſtodiam datis abierunt, ut poſtridie ad regem (ita enim latronum principem appellant) ducerent. Aberat autem ille duorum dierum itinere, uti de illis, qui nobiſcum capti fuerant, accepimus.

ι'. Ἐπεὶ οὖν νὺξ ἐγένετο, καὶ ἐκείμεθα, ὡς ἦμεν, δεδεμένοι, καὶ ἐκάθευδον οἱ φρουροὶ, τότε καὶ ἐξὸν ἤδη κλαίειν [εἶχον] τὴν Λευκίππην, καὶ δὴ λογισάμενος ὅσων αὐτῇ γέγονα κακῶν αἴτιος, κωκύσας ἐν τῇ ψυχῇ βύθιον, τῷ δὲ νῷ κλέψας τοῦ κωκυτοῦ τὸν ψόφον· Ὦ θεοὶ καὶ Δαίμονες, ἔφην, εἴπερ ἐστέ που καὶ ἀκούετε· τί τηλικοῦτον ἠδικήσαμεν, ὡς ἐν ὀλίγαις ἡμέραις τοσούτῳ πλήθει καταβαπτισθῆναι κακῶν; νῦν δὲ καὶ παραδεδώκατε ἡμᾶς λῃσταῖς Αἰγυπτίοις, ἵνα μηδὲ ἐλέους τύχωμεν. λῃστὴν μὲν γὰρ Ἕλληνα καὶ φωνὴ κατέκλασε, καὶ δέησις ἐμάλαξεν· ὁ γὰρ λόγος πολλάκις τὸν ἔλεον προξενεῖ· τὸ γὰρ πονοῦν τῆς ψυχῆς ἡ γλῶττα διακονουμένη πρὸς ἱκετηρίαν τῆς τῶν ἀκουόντων ψυχῆς ἡμεροῖ τὸ θυμούμενον. νῦν δὲ ποίᾳ μὲν φωνῇ δεηθῶμεν; τίνας δὲ ὅρκους προτείνωμεν; κἂν Σειρήνων τις γένηται πιθανώτερος, ὁ ἀνδροφόνος οὐκ

X. Interea cum nox adventaſſet, noſque, ut eramus, vincti iaceremus, ac cuſtodes dormitarent, ego, quomodo mihi ſane tum licuit, Leucippes calamitatem lugere coepi, & quot eam in mala conieciſſem, tacitus mecum reputans, animoque vehementer ingemiſcens, (nec enim eiulatus in apertum proferre audebam:) O Dii daemoneſque, inquam, ſicubi eſtis, & auditis, tantumne deliquimus, ut tam brevi tot malis obrui meruerimus? Atqui nos latronibus Aegyptiis etiam tradidiſtis, quo miſericordiam impetrare nequeamus. Graecum, Hercules! latronem & vox commoviſſet, & ad miſericordiam preces allexiſſent. Oratio enim ſaepe ad lenitatem revocat, & lingua pro animi aegritudine deprecatrix iratas audientium mentes flectit. Nos vero quanam voce precabimur? quodnam iusiurandum dabimus? ut enim Sirenum cantu dulciorem ad perſuadendum orationem quis adhibeat, non

ἀκούει. μόνοις ἱκετεύειν με δεῖ τοῖς νεύμασιν, καὶ τὴν δέησιν δηλοῦν ταῖς χειρονομίαις. ὢ τῶν ἀτυχημάτων. ἤδη τὸν θρῆνον ὀρχήσομαι. τὰ μὲν οὖν ἐμὰ, κἂν ὑπερβολὴν ἔχῃ συμφορᾶς, ἧττον ἀλγῶ· τὰ σὰ δὲ, Λευκίππη, ποίῳ στόματι θρηνήσω; ποίοις ὄμμασι δακρύσω; ὢ πιστὴ μὲν πρὸς ἀνάγκην ἔρωτος, χρηστὴ δὲ πρὸς ἐραστὴν δυστυχοῦντα. ὡς καλά σου τῶν γάμων τὰ κοσμήματα. θάλαμος μὲν τὸ δεσμωτήριον, εὐνὴ δὲ ἡ γῆ, ὅρμοι δὲ καὶ ψέλλια, κάλοι καὶ βρόχος, καί σοι νυμφαγωγὸς λῃστὴς παρακαθέζεται· ἀντὶ δὲ τῶν ὑμεναίων τίς σοι τὸν θρῆνον ᾄδει; μάτην σοι, ὦ θάλασσα, τὴν χάριν ὡμολογήσαμεν· μέμφομαί σου τῇ φιλανθρωπίᾳ· χρηστοτέρα γέγονας πρὸς οὓς ἀπέκτεινας, ἡμᾶς δὲ σώσασα μᾶλλον ἀπέκτεινας. ἐφθόνησας ἡμῖν ἀλῃστεύτοις ἀποθανεῖν.

tamen a parricidis intelligetur. Nutu tantum rogare, ac manuum geſtu precari me oportebit. O calamitatem! luctum ego iam ſaltando exprimam. Sed infortunia mea quamquam opinione omnium maiora ſunt, minus tamen certe doleo. Tua vero, Leucippe, quo ore conquerar? quibus lacrimabor? o conſtantem in amoris fide conſervanda! o benignam erga infelicem amantem Leucippen! en magnificos nuptiarum tuarum apparatus, carcerem ſcilicet pro cubiculo, pro pulvinis terram, pro monilibus atque armillis funes & laqueos. Atqui etiam deductoris loco latro tibi aſſidet, Hymenaeique vicem lamentationes implent. Nos quidem, o mare, fruſtra tibi gratias egimus. Benignitatem ego tuam non poſſum non reprehendere, utpote quod mitius in eos fueris, quos perdidiſti. Nam dum nos ſervaſti, crudelius occidiſti, omnemque mortem, quae a non latronibus afferretur, nobis invidiſti.

ια΄. Ταῦτα μὲν ἐθρήνουν ἡσυχῇ, κλαίειν δὲ οὐκ ἠδυνάμην. τοῦτο γὰρ ἴδιον τῶν ὀφθαλμῶν ἐν τοῖς μεγάλοις κακοῖς. ἐν μὲν γὰρ ταῖς μετρίαις συμφοραῖς ἀφθόνως τὰ δάκρυα καταῤῥεῖ, καὶ ἔστι τοῖς πάσχουσιν εἰς τοὺς κολάζοντας ἱκετηρία, καὶ τοὺς ἀλγοῦντας, ὥσπερ ἀπὸ οἰδοῦντος τραύματος, ἐπεκούφισεν· ἐν δὲ τοῖς ὑπερβάλλουσι δεινοῖς φεύγει καὶ τὰ δάκρυα, καὶ προδίδωσι καὶ τοὺς ὀφθαλμούς. ἐντυχοῦσα γὰρ αὐτοῖς ἀναβαίνουσιν ἡ λύπη, ἵστησί τε τὴν ἀκμὴν, καὶ μετοχετεύει καταφέρουσα σὺν αὐτῇ κάτω· τὰ δὲ ἐκτρεπόμενα τῆς ἐπὶ τοὺς ὀφθαλμοὺς ὁδοῦ εἰς τὴν ψυχὴν καταῤῥεῖ, καὶ χαλεπότερον αὐτῆς ποιεῖ τὸ τραῦμα. Λέγω οὖν πρὸς τὴν Λευκίππην πάντα σιγῶσαν· Τί σιγᾷς, φιλτάτη, καὶ οὐδέν μοι λαλεῖς; Ὅτι μοι, ἔφη, πρὸ τῆς ψυχῆς, Κλειτοφῶν, τέθνηκεν ἡ φωνή.

ιβ΄. Ταῦθ' ἡμᾶς διαλεγομένους ἔλαβεν ἠὼς γενο-

XI. Hoc ſane pacto mecum tacitus lamentabar. Verum lacrimas, quod in ingentibus malis maxime proprium eſt, profundere nequibam. Enimvero mediocribus in malis lacrimae abunde manant, ac precandi munere pro iis, qui in calamitate degunt, apud infortunii auctores funguntur, doloremque minuunt, ut ulcerum tumores cum diſrumpuntur: in exſuperantibus autem refugiunt, oculoſque deſerunt. Moeror enim exire parantibus obviam factus earum vim retardat, & una ſecum ad imas pectoris partes rapit. Quamobrem de oculorum via deflectentes animum pulſant, illiuſque angorem mirum in modum augent. Deinde ad Leucippen iam prorſus obmuteſcentem converſus: Qua de cauſa, inquam, Leucippe ſuaviſſima, taces? nec quidquam mihi dicis? Tum illa: Quia vox me, inquit, o Clitophon, prius, quam ſpiritus, defecit.

XII. Haec dum loqueremur, dies nobis haud adverten-

μένη. καί τις ἵππον ἐπελαύνων ἔρχεται, κόμην ἔχων πολλὴν καὶ ἀγρίαν· ἐκόμα δὲ καὶ ὁ ἵππος. γυμνὸς ἦν, ἄστρωτος καὶ οὐκ ἔχων φάλαρα. τοιοῦτοι γὰρ τοῖς λῃσταῖς εἰσιν οἱ ἵπποι. ἀπὸ δὲ τοῦ λῃστάρχου παρῆν, καὶ, Εἴ τις, ἔφη, παρθένος ἐστὶν ἐν τοῖς εἰλημμένοις, ταύτην ἀπάγειν πρὸς τὸν θεὸν, ἱερεῖον ἐσομένην καὶ καθάρσιον τοῦ στρατοῦ. Οἱ δὲ ἐπὶ τὴν Λευκίππην εὐθὺς τρέπονται. ἡ δὲ εἴχετό μου καὶ ἐξεκρέματο βοῶσα. τῶν λῃστῶν οἱ μὲν ἀπέσπων, οἱ δὲ ἔτυπτον· ἀπέσπων μὲν τὴν Λευκίππην· ἔτυπτον δὲ ἐμέ. ἀράμενοι οὖν αὐτὴν μετέωρον ἀπάγουσιν. ἡμᾶς δὲ κατὰ σχολὴν ἦγον δεδεμένους.

ιγʹ. Καὶ ἐπεὶ δύο σταδίους τῆς κώμης προήλθομεν, ἀλαλαγμὸς ἀκούεται πολὺς, καὶ σάλπιγγος ἦχος, καὶ ἐπιφαίνεται φάλαγξ στρατιωτικὴ, πάντες ὁπλῖται. οἱ δὲ λῃσταὶ κατιδόντες, ἡμᾶς μέσους διαλαβόν-

tibus illuxit: ac tum nescio quis inculta & promissa coma introgressus est equo advectus maxime iubato nudoque, nullis nec stratis, nec phaleris. Eiusmodi enim latronum sunt equi. Erat is a latronum principe missus. Et, Si qua inter captivos, inquit, virgo adest, eam abducere me oportet, Dei victimam ad exercitum expiandum futuram. Tum custodes oculos in Leucippen statim coniecerunt. Illa vero me complexa, & mihi adhaerens, lamentari ac eiulare coepit. E latronibus alii eam abstrahebant, alii me caedebant. Tandem sublimem raptam asportaverunt, vinctos nos interim per otium secum ducentes.

XIII. Posteaquam stadia duo a pago processimus, ingens nobis clamor tubae sono permixtus exaudiri coepit, deinde militum etiam gravis armaturae manus in conspectum se dedit: quam simulatque latrones viderunt, nobis in eorum medio conclusis, ad resistendum parati sub-

τες ἔμενον ἐπιόντας αὐτοὺς ὡς ἀμυνόμενοι. καὶ μετ᾽ οὐ πολὺ παρῆσαν πεντήκοντα τὸν ἀριθμὸν, ὁπλῖται πάντες· οἱ μὲν ποδήρεις ἔχοντες τὰς ἀσπίδας· οἱ δὲ πελτασταί. οἱ δὲ λῃσταὶ πολλῷ πλείους ὄντες, βώλους ἀπὸ τῆς γῆς λαμβάνοντες τοὺς στρατιώτας ἔβαλλον. παντὸς δὲ βώλου χαλεπώτερος βῶλος Αἰγύπτιος, βαρύς τε καὶ τραχὺς καὶ ἀνώμαλος· τὸ δὲ ἀνώμαλόν εἰσιν αἰχμαὶ τῶν λίθων· ὥστε βληθεὶς διπλοῦν ποιεῖ ἐν τούτῳ τὸ τραῦμα καὶ οἴδημα ὡς ἀπὸ λίθου, καὶ τομὰς ὡς ἀπὸ βέλους. ἀλλὰ ταῖς γε ἀσπίσιν ἐκδεχόμενοι τοὺς λίθους, ὀλίγον τῶν βαλλόντων ἐφρόντιζον. Ἐπεὶ οὖν ἔκαμον οἱ λῃσταὶ βάλλοντες, ἀνοίγουσι μὲν οἱ στρατιῶται τὴν φάλαγγα· ἐκθέουσι δὲ ἀπὸ τῶν ὅπλων ἄνδρες κούφως ἐσταλμένοι, φέρων αἰχμὴν ἕκαστος καὶ ξίφος, καὶ ἀκοντίζουσιν ἅμα, καὶ ἦν οὐδεὶς ὃς οὐκ ἐπέτυχεν. εἶτα οἱ ὁπλῖται προσέῤῥεον· καὶ ἦν ἡ μάχη στεῤῥὰ, πληγαὶ δὲ παῤ ἀμφοτέρων, καὶ τραύματα

ſtiterunt: atque haud ita multo poſt viri quinquaginta armis tecti omnes, quorum alii longis ad pedes uſque, alii brevioribus, ſcutis utebantur, proceſſerunt. Latrones, quorum numerus maior erat, ſublatas glebas in eos proiiciebant. Aegyptia porro gleba telo quovis pernicioſior eſt, quippe quae dura, aſpera & inaequalis; producunt hanc inaequalitatem cuſpides lapideae. Ea de re fit, ut coniecta bifariam laedat. Tumorem enim ceu lapis, & vulnus ceu iaculum, efficit. Verum milites glebas ſcutis excipientes iaculatores nihili faciebant. Poſteaquam hi coniiciendo defatigati fuerunt, illi agmen aperuerunt: & qui leviter armati erant, ſtatim procurrerunt: quorum ſinguli miſſile ac gladium geſtabant. Ii primum iaculati omnes ſunt, neque vanus cuiuſquam ictus fuit. Deinde gravis armatura ſeſe effudit. Pugnatum eſt confertim, plagaeque ac cae-

καὶ σφαγαί. καὶ τὸ μὲν ἔμπειρον παρὰ τοῖς στρατιώταις ἀνεπλήρου τοῦ πλήθους τὸ ἐνδεές. Ἡμεῖς δὲ ὅσοι τῶν αἰχμαλώτων ἦμεν, ἐπιτηρήσαντες τὸ πονοῦν τῶν λῃστῶν μέρος, ἅμα συνελθόντες διακόπτομέν τε αὐτῶν τὴν φάλαγγα, καὶ ἐπὶ τοὺς ἐναντίους ἐκτρέχομεν. οἱ δὲ στρατιῶται τὸ μὲν πρῶτον ἐπεχείρουν ἀναιρεῖν, οὐκ εἰδότες· ὡς δὲ εἶδον καὶ γυμνοὺς καὶ δεσμὰ ἔχοντας, ὑπονοήσαντες τὴν ἀλήθειαν, δέχονται τῶν ὅπλων εἴσω, καὶ ἐπ᾽ οὐρὰν παραπέμψαντες εἴων ἡσυχάζειν. ἐν τούτῳ δὲ καὶ ἱππεῖς προσέῤῥεον. καὶ ἐπεὶ πλησίον ἐγένοντο, κατὰ κέρας ἑκατέρων ἐκτείναντες τὴν φάλαγγα περιΐππευον αὐτοὺς ἐν κύκλῳ, καὶ ἐν τούτῳ συναγαγόντες αὐτοὺς εἰς ὀλίγον κατεφόνευον. καὶ οἱ μὲν ἔκειντο τεθνηκότες· οἱ δὲ καὶ ἡμιθνῆτες ἐμάχοντο· τοὺς δὲ λοιποὺς ἐζώγρησαν.

ιδ΄. Ἦν δὲ περὶ δείλην ὁ καιρός. Καὶ ὁ στρατηγὸς διαλαβὼν ἡμῶν ἕκαστον, ἐπυνθάνετο τίνες ἦμεν, καὶ

des & vulnera ultro citroque illata. Quod militum numero deerat, uſus explebat. Nos, quotquot captivi eramus, latronum aciem inclinare videntes, facto ſimul agmine, eorumque ordinibus perruptis, ad hoſtes tranſivimus. Qui uti ſe res haberet ignari, nos primo interficere voluerunt: ſed cum poſtea nudos ac vinctos adſpexiſſent, cognita veritate, intra ordines ſuſceptos poſt extremum agmen, ut illic quieſceremus, collocaverunt. Interea ſupervenerunt equites, acieque utrinque effuſa latrones circuire, in anguſtumque coactos trucidare coeperunt. Ex quibus alii mortui procubuerunt, nonnulli ſemimortui adhuc pugnabant, reliqui in militum poteſtatem vivi devenerunt.

XIV. Ceterum inclinata iam die militum eorum ductor, cui Charmidi nomen fuerat, unumquemque noſtrûm ſin-

πῶς ἐλήφθημεν· διηγεῖτο δὲ ἄλλος ἄλλο τι, κἀγὼ τὰ ἐμὰ εἶπον. ἐπεὶ οὖν ἅπαντα ἔμαθεν, ἐκέλευσεν ἀκολουθεῖν, αὐτὸς δὲ ὅπλα δώσειν ὑπέσχετο. διεγνώκει γὰρ, ἀναμείνας στρατιὰν, ἐπελθεῖν τῷ μεγάλῳ λῃστηρίῳ· ἐλέγοντο δὲ ἀμφὶ τοὺς μυρίους εἶναι. ἐγὼ δὲ ἵππον ᾔτουν. σφόδρα γὰρ ᾔδειν ἱππεύειν γεγυμνασμένος. ὡς δὲ παρῆν, περιάγων τὸν ἵππον ἐπεδεικνύμην ἐν ῥυθμῷ τὰ τῶν πολεμούντων σχήματα, ὥστε καὶ τὸν στρατηγὸν σφόδρα ἐπαινέσαι. Ποιεῖται δέ με ἐκείνην τὴν ἡμέραν ὁμοτράπεζον, καὶ παρὰ τὸ δεῖπνον ἐπυνθάνετο τὰ ἐμὰ, καὶ ἀκούων ἐλεεῖ. συμπαθὴς δέ πως εἰς ἔλεον ἄνθρωπος ἀκροατὴς ἀλλοτρίων κακῶν. καὶ ἔλεος πολλάκις φιλίαν προξενεῖ. ἡ γὰρ ψυχὴ μαλαχθεῖσα πρὸς τὴν, ὧν ἤκουσε, λύπην, συνδιατε-

gillatim & qui essemus, & quo pacto in praedonum manus incidissemus, interrogavit: cui quidem alii alia, ego vero, quae mihi evenerant, commemoravi. Atque ille, ubi omnia edidicit, se ut sequeremur, iussit, armaque nobis praebere pollicitus est: decreverat enim, cum primum copiae, quas exspectabat, adventassent, magnum latronum, qui ad decem millia esse ferebantur, receptaculum aggredi. Ac tum ego equum dari mihi poposci: eo enim studio valde gaudebam. Qui simulatque adductus fuit, illum circumagens pugnantium ordinatim equitum exemplum edidi, ita, ut me Charmides magnopere commendaret. Itaque die illo suis e convivis unum esse me voluit: atque a coena, casus meos ut enarrarem, postulavit: quae dum audiret, misericordia movebatur. Fere enim fit, ut qui aliena mala audit, una quodammodo patiatur. Benevolentiam autem misericordia saepenumero gignit. Animus enim eorum, quos audit, moerore delinitus, & malorum

θεῖσα κατὰ μικρὸν τῇ τοῦ πάθους ἀκροάσει τὸν οἶκτον εἰς φιλίαν καὶ τὴν λύπην εἰς τὸν ἔλεον συλλέγει. Οὕτω γοῦν διέθηκα τὸν στρατηγὸν ἐκ τῆς ἀκροάσεως, ὡς καὶ αὐτὸν δάκρυα προαγαγεῖν. πλέον δὲ ποιεῖν εἴχομεν οὐδὲν, τῆς Λευκίππης ὑπὸ τῶν λῃστῶν ἐχομένης. ἔδωκε δέ μοι καὶ θεράποντα τὸν ἐπιμελησόμενον Αἰγύπτιον.

ιε΄. Τῇ δὲ ὑστεραίᾳ πρὸς τὴν διάβασιν παρεσκευάζετο, καὶ ἐπεχείρει τὴν διώρυχα χῶσαι, ἥτις ἦν ἐμποδών. καὶ γὰρ ἑωρῶμεν τοὺς λῃστὰς μετὰ πλείστης δυνάμεως ἐπὶ θάτερα διώρυχος ἑστῶτας ἐν τοῖς ὅπλοις. βωμὸς δέ τις αὐτοῖς αὐτοσχέδιος ἦν πηλοῦ πεποιημένος, καὶ σορὸς τοῦ βωμοῦ πλησίον. ἄγουσι δή τινες δύο τὴν κόρην, ὀπίσω τὼ χεῖρε δεδεμένην. καὶ αὐτοὺς μὲν, οἵ τινες ἦσαν, οὐκ εἶδον· ἦσαν γὰρ ὡπλισμένοι· τὴν δὲ κόρην Λευκίππην οὖσαν ἐγνώρισα. εἶτα κατὰ

auditione in eundem fere ſenſum pertractus, triſtitiam in miſericordiam, miſericordiam vero in benevolentiam commutat. Ego vero narrando Charmidem eouſque commovi, ut lacrimas tenere nequiverit. Nam quod amplius facerem, nihil erat, cum Leucippe in latronum poteſtate remanſiſſet. Atqui Aegyptium etiam ſervum mei curam habere iuſſit.

XV. Poſtridie ad prodeundum ſe comparavit, & foſſam, quae impedimento erat, complere aggreſſus eſt: magnum etenim latronum numerum in armis eſſe trans foſſam illam cernebamus. Ii aram quandam e luto, iuxtaque ſepulcrum ex tempore conſtruxerant. Ac viri duo puellam manibus poſt tergum revinctis eo adduxerunt. Quos viros, propterea quod armis tecti erant, haudquaquam cognovi: ſed puella Leucippe erat. Ii ergo tum ca-

τῆς κεφαλῆς σπονδὴν περιχέαντες, περιάγουσι τὸν βωμὸν κύκλῳ, καὶ ἐπηύλει τις αὐτῇ. καὶ ὁ ἱερεὺς ᾖδεν ὡς εἰκὸς ᾠδὴν Αἰγυπτίαν. τὸ γὰρ σχῆμα τοῦ στόματος καὶ τῶν προσώπων τὸ διελκυσμένον, ὑπέφαινεν ᾠδήν. εἶτα ἀπὸ συνθήματος πάντες ἀναχωροῦσι τοῦ βωμοῦ μακράν. τῶν δὲ νεανίσκος ἕτερος ἀνακλίνας αὐτὴν ὑπτίαν, ἔδησε ἐκ πατταλων κατὰ τῆς γῆς ἐρηρεισμένων, οἷον ποιοῦσιν οἱ κοροπλάθοι τὸν Μαρσύαν ἐκ τοῦ φυτοῦ δεδεμένον· εἶτα λαβὼν ξίφος βάπτει κατὰ τῆς καρδίας· καὶ διελκύσας τὸ ξίφος εἰς τὴν κάτω γαστέρα, ῥήγνυσιν· τὰ σπλάγχνα δὲ εὐθὺς ἐξεπήδησεν, ἃ ταῖς χερσὶν ἐξελκύσαντες ἐπιτιθέασι τῷ βωμῷ. καὶ ἐπεὶ ὠπτήθη, κατατεμόντες ἅπαντες εἰς μοίρας ἔφαγον. ταῦτα δὲ ὁρῶντες οἱ στρατιῶται καὶ ὁ στρατηγὸς καθ᾽ ἓν τῶν πραττομένων ἀνεβόων, καὶ τὰς ὄψεις ἀπέστρεφον τῆς θέας· ἐγὼ δὲ ἐκ παραλόγου καθήμενος ἐθεώμην. τὸ δὲ ἦν ἔκπληξις. μέτρον γὰρ

piti eius libamina infundentes, facerdote quodam Aegyptium, uti verifimile eft, carmen ei accinente. Oris etenim figura & vultus diftortio canere illum fubindicabat. Deinceps dato figno, ab ara omnes procul receffere. Tum adolefcens alter ex iis, qui adduxerant eam, reclinans paxillis terrae infixis fupinam alligavit, quo maxime modo figuli Marfyam arbori alligatum effingunt, gladiumque iuxta cor infixum ad ima ventris ufque traxit, fic ut vifcera omnia ftatim exfiluerint. Quae illi manibus corripientes arae impofuerunt, coctaque diffecuerunt, ac inter fe partiti omnes devorarunt. Haec milites ductorque cernentes, non potuerunt, quin ad eorum unumquodque factum exclamarent, vultufque averterent. Ipfe autem ea fine ulla prorfus mente, ac fine ullo fenfu, ftupore fcilicet oppreffus fpectabam: mali enim modum exfuperantis

οὐκ ἔχον τὸ κακὸν ἐνεβρόντησέ με. καὶ τάχα ὁ τῆς Νιόβης μῦθος οὐκ ἦν ψευδὴς, ἀλλὰ κἀκείνη τοιοῦτόν τι παθοῦσα ἐπὶ τῇ τῶν παίδων ἀπωλείᾳ, δόξαν παρέσχεν ἐκ τῆς ἀκινησίας ὡσεὶ λίθος γενομένη. Ἐπεὶ δὲ τέλος εἶχεν, ὥς γε ᾤμην, τὸ ἔργον, τὸ σῶμα ἐνθέντες τῇ σορῷ καταλείπουσι, πῶμα ἐπ' αὐτῆς ἐπιθέντες. τὸν δὲ βωμὸν καταστρέψαντες, φεύγουσιν ἀμεταστρεπτί. οὕτως γὰρ αὐτοὺς ποιεῖν ἔτυχεν μεμαντευμένος ὁ ἱερεύς.

ιστ'. Ἑσπέρας δὲ γενομένης, ἡ διώρυξ κέχωστο πᾶσα. οἱ δὲ στρατιῶται διαβάντες αὐλίζονται μικρὸν ἄνω τῆς διώρυχος, καὶ περὶ δεῖπνον ἦσαν. ὁ δὲ στρατηγὸς ἐπεχείρει με παρηγορεῖν ὁρῶν ἀνιαρῶς ἔχοντα. περὶ δὲ πρώτην νυκτὸς φυλακὴν πάντας ἐπιτηρήσας καθεύδοντας, πρόσειμι, τὸ ξίφος ἔχων, ἐπικατασφάξων ἑαυ-

magnitudo a mentis ſenſu me abſtraxerat. Ac forte quae de Niobe fabulis traduntur, falſa minime fuerunt: ſed huiuſmodi quiddam illa quoque ob natorum caedem in ſe experta fabulae locum fecit, exiſtimantibus aliis, eam, propterea quod immota conſtitiſſet, in lapidem converſam. Poſteaquam ea res finem, ſicuti mihi videbatur, ſortita eſt, latrones, cadavere in ſepulcro condito, probeque conteĉto, aram demoliti ſunt, ac nunquam reſpicientes, ita enim fieri debere ſacerdos praeceperat, diſceſſerunt.

XVI. Sub veſperam foſſa omnis repleta fuit, militeſque praetergreſſi paulo ſupra foſſam caſtra poſuerunt, deinde cibum ceperunt. Et Charmides, aegro me animo eſſe cernens, conſolationem mihi adhibere conabatur. Verum ego circiter primam noĉtis vigiliam dormientes omnes tandem conſpicatus, ad tumulum, ut memet ipſum

τος τῇ σορῷ. ἐπεὶ δὲ πλησίον ἐγενόμην, ἀνατείνω τὸ ξίφος· Λευκίππη, λέγων, ἀθλία, καὶ πάντων ἀνθρώπων δυστυχεστάτη, οὐ τὸν θάνατον ὀδύρομαί σου μόνον, οὐδ᾽ ὅτι τέθνηκας ἐπὶ ξένης, οὐδ᾽ ὅτι σοι γέγονεν ἐκ βίας σφαγὴ, οὐδ᾽ ὅτι ταῦτα τῶν σῶν ἀτυχημάτων παίγνια, ἀλλ᾽ ὅτι καθάρσιον γέγονας ἀκαθάρτων σωμάτων, καί σε ζῶσαν ἀνέτεμον, οἴμοι, καὶ βλέπουσαν ὅλην τὴν ἀνατομὴν, ἀλλ᾽ ὅτι σοῦ τῆς γαστρὸς τὰ μυστήρια ἐμέρισαν, καὶ τὴν ταφὴν κακοδαίμονι βωμῷ καὶ σορῷ, καὶ τὸ μὲν σῶμα ταύτῃ κατατέθειντai, τὰ δὲ σπλάγχνα ποῦ; εἰ μὲν δεδαπανήκει τὸ πῦρ, ἧττων ἡ συμφορά· νῦν δὲ ἡ τῶν σπλάγχνων σου ταφὴ λῃστῶν γέγονε τροφή. ὢ πονηρᾶς ἐπὶ βωμοῦ δᾳδουχίας· ὢ τροφῶν καινὰ μυστήρια. καὶ ἐπὶ τοιούτοις θύμασιν ἔβλεπον ἄνωθεν οἱ θεοὶ, καὶ οὐκ

ſuper eo immolarem, accepto gladio perrexi: ac ſepulcro propior factus, eo educto: O miſera, inquam, Leucippe, mortaliumque omnium infeliciſſima! ego quidem certe non mortem iſtam tuam, non quod procul a domo tua, non quod violenta morte obieris, non quod tam ſaevi de te ludi facti ſint, fleo: ſed illud miſerrimum omnium me facit, quod impuriſſimorum latronum expiatio fueris, quod ii te vivam (me miſerum) gladiiſque mucronem in te defigi videntem diſſecuerint, quod occultiores uteri tui partes diviſerint, quod exſecrabilem aram, ac tumulum tibi erexerint. Atque hic quidem corpus tuum iacet, viſcera vero quem locum obtinent? Si ea igni conſumta fuiſſent, levior utique calamitas haec exiſtimari deberet: ſed cum eorum ſepulcrum latronum ingluvies facta ſit, quae malo huic infelicitas comparari poteſt? O diras altaris faces! o ciborum inauditum genus! Et Dii ſacrificia huiuſmodi e coelo ſpectarunt, & ignis ex-

ἐσβέσθη τὸ πῦρ· ἀλλὰ μιαινόμενον ἠνείχετο καὶ ἀνέφερε τοῖς θεοῖς τὴν κνίσσαν τὸ πῦρ; λάβε οὖν, Λευκίππη, τὰς πρεπούσας σοι παρ' ἐμοῦ χοάς.

ιζ'. Ταῦτ' εἰπὼν, ἀνατείνω τὸ ξίφος ἄνω, ὡς καθήσων ἐμαυτῷ κατὰ τῆς σφαγῆς· καὶ ὁρῶ δύο τινὰς ἐξ ἐναντίας (σεληναία δ' ἦν) σπουδῇ θέοντας. ἐπέσχον οὖν, λῃστὰς εἶναι δοκῶν, ὡς ἂν ὑπ' αὐτῶν ἀποθάνοιμι. ἐν τούτῳ δὲ ἐγγὺς ἐγένοντο, καὶ ἀναβοῶσιν ἄμφω. Μενέλαος δὲ ἦν καὶ ὁ Σάτυρος. ἐγὼ δ' ἄνδρας ἰδὼν ἐκ παραλόγου ζῶντας καὶ φίλους, οὔτε περιεπτυξάμην, οὔτε ἐξεπλάγην ὑφ' ἡδονῆς. τοσοῦτον ἡ λύπη με τῆς συμφορᾶς ἐξεκώφωσεν [1]. Λαμβάνονται δή μου τῆς δεξιᾶς, καὶ ἐπεχείρουν ἀφαιρεῖσθαι τὸ ξίφος. ἐγὼ δέ· Πρὸς θεῶν, ἔφην, μή μοι φθονήσητε θανάτου καλοῦ, μᾶλλον δὲ φαρμάκου τῶν κακῶν. οὐδὲ γὰρ ζῇν

ſtinctus non eſt, ſed foedatus aſcendit, nidoremque Diis attulit! Tu vero, Leucippe, te dignas a me inferias cape.

XVII. Haec cum dixiſſem, gladiumque, ut in iugulum mihimet ipſe demitterem, ſuſtuliſſem, duos quoſdam exadverſum mihi, luna enim ſplendebat, ad me quam ociſſime currentes proſpexi. Continui me igitur, latrones illos eſſe ratus, ut ab iis interficerer. Interea propiores ambo facti ſunt, & magna voce inclamarunt. Erant ii Satyrus, & Menelaus. Ego, tametſi mihi amicos homines vivos inſperato viderem, tamen tantum abfuit, ut illos amplexarer, ut nullam etiam ex eorum adſpectu voluptatem caperem: ita me de ſtatu mentis deiecerat acerbitas infortuniorum. Illi, dextera manu mihi apprehenſa, gladium eripere tentaverunt. Verum ego: Ne per Deos, inquam, praeclaram hanc mihi mortem, aut malorum

1 Ἐξεκάφωσεν) Ita corrigendum ſtatuit Salmaſius, cum antea ſine idoneo ſenſu legeretur ἐξεκούφισεν.

ἔτι δύναμαι, κἂν νῦν με βιάσησθε, Λευκίππης οὕτως ἀνῃρημένης. τοῦτο μὲν γὰρ ἀφαιρήσεσθέ μου τὸ ξίφος, τὸ δὲ τῆς ἐμῆς λύπης ξίφος ἔνδον καταπέπηγε καὶ τέμνει κατ' ὀλίγον. ἀθανάτῳ σφαγῇ ἀποθνήσκειν με βούλεσθε; Λέγει οὖν ὁ Μενέλαος· Ἀλλ' εἰ διὰ τοῦτο θέλεις ἀποθανεῖν, ὥρα σοι τὸ ξίφος ἐπισχεῖν· Λευκίππη δέ σοι ἀναβιώσεται. Βλέψας οὖν εἰς αὐτὸν, Ἔτι μου καταγελᾷς, ἔφην, ἐπὶ τηλικούτῳ κακῷ; εὖγε, Μενέλαε, ξενίου μέμνησαι Διός. Ὁ δὲ κρούσας τὴν σορόν· Ἐπεὶ τοίνυν ἀπιστεῖ Κλειτοφῶν, ἔφη, σύ μοι Λευκίππη μαρτύρησον, εἰ ζῇς. Ἅμα δὲ εἶπεν, καὶ δίς που καὶ τρὶς ἐπάταξε τὴν σορὸν, καὶ κάτωθεν ἀκούω φωνῆς πάνυ λεπτῆς. τρόμος οὖν εὐθὺς ἴσχει με, καὶ πρὸς τὸν Μενέλαον ἀπέβλεπον, μάγον εἶναι δοκῶν. ὁ δὲ ἤνοιγεν ἅμα τὴν σορὸν, καὶ ἡ

potius medelam, invideatis: neque enim, Leucippe hoc pacto amissa, etsi nunc me maxime cogatis, vivere amplius queam. Gladium certe hunc ipsi e manibus meis evelletis: sed moeroris aculeus intus ad vivum desedit, ac nonnihil iam penetravit. Immortaline vulneratione vos mori me vultis? Tum Menelaus: Si nullam aliam ob caussam mortem tibi conscisсere vis, gladium, Hercule, abiicere potes. Nam Leucippe viva nunc tibi aderit. Ipse autem, coniectis in eum oculis: Atqui tu quoque, inquam, tantis conflictatum malis irrides? Ah saltem sis memor hospitalis Iovis. Tum ille, impulso tumulo: Agedum tu, inquit, Leucippe, an vivas, testare: quandoquidem nullam Clitophon mihi fidem habet. Vix autem loqui desierat, cum urnam bis terve percussit, exilisque admodum ab ea proveniens vox mihi audita est. Itaque subito tremore occupatus, oculos in Menelaum conieci, magicae artis peritum eum ratus. Ille urnam detexit, ac

Λευκίππη κάτωθεν ἀνέβαινεν, φοβερὸν θέαμα, ὦ θεοὶ, καὶ φρικωδέστατον. ἀνέῳκτο μὲν αὐτῆς ἡ γαστὴρ πᾶσα, καὶ ἦν ἐντέρων κενή· ἐπιπεσοῦσα δέ μοι περιπλέκεται, καὶ συνέφυμεν, καὶ ἄμφω κατεπέσαμεν.

ιή. Μόλις οὖν ἀναζωπυρίσας λέγω πρὸς τὸν Μενέλαον· Οὐκ ἐρεῖς μοι, τί ταῦτα; οὐχὶ Λευκίππην ὁρῶ; ταύτης οὐ κρατῶ, καὶ οὐκ ἀκούω λαλούσης; ἃ οὖν χθὲς ἐθεασάμην, τίνα ἦν; ἢ γὰρ ἐκεῖνά ἐστιν, ἢ ταῦτα ἐνύπνια. ἀλλ᾽ ἰδοὺ καὶ φίλημα ἀληθινὸν καὶ ζῶν, ὡς κἀκεῖνο τὸ τῆς Λευκίππης γλυκύ. Ἀλλὰ νῦν μὲν, ὁ Μενέλαος ἔφη, καὶ τὰ σπλάγχνα ἀπολήψεται, καὶ τὰ στέρνα συμφύσεται, καὶ ἄτρωτον ὄψει. ἀλλ᾽ ἐπικάλυψαί σου πρόσωπον. καλῶ γὰρ τὴν Ἑκάτην ἐπὶ τὸ ἔργον. Ἐγὼ δὲ πιστεύσας, ἐνεκαλυψάμην. ὁ δὲ ἄρχεται τερατεύεσθαι, καὶ λόγον τινὰ καταλέγειν.

ſtatim Leucippe quam terribili ſane horrendoque adſpectu, a ſummo enim ad imum diſſectus, ac viſceribus vacuus ei venter erat, prodiit, ſeſeque in me reiiciens, me complexa eſt, & ego illam contra: itaque ambo concidimus.

XVIII. Vix autem me ipſe collegeram, cum ad Menelaum converſus: Quid cauſae, inquam, eſt, quamobrem mihi, quo modo haec ſe habeant, non expedis? Nonne quam video, quam teneo, quam loquentem audio, Leucippe eſt? Cuiuſmodi ergo fuerunt, quae heſterna die proſpexi? Sane aut illud, aut hoc ſomnium eſt: ſed oſculum & verum eſt, & vivum, &, quale a Leucippe olim dabatur, ſuave. Tum ille: Atqui viſcera quoque, inquit, iamiam recuperabit, pectoriſque vulnus coaleſcet, & illaeſam videbis. Tu faciem vela: Proſerpinam enim ad id invoco. Itaque, fidem homini habens, feci. Ille autem inaudita quaedam facere & loqui coepit: atque inter lo-

ἅμα λέγων περιαιρεῖ τὰ μαγγανεύματα τὰ ἐπὶ τῇ γαστρὶ τῆς Λευκίππης, καὶ ἀποκατέστησεν εἰς τὸ ἀρχαῖον. λέγει δέ μοι· Ἀποκάλυψαι. Κἀγὼ μόλις μὲν, καὶ φοβούμενος, ἀληθῶς γὰρ ᾤμην τὴν Ἑκάτην παρεῖναι, ὅμως δ' οὖν ἀπέστησα τῶν ὀφθαλμῶν τὰς χεῖρας, καὶ ὁλόκληρον τὴν Λευκίππην ὁρῶ. ἔτι μᾶλλον οὖν ἐκπλαγεὶς, ἐδεόμην Μενελάου, λέγων· Ὦ φίλτατε Μενέλαε, εἰ διάκονος Θεοῦ τινος εἶ, δέομαί σου, ποῖ γῆς εἰμι, καὶ τί ποτε ταῦτα ὁρῶ; Καὶ ἡ Λευκίππη· Παῦσαι, ἔφη, Μενέλαε, δεδιττόμενος αὐτόν· λέγε δὲ, πῶς τοὺς λῃστὰς ἠπάτησας.

ιθ'. Ὁ οὖν Μενέλαος λέγει· Οἶδας, ὡς Αἰγύπτιός εἰμι τὸ γένος· φθάνω γάρ σοι ταῦτα εἰπὼν ἐπὶ τῆς νεώς. ἦν οὖν μοι τὰ πλεῖστα τῶν κτημάτων περὶ ταύτην τὴν κώμην, καὶ οἱ ἄρχοντες αὐτῆς γνώριμοι. ἐπεὶ οὖν τῇ ναυαγίᾳ περιεπέσαμεν, εἶτά με προσέρρι-

quendum, quae Leucippes ventri ad fallendos latrones adaptaverant, detraxit, prioremque illi formam reddidit: deinde respicere me iussit. Tum ego (vix quidem, ac sane magno cum timore: Proserpinam enim vere adesse putabam) faciem revelavi, Leucippenque invulneratam vidi: eoque maiorem etiam in modum admiratus: Si Dei alicuius, Menelaë carissime, inquam, administer es, ubinam, rogo te, gentium sumus? quid sibi haec volunt, quae cerno? Leucippe quoque, Hominem, inquit, Menelaë, frustrari amplius noli: sed quo pacto latronibus imposueris, iam tandem expone.

XIX. Tum Menelaus: Aegyptium, inquit, me, Clitophon, esse non ignoras: id quod ex me antea, in navi cum essemus, audivisti. Praediorum meorum pars maior prope pagum hunc est: cuius cum praefectis nonnullus mihi usus intercedit. Cum igitur naufragium fecissemus,

ψε τὸ κῦμα τοῖς Αἰγύπτου παραλίοις. λαμβάνομαι μετὰ τοῦ Σατύρου πρὸς τῶν ταύτην παραφυλασσόντων λῃστῶν. ὡς δὲ ἄγομαι πρὸς τὸν λῄσταρχον, ταχύ με τῶν λῃστῶν τινες γνωρίσαντες, λύουσι τὰ δεσμὰ, θαῤῥεῖν τε ἐκέλευον, καὶ συμπονεῖν αὐτοῖς, ὡς ἂν οἰκεῖον. ἐξαιτοῦμαι δὴ καὶ τὸν Σάτυρον ὡς ἐμόν. οἱ δέ· Ἀλλ᾽ ὅμως, ἔφησαν, ἐπίδειξαι ἡμῖν σεαυτὸν τολμηρὸν πρῶτον. κἀν τούτῳ χρησμὸν ἴσχουσιν κόρην καταθῦσαι καὶ καθᾶραι τὸ λῃστήριον, καὶ τοῦ μὲν ἥπατος ἀπογεύσασθαι τυθείσης, τὸ δὲ λοιπὸν σῶμα σορῷ παραδόντας ἀναχωρεῖν, ὡς ἂν τὸ τῶν ἐναντίων στρατόπεδον ὑπερβάλλοι τῆς θυσίας τὸν τρόπον. Λέγε δὴ τὰ ἐπίλοιπα, Σάτυρε· σὸς γὰρ ἐντεῦθεν ὁ λόγος.

κ΄. Καὶ ὁ Σάτυρος λέγει· Ἅμα δὲ βιαζόμενος ἐπὶ τὸ στρατόπεδον, ἔκλαιον, ὦ δέσποτα, καὶ ὠδυρόμην, τὰ περὶ τῆς Λευκίππης πυθόμενος, καὶ ἐδεόμην Μενε-

ad Aegypti litora me tandem fluctus eiecit. Qui latrones ei pago praesidio fuerant, me cum Satyro ceperunt. Perductum autem ad eorum ducem nonnulli ex eis mei cognitores vinculis detractis solverunt, & bono animo esse, sibique, uti amicum, in eorum rebus agendis auxilium ferre iusserunt. Tunc ego Satyrum quasi meum reddi mihi poposci. At illi: Audacem, inquiunt, nobis te primum ostende. Interea responsum iis ab oraculo redditum fuit, ut virginem immolarent, & suum ipsorum agmen expiarent, immolataeque iecinore degustato, ac reliquo corpore in lectulum dato, recederent: ut sacrificii genus hostium exercitum obstupefaceret. Quae reliqua sunt, tu, Satyre, commemorato.

XX. Ac tum Satyrus: Cum ad exercitum captivus, inquit, ductus, & de Leucippes infortunio certior factus essem, vicem illius dolens, o here, flebam, Menelaum

λάου παντὶ τρόπῳ σῶσαι τὴν κόρην. δαίμων δέ τις ἀγαθὸς ἡμῖν συνήργησεν. ἐτύχομεν τῇ προτεραίᾳ τῆς θυσίας ἡμέρᾳ καθεζόμενοι πρὸς τῇ θαλάττῃ λυπούμενοι, καὶ περὶ τούτων σκοποῦντες· τῶν δὲ λῃστῶν τινες ναῦν ἰδόντες ἀγνοίᾳ πλανηθεῖσαν, ὥρμησαν ἐπ' αὐτήν. οἱ δὲ ἐπὶ τῆς νεὼς συνέντες οἱ τυγχάνουσιν, ἐπεχείρουν ἐλαύνειν εἰς τοὐπίσω. ὡς δὲ φθάνουσιν οἱ λῃσταὶ καταλαβόντες, πρὸς ἄμυναν τρέπονται. καὶ γάρ τις ἐν αὐτοῖς ἦν τῶν τὰ τοῦ Ὁμήρου τῷ στόματι [1] δεικνύντων ἐν τοῖς θεάτροις. τὴν Ὁμηρικὴν σκευὴν ὁπλισάμενός τε αὐτὸς, καὶ τοὺς ἀμφ' αὐτὸν οὕτω σκευάσας, ἐπεχείρουν μάχεσθαι. πρὸς μὲν οὖν τοὺς πρώτους ἐπελθόντας, καὶ μάλα ἐῤῥωμένως ἀντετάξαντο. πλειόνων δὲ ἐπιπλευσάντων σκαφῶν λῃστρικῶν καταδύουσιν τὴν ναῦν, καὶ τοὺς ἄνδρας ἐκπεσόντας ἀνῄρουν. λανθάνει δὴ κίστη ἐκτραπεῖσά τις, καὶ τῷ ναυαγίῳ

que, ut eam omnino fervaret, obteftabar. Qua in re propitius nefcio quis Deus nobis auxilio fuit. Pridie enim, quam facrificium fieret, in litore moeroris pleni, atque iis de rebus folliciti, confederamus. Latrones autem aliquot, navem locorum infcitia errantem confpicati, in eam impetum fecerunt. Qui in ea erant, cognitis latronibus, retrocedere tentaverunt: fed cum latrones eos praevertendo deprehendiffent, ad refiftendum fefe converterunt. Ea porro navi unus quidam ex iis, qui Homeri poëmata in theatris recitant, vehebatur. Is cum fe, tum eos, quos fecum ducebat, eo habitu, quo in edendis Homeri poëmatis uti confueverat, adornans, pugnandi initium fecit, primifque graffatoribus perquam ftrenue reftitit. Sed cum plures alii latronum myoparones fuperveniffent, & navis demerfa eft, & egreffi ex ea viri interemti. Tum vero ciftam quandam, infciis illis elapfam, una cum fractae

1 Τῷ στόματι aut omnino delendum, aut mutandum in τῷ σχήματι.

καθ' ἡμᾶς τῷ ῥοῒ κομισθεῖσα, ἣν ὁ Μενέλαος ἀναιρεῖται, καὶ ἀναχωρήσας ποῖ παρόντος ἅμα κἀμοῦ, (προσεδόκα γάρ τι σπουδαῖον ἔνδον εἶναι,) ἀνοίγει τὴν κίστην. καὶ ὁρῶμεν χλαμύδα καὶ ξίφος τὴν μὲν κώπην ὅσον παλαιστῶν τεσσάρων, τὸν δὲ σίδηρον ἐπὶ τῇ κώπῃ βραχύτατον, δακτύλων ὅσον οὐ πλείω τριῶν. ὡς δὲ ἀνελόμενος τὸ ξίφος ὁ Μενέλαος ἔλαθεν μεταστρέψας, καὶ τὸ τοῦ σιδήρου μέρος, τὸ μικρὸν ἐκεῖνο ξίφος, ὥσπερ ἀπὸ χηραμοῦ τῆς κώπης κατατρέχει τοσοῦτον, ὅσον εἶχεν ἡ κώπη τὸ μέγεθος. ὡς δὲ ἀνέστρεψεν εἰς τοὔμπαλιν, αὖθις ὁ σίδηρος εἴσω καταδύεται. τούτῳ δ' ἄρα, ὡς εἰκὸς, ὁ κακοδαίμων ἐκεῖνος ἐν τοῖς θεάτροις ἐχρῆτο πρὸς τὰς κιβδήλους σφαγάς.

κα'. Λέγω οὖν πρὸς τὸν Μενέλαον· Θεὸς ἡμῖν, ἂν θέλῃς χρηστὸς γενέσθαι, συναγωνίσεται. δυνησόμεθα γὰρ καὶ τὴν κόρην σῶσαι, καὶ τοὺς λῃστὰς λα-

navis parte fluctus ad nos detulerunt. Eam Menelaus sustulit, ac nescio quo secedens, me praesente, qui non vulgare aliquid in ea contineri putabam, aperuit: chlamydemque ac cultrum, cuius manubrium palmos quatuor, ferrum vero digitos non amplius tres longum erat, invenimus. Cultrum hunc Menelaus cum inscienter torsisset, e capulo, tanquam ex antro, ferri pars tanta prodiit, quanta capuli longitudo fuerat; cumque in contrariam rursum partem torsisset, ferrum pariter intus occultatum est. Eiusmodi ferro miserum illum hominem in theatris ad fictas vulnerationes uti consuevisse credibile est.

XXI. Quamobrem ad Menelaum conversus: Si strenuam, inquam ego, nunc operam navare volueris, auxilium nobis Deus feret: nosque puellam servare, & a latronibus minime deprehendi poterimus. Quo autem id

θεῖν. ἄκουσον δὲ, ποίῳ τρόπῳ. δέρμα προβάτου λαβόντες ὡς ὅτι ῥαδινώτατον συῤῥάψωμεν εἰς σχῆμα βαλαντίου μέτρον ὅσον γαστρὸς ἀνθρωπίνης, εἶτα ἐμπλήσαντες θηρίων σπλάγχνων καὶ αἵματος, τὴν πλαστὴν ταύτην γαστέρα ῥάψωμεν, ὡς μὴ ῥᾳδίως τὰ σπλάγχνα διαπίπτοι, καὶ ἐνσκευάσαντες τῇ κόρῃ τοῦτον τὸν τρόπον, καὶ στολὴν ἔξωθεν περιβαλόντες μίτραις τε καὶ ζώσμασιν ἐνδεδυμένην τὴν σκευὴν ταύτην ἐπικρύψωμεν. πάντως δὲ καὶ ὁ χρησμὸς ἡμῖν εἰς τὸ λαθεῖν χρήσιμος [καὶ ὁ σίδηρος]. καὶ γὰρ αὐτὴν ἐσταλμένην διὰ ταύτης ἀνατμηθῆναι μέσην τῆς ἐσθῆτος λέγει ὁ χρησμός. ὁρᾷς τοῦτο τὸ ξίφος, ὡς ἔχει μηχανῆς. ἂν γὰρ ἐρείσῃ τις ἐπί τινος σώματος, φεύγει πρὸς τὴν κώπην, ὥσπερ εἰς κουλεόν. καὶ οἱ μὲν ὁρῶντες δοκοῦσιν βαπτίζεσθαι τὸν σίδηρον κατὰ τοῦ σώματος· ὁ δὲ εἰς τὸν χηραμὸν τῆς κώπης ἀνέθορεν, μόνην δὲ καταλείπει τὴν αἰχμὴν, ὅσον τὴν πλαστὴν γαστέρα τε-

pacto fieri poſſit, accipe. Ovillum corium quam ſubtiliſſimum in ſacculi formam pro humani ventris magnitudine conſuemus, deinde ferae alicuius extis, ac ſanguine refertum hunc artificioſe factum uterum accommodabimus ita, ut exta non facile delabantur. Hunc in modum adornata puella, ſtolaque ſuperimpoſita, mitris deinde ac vittis additis, apparatum iſtum occultabimus. Cui ſane rei percommodum oraculum eſt, a quo reſponſum fuit, ut puella adornata cum veſte ipſa per medium ſecetur, ipſumque hoc ferrum. Tu cultrum hunc ea fabrefactum arte vides, ut, ſi quis aliquod in corpus defigere velit, eius ferrum intra capulum, tanquam intra vaginam, recurrat, iis, qui ſpectant, in corpus illud mergi exiſtimantibus, cum tamen in manubrii latebra recondatur, nec amplius exſtet, quam quantum ſatis ſit ad fictitium ute-

μεῖν, καὶ τὴν κώπην ἐν χρῷ τοῦ σφαζομένου τυχεῖν. κἂν ἀποσπάσῃ τις τὸν σίδηρον ἐκ τοῦ τραύματος, καταῤῥεῖ πάλιν ἐκ τοῦ χηραμοῦ τὸ ξίφος, ὅσον τῆς κώπης ἀνακουφίζεται τὸ μετέωρον, καὶ τὸν αὐτὸν τρόπον τοὺς ὁρῶντας ἀπατᾷ. δοκεῖ γὰρ τοσοῦτον καταβαίνειν τῇ σφαγῇ, ὅσον ἄνεισιν ἐκ τῆς μηχανῆς. τούτων οὖν γενομένων, οὐκ ἂν ἴδοιεν οἱ λῃσταὶ τὴν τέχνην. τά τε γὰρ δέρματα ἀποκέκρυπται, τά τε σπλάγχνα τῇ σφαγῇ ἀποπηδήσεται· ἅπερ ἡμεῖς ἐξελόντες ἐπὶ τῷ βωμῷ θήσομεν. καὶ τότε ἐντεῦθεν οὐκέτι προσίασιν οἱ λῃσταὶ τῷ σώματι, ἀλλ' ἡμεῖς εἰς τὴν σορὸν καταθήσομεν. ἀκήκοας τοῦ λῃστάρχου μικρῷ πρόσθεν εἰπόντος, δεῖν τολμηρὸν ἐπιδείξασθαι πρὸς αὐτούς· ὥστε ἐστί σοι προσελθεῖν αὐτῷ καὶ ὑποσχέσθαι ταύτην τὴν ἐπίδειξιν. Ταῦτα λέγων, ἐδεόμην Δία ξένιον καλῶν, καὶ κοινῆς ἀναμιμνήσκων τραπέζης καὶ χρηστῆς, καὶ κοινῆς ναυαγίας.

rum ſecandum, ſed pellem capulus ipſe contingat. Quod ſi quis e vulnere gladium extrahat, tantum pariter ferri excurrit, quantum ſublatus capulus emittit: illoque modo ſpectantium oculos fallit, arbitrantibus iis, illud totum, quod e manubrio exſtabat, in corpus defixum fuiſſe. Haec ſi fiant, latrones artificium cognoſcere nequibunt: nam & corium tectum erit, & exta facto vulnere deſilient: quae nos excipientes arae imponemus. Nec vero ad cadaver eo tempore latrones accedent: verum nos in tumulo collocabimus. Latronum ſane principem paulo ante ipſe dicentem audiviſti, audacter factum aliquid ſibi a nobis oſtendi oportere. Licet itaque hominem te adire, paratumque ad id eſſe te polliceri. Quae cum dixiſſem, preces etiam addidi, hoſpitalem Iovem invocans, communiſque & benignae menſae & naufragii mentionem faciens.

κβ'. Ὁ δὲ χρηστὸς οὗτος· Μέγα μὲν, ἔφη, τὸ ἔργον, ἀλλ᾽ ὑπὲρ φίλου κἂν ἀποθανεῖν δεήσει, γλυκὺς ὁ θάνατος. νομίζω δὲ, ἔφη, ζῆν καὶ Κλειτοφῶντα. ἥ τε γὰρ κόρη πυθομένῳ μοι καταλιπεῖν αὐτὸν εἶπεν παρὰ τοῖς ἑαλωκόσι τῶν λῃστῶν δεδεμένον· οἱ δὲ τῶν λῃστῶν πρὸς τὸν λῄσταρχον ἐκφυγόντες ἔλεγον, πάντας μὲν τοὺς ὑπ᾽ αὐτῶν εἰλημμένους τὴν εἰς τὸ στρατόπεδον μάχην ἐκπεφυγέναι· ὥστε ἀποκείσεταί σοι παρ᾽ αὐτῷ ἡ χάρις, καὶ ἅμα ἐλεῆσαι κόρην ἀθλίαν ἐκ τοσούτου κακοῦ. Ταῦτα λέγων πείθω, καὶ συνέπραξεν ἡ τύχη. ἐγὼ μὲν οὖν περὶ τὴν τοῦ μηχανήματος ἤμην σκευήν. Ἄρτι δέ που Μενελάου μέλλοντος τοῖς λῃσταῖς περὶ τῆς θυσίας λέγειν, ὁ λῄσταρχος Φθάσας κατὰ δαίμονα· Νόμος ἡμῖν ἐστιν, ἔφη, τοὺς πρωτομύστας τῆς ἱερείας ἄρχεσθαι, μάλιστα ὅτ᾽ ἂν ἄνθρωπον κα-

XXII. Tum vero bonus hic vir: Magnum id, inquit, facinus eſt: ſed amici cauſa mortem ſubire oportet, & grata eiuſmodi mors. Atque ego rurſum, Clitophontem quidem, inquam, vivere adhuc exiſtimo: roganti enim mihi Leucippe illum inter captivos vinctum reliquiſſe affirmavit. Duci praeterea ſuo a latronibus fuga elapſis renuntiatum eſt, captivos omnes, dum pugnaretur, ad hoſtes tranſiviſſe. Magnam itaque ab eo gratiam inibis, ac miſeram hanc puellam tot ex malis eripies. Hac oratione homini perſuaſi: nec fortunae deinceps favor defuit. Enimvero in iis, quae ad noſtrum hoc cogitatum perficiendum opus erant, comparandis occupabar. Menelaus autem cum iam latrones, ut de ſacrificio cum iis verba faceret, conveniſſet, eorum princeps, ita volente Deo, antevertit: Atque noſtris, inquit, legibus cavetur, ut, qui nuperrime ſunt initiati, ſacrificium auſpicentur, praeſer-

ταθύειν δέη. ὥρα τοίνυν εἰς αὔριόν σοι παρασκευάζεσθαι πρὸς τὴν θυσίαν· δεήσει δὲ καὶ τὸν σὸν οἰκέτην ἅμα σοι μυηθῆναι. Καὶ μάλα, οὗτος ἔφη, προθυμησόμεθα μηδενὸς ὑμῶν χείρους γενέσθαι. Στεῖλαι δὲ ὑμᾶς αὐτοὺς δεήσει τὴν κόρην, ὡς ἁρμοδίως πρὸς τὴν ἀνατομὴν ὑμῶν, ὁ λῄσταρχος ἔφη, τὸ ἱερεῖον. Στέλλομεν δὴ τὴν κόρην τὸν προειρημένον τρόπον καθ' ἑαυτοὺς, καὶ θαῤῥεῖν παρεκελευσάμεθα, διεξελθόντες ἕκαστα, καὶ ὡς μένειν εἴσω τῆς σοροῦ χρὴ, κἂν θᾶττον αὐτὴν ὁ ὕπνος ἀφῇ, τὴν ἡμέραν ἔνδον μένειν. εἰ δέ τις ἡμῶν ἐκποδὼν γένηται, σῶζε σεαυτὴν ἐπὶ τὸ στρατόπεδον. Ταῦτα εἰπόντες, ἐξάγομεν αὐτὴν ἐπὶ τὸν βωμόν· καὶ τὰ λοιπὰ οἶδας.

κγ'. Ὡς οὖν ἤκουσα, παντοδαπὸς ἐγιγνόμην, καὶ διηπόρουν ὅ, τι ποιήσω πρὸς τὸν Μενέλαον ἀντάξιον.

tim cum hominem immolare oportet. Itaque divinam ad rem faciendam te in craſtinum comparato: ſervum vero etiam tuum inſtrui, tecum operari neceſſarium erit. Tum Menelaus: Enitemur, inquit, ut nos quoquam e vobis inferiores non eſſe intelligatis. Atqui muneris quoque, inquit ille, veſtri erit, puellam ita conſtituere, ut apte ſecari poſſit. Leucippen igitur ſoli ipſi, quemadmodum antea propoſitum fuerat, adornavimus, bonoque animo eſſe iubentes de omnibus praemonuimus, oportere ſcilicet ſe tumulum ingredi, atque in eo interdiu etiam, quamvis ſomno ſolveretur, permanere: in idque animum intendere, ut, ſi noſtrûm aliquis receſſiſſet, ad latronum hoſtes tranſitione facta ſe ipſam ſervaret. Quae cum dixiſſemus, puellam ad aram duximus. Reliqua tumet vidiſti.

XXIII. Hac oratione varias mihi animus in partes diſtrahebatur: neque, quid agerem, quo Menelao parem collatis in me beneficiis gratiam referrem, ſciebam. Ita-

τὸ δ᾽ οὖν κοινότατον, προσπεσὼν κατησπαζόμην, καὶ προσεκύνουν ὡς θεὸν, καί μου κατὰ τὴν ψυχὴν ἀθρόα κατεχεῖτο ἡδονή. Ὡς δὲ τὰ κατὰ Λευκίππην εἶχέ μοι καλῶς· Ὁ δὲ Κλεινίας, εἶπον, τί γέγονεν; Ὁ δὲ Μενέλαος· Οὐκ οἶδα, ἔφη. μετὰ γὰρ τὴν ναυαγίαν, εὐθὺς εἶδον μὲν αὐτὸν τῆς κεραίας λαβόμενον· ὅποι δὲ κεχώρηκεν, οὐκ οἶδα. Ἀνεκώκυσα οὖν ἐν μέσῃ τῇ χαρᾷ· ταχὺ γάρ ἐφθόνησέ μοι δαίμων τις τῆς καθαρᾶς ἡδονῆς· τὸν δι᾽ ἐμὲ φαινόμενον οὐδαμοῦ, τὸν μετὰ Λευκίππην ἐμὸν δεσπότην, τοῦτον ἐκ πάντων κατέσχεν ἡ θάλασσα, ἵνα μὴ τὴν ψυχὴν μόνον ἀπολέσῃ, ἀλλὰ καὶ τὴν ταφήν. ὦ θάλαττα ἀγνώμων, ἐφθόνησας ἡμῖν ὁλοκλήρου τοῦ τῆς φιλανθρωπίας σου δράματος. Ἄπιμεν οὖν εἰς τὸ στρατόπεδον κοινῇ, καὶ τῆς σκηνῆς εἴσω παρελθόντες τῆς ἐμῆς, τὸ λοιπὸν τῆς νυκτὸς

que, quod vulgo fieri ſolet, ad illius pedes proſtratus, hominem amplectebar, & veluti numen quoddam adorabam, cum inexhauſta interim voluptas animum meum perfudiſſet. Poſteaquam rem, quod Leucippen attinebat, in tuto eſſe vidi, quid de Clinia factum eſſet, rogavi. Melaus autem: fracta illum navi antennae adhaerentem vidiſſe; verum quo deinceps delatus fuiſſet, ignorare omnino ſe, reſpondit. Quamobrem in ipſo laetitiae medio non potui non contriſtari, (forte autem ſolidum hoc mihi gaudium evenire Deus aliquis noluit) mea cauſa eveniſſe, ut quem ſecundum Leucippen maxime omnium obſervabam, is nullibi reperiretur, ſed ſolus ex omnibus maris ſaevitiam expertus fuiſſet, quo non modo anima, verum etiam ſepulcro careret. O infidum mare! tu integrum nobis benignitatis tuae fructum invidiſti. Ceterum inde digreſſi ad exercitum una profecti ſumus, meoque in tentorio noctis

διετρίψαμεν, καὶ τὸ πρᾶγμα οὐκ ἔλαθε τοὺς πολλούς.

κδ΄. Ἅμα δὲ τῇ ἕῳ, ἄγω τὸν Μενέλαον τῷ στρατηγῷ, καὶ πάντα λέγω. ὁ δὲ συνήδετο, καὶ τὸν Μενέλαον ποιεῖται φίλον. πυνθάνεται δὲ, πόση δύναμίς ἐστι τοῖς ἐναντίοις. ὁ δὲ ἔλεγεν, πᾶσαν ἐμπεπλῆσθαι τὴν ἑξῆς κώμην ἀνδρῶν ἀπονενοημένων, καὶ πολὺ συνηθροῖσθαι λῃστήριον, ὡς εἶναι μυρίους. Λέγει οὖν ὁ στρατηγός· Ἀλλ' ἡμῖν αὗται πέντε χιλιάδες ἱκαναὶ πρὸς εἴκοσι τῶν ἐκείνων. ἀφίξονται δὲ ὅσον οὐδέπω πρὸς τούτοις ἕτεροι δισχίλιοι τῶν ἀμφὶ τὸ Δέλτα καὶ τὴν ἡλίου πόλιν τεταγμένων ἐπὶ τοὺς βαρβάρους. Καὶ ἅμα λέγοντος αὐτοῦ, παῖς εἰστρέχει τις, λέγων, ἀπὸ τοῦ Δέλτα πρόδρομον ἥκειν τοῦ κεῖθεν στρατοπέδου, καὶ πέντε λέγειν ἄλλων ἡμερῶν διατρίβειν τοὺς δισχιλίους· τοὺς γὰρ βαρβάρους τοὺς κατατρέχοντας πε-

reliquum tranſegimus. Facti autem illius fama late diſſeminata eſt.

XXIV. Ubi dies illuxit, Menelaum ad Charmidem duxi, remque omnem expoſui. Qui ea delectatus, Menelaum in amicitiam recepit, ac de adverſariorum numero percontatus eſt. Menelaus, vicinum illum pagum improbis hominibus plenum eſſe, latroneſque perquam frequentes, ut iam decem millium numerum implerent, conveniſſe dixit. Tum Charmides: Atqui millia quinque haec noſtra, inquit, viginti eorum facile obſiſtere poterunt: quamquam non ita multo poſt alia duo aderunt ex iis, qui regionem, quam Delta vocant, ac Heliopolin, a barbarorum excurſionibus tuentur. Interea dum Charmides haec narraret, puer neſcio quis ingreſſus, nuntium exercitus a regione Delta adeſſe ſignificavit, referentem, ea militum millia duo quinque adhuc dies tardatura: Barbaros quidem certe incurſionibus modum feciſſe: verum cum

παῦσθαι· μελλούσης δὲ ἥκειν τῆς δυνάμεως, τὸν ὄρνιν αὐτοῖς ἐπιδημῆσαι τὸν ἱερὸν, φέροντα τοῦ πατρὸς τὴν ταφήν. ἀνάγκαι δ᾽ ἦσαν τοσούτων ἐπισχεῖν τὴν ἔξοδον ἡμερῶν.

κέ. Καί· Τίς ὁ ὄρνις οὗτος ὅς τις τοσαύτης, ἔφην, τιμῆς ἠξίωται; ποίαν δὲ καὶ κομίζει ταφήν; Φοῖνιξ μὲν ὁ ὄρνις ὄνομα· τὸ δὲ γένος Αἰθίοψ, μέγεθος κατὰ ταῶνα, τὴν χροιὰν ταὼς ἐν κάλλει δεύτερος. κεκέρασται μὲν τὰ πτερὰ χρυσῷ καὶ πορφύρᾳ· αὐχεῖ δὲ τὸν ἥλιον δεσπότην, καὶ ἡ κεφαλὴ μαρτυρεῖ. ἐστεφάνωσε γὰρ αὐτὴν κύκλος εὐφυής. ἡλίου δέ ἐστιν ὁ τοῦ κύκλου στέφανος εἰκών. κυάνεός ἐστιν, ῥόδοις ἐμφερὴς, εὐειδὴς τὴν θέαν· ἀκτῖσι κομᾷ· καί εἰσιν αὗται πτερῶν ἀνατολαί· μερίζονται δὲ αὐτοῦ, Αἰθίοπες μὲν τὴν ζωὴν, Αἰγύπτιοι δὲ τὴν τελευτήν. ἐπειδ᾽ ἂν γὰρ ἀποθάνῃ, (σὺν χρόνῳ δὲ τοῦτο πάσχει μακρῷ,) ὁ παῖς αὐτὸν ἐπὶ

iter cohortes facturae essent, sacrum volucrem patris sepulcrum ferentem iis appropinquasse: ac propterea tantum temporis profectionem differre coactas fuisse.

XXV. Tum ego: Quisnam hic, inquam, volucris est, cui honoris tantum tribuitur? aut quodnam sepulcrum gestat? Volucri nomen, inquiunt, Phoenix est. Atque apud Aethiopes nascitur, pavonis magnitudine, atque colore; sed pulchritudine pavo secundus. Pennas auro & purpura interpictas habet, solisque se avem esse gloriatur: id quod caput eius testatum facit. Nam ingeniosissime factam coronam sustinet, cuius orbis imaginem Solis refert. Colore caeruleo est, rosea facie, adspectu iucundo, radiis proiectis: pennae enim extensae radios imitantur. Ea vero conditione est, ut vivo Aethiopes, mortuo Aegyptii potiantur. Cum primum enim vitam cum morte commutavit, quae res non nisi longum post tem-

τὸν Νεῖλον φέρει, σχεδιάσας οὕτω καὶ τὴν ταφήν. σμύρνης γὰρ βῶλον τῆς εὐωδεστάτης, ὅσον ἱκανὸν πρὸς ὄρνιθος ταφὴν, ὀρύττει τε τῷ στόματι, καὶ κοιλαίνει κατὰ μέσον, καὶ τὸ ὄρυγμα θήκη γίνεται τῷ νεκρῷ. ἐνθεὶς δὲ καὶ ἐναρμόσας τὸν ὄρνιν τῇ σορῷ, φέρει καὶ εἰς τὸ χάσμα γηΐνῳ χώματι ἐπὶ τὸν Νεῖλον. οὕτως ἵπταται τὸ ἔργον φέρων. ἕπεται δὲ αὐτῷ χορὸς ἄλλων ὀρνίθων ὥσπερ δορυφόρων, καὶ ἔοικεν ὁ ὄρνις ἀποδημοῦντι βασιλεῖ, καὶ τὴν πόλιν οὐ πλανᾶται τὴν ἡλίου. ὄρνιθος αὕτη μετοικία νεκροῦ. ἕστηκεν οὖν ἐπὶ μετεώρου σκοποῦ, καὶ ἐκδέχεται τοὺς προπόλους τοῦ θεοῦ. ἔρχεται δή τις ἱερεὺς Αἰγύπτιος βιβλίον ἐξ ἀδύτων φέρων, καὶ δοκιμάζει τὸν ὄρνιν ἐκ τῆς γραφῆς. ὁ δὲ οἶδεν ἀπιστούμενος, καὶ τὰ ἀπόῤῥητα φαίνει τοῦ σώματος, καὶ τὸν νεκρὸν ἐπιδείκνυται, καὶ ἔστι ἐπιτάφιος

pus fit, eum filius ad Nilum flumen defert, ſepulcrumque illi huiuſmodi conſtruit. Odoratiſſimae enim myrrhae tantum ſumit, quantum ad cadaver includendum ſufficere poſſit, roſtroque excavat, & medium infodit: atque id volucri ſepulcrum eſt. Collocato enim apte in eo cavo, ac terra operto cadavere, Nilum verſus volans avis opus totum ſecum defert, innumeris aliis avibus, tanquam corporis cuſtodibus, comitatus, ut peregre abeuntem regem imitetur: nec a Solis urbe, quae mortui volucris ſedes eſt, uſquam declinat; ſed eo delatus in ſublimi, quo cerni poſſit, ſubſiſtit, Deique adminiſtros exſpectat. Nec multo poſt Aegyptius ſacerdos e ſacrario cum libro prodit, volucrem deſcriptionis comparatione diiudicaturus. Quocirca fidem ille ſibi minime haberi ſentiens, occultas paterni corporis partes revelat, cadaverque oculis ſubiicit, & laudatoris munere fungitur. Tum filii ſacerdotum

σοφιστής. ἱερέων δὲ παῖδες, ἡλίου τὸν ὄρνιν τὸν νεκρὸν παραλαβόντες θάπτουσιν. ζῶν μὲν οὖν Αἰθίοψ ἐστὶ τῇ τροφῇ, ἀποθανὼν δὲ Αἰγύπτιος γίνεται τῇ ταφῇ.

acceptam Solis defunctam ſepulturae tradunt. Ita fit, ut victus ratio, dum vivit, Aethiopem; ſepulturae, cum moritur, Aegyptium illum efficiat.

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

ΕΔΟΞΕΝ οὖν τῷ στρατηγῷ μαθόντι τήν τε τῶν ἐναντίων παρασκευὴν, καὶ τὴν τῶν συμμάχων ἀναβολὴν, εἰς τὴν κώμην ἀναστρέψαι πάλιν ὅθεν περ ἐξωρμήσαμεν, ἔστ᾽ ἂν οἱ σύμμαχοι παραγένωνται. ἐμοὶ δέ τις οἶκος ἀπετέτακτο ἅμα τῇ Λευκίππῃ μικρὸν ἀνωτέρω τῆς τοῦ στρατηγοῦ καταγωγῆς. καὶ ὡς εἴσω παρῆλθον, περιπτυξάμενος αὐτὴν, οἷός τε ἤμην ἀνδρίζεσθαι. ὡς δ᾽ οὐκ ἐπέτρεπεν· Μέχρι πότε, εἶπον, χηρεύομεν τῶν τῆς Ἀφροδίτης ὀργίων; οὐχ ὁρᾷς, οἷα ἐκ παραλόγου γίνεται; ναυαγία, καὶ λῃσταὶ, καὶ θυσίαι, καὶ σφαγαί; ἀλλ᾽ ἕως ἐν γαλήνῃ τῆς τύχης ἐσμὲν, ἀποχρησώμεθα τῷ καιρῷ, πρὶν ἢ χαλεπώτερα ἡμᾶς ἐπισχεῖν. Ἡ δέ· Ἀλλ᾽ οὐ θέμις, ἔφη, τοῦτο ἤδη γενέσθαι. ἡ γάρ μοι θεὸς Ἄρτεμις ἐπιστᾶσα πρῴην κα-

LIBER QUARTUS.

POSTEAQUAM hostium apparatum, & auxiliorum moram Charmides cognovit, ad pagum, unde exieramus, revertendum, ibique tantisper, dum adessent auxilia, exspectandum constituit. Mihi vero atque Leucippae diversorium quoddam paulo altius, quam Charmidis, assignatum fuit: in quod simulatque introivi, ad complexum eius currens, virum me praestare aggressus sum. Sed cum illa non pateretur: Quousque tandem, inquam, Veneris sacris nosmet ipsos privabimus? an non vides, quam multa improviso nobis eveniant? Naufragium, & latrones, & victimae, & mactatus? ergo dum in tuto sumus, ne oblatam occasionem, priusquam gravius aliquid incidet, amittamus. Tum Leucippe: Atqui fieri hoc, inquit, nondum licet. Nam cum arae victimae loco destinata lugerem, vi-

τὰ τοὺς ὕπνους, ὅτε ἔκλαιον μέλλουσα σφαγήσεσθαι· Μὴ νῦν, ἔφη, κλαῖε· οὐ γάρ τε θνήξῃ· βοηθὸς γὰρ ἐγώ σοι παρέσομαι· μενεῖς δὲ παρθένος, ἔστ' ἄν σε νυμφοστολήσω. ἄξεται δέ σε ἄλλος οὐδεὶς ἢ Κλειτοφῶν. Ἐγὼ δὲ τὴν μὲν ἀναβολὴν ἠχθόμην, ταῖς δὲ τοῦ μέλλοντος ἐλπίσιν ἡδόμην. ὡς δ' ἤκουσα τὸ ὄναρ, ἀναμιμνήσκομαι προσόμοιον ἰδὼν ἐνύπνιον. ἐδόκουν γὰρ τῇ παρελθούσῃ νυκτὶ ναὸν ὁρᾶν Ἀφροδίτης, καὶ τὸ ἄγαλμα ἔνδον εἶναι τῆς θεοῦ. ὡς δὲ πλησίον ἐγενόμην προσευξόμενος, κλεισθῆναι τὰς θύρας. ἀθυμοῦντι δέ μοι γυναῖκα ἐκφανῆναι κατὰ τὸ ἄγαλμα τὴν μορφὴν ἔχουσαν. καί· Νῦν, εἶπεν, οὐκ ἔξεστί σοι παρελθεῖν εἴσω τοῦ νεῶ. ἢν δὲ ὀλίγον ἀναμείνῃς χρόνον, οὐκ ἀνοίξω σοι μόνον, ἀλλὰ καὶ ἱερέα σε ποιήσω τῆς θεοῦ. Καταλέγω δὴ τοῦτο τῇ Λευκίππῃ τὸ ἐνύπνιον,

ſa mihi per ſomnium Diana, Ne nunc, inquit, luge: non enim moriere: ipſa tibi opem feram: tu virginitatem tuam tamdiu ſerva, quoad ego te deducam: tu certe nonniſi Clitophonti nubes. Ego vero quamquam moram hanc aegre ferebam, futuri tamen ſpe laetabar, atque inſomnii mentione audita, ſimile quoque mihi viſum inſomnium fuiſſe recordatus ſum. Nocte enim, quae diem illum praeceſſerat, Veneris templum, ſtantemque intus effigiem videre mihi viſus fueram: cumque precandi gratia prope acceſſiſſem, ianuam claudi: atque hac de cauſa perturbato mihi mulierem ſtatuae forma non abſimilem apparuiſſe, quae diceret: Templum ingredi tibi nondum fas eſt: verum, ſi aliquamdiu exſpectaveris, non ſolum fores tibi patebunt, ſed etiam Deae ſacerdotem te conſtituam. Illud itaque Leucippae commemoravi, neque amplius ei vim

καὶ οὐκ ἔτι ἐπεχείρουν βιάζεσθαι. ἀναλογιζόμενος δὲ τὸν τῆς Λευκίππης ὄνειρον, οὐ μετρίως ἐταραττόμην.

β'. Ἐν τούτῳ δὴ Χαρμίδης, τοῦτο γὰρ ἦν ὄνομα τῷ στρατηγῷ, ἐπιβάλλει τῇ Λευκίππῃ τὸν ὀφθαλμὸν, ἀπὸ τοιαύτης τῆς ἀφορμῆς αὐτὴν ἰδών. ἔτυχον ποτάμιον θηρίον ἄνδρες τεθηρακότες θέας ἄξιον. ἵππον δὲ αὐτὸν [1] τοῦ Νείλου ἐκάλουν οἱ Αἰγύπτιοι. καὶ ἔστι μὲν ἵππος, ὡς ὁ λόγος βούλεται, τὴν γαστέρα καὶ τοὺς πόδας, πλὴν ὅσον ἐν χηλῇ σχίζει τὴν ὁπλήν. μέγεθος δὲ κατὰ βοῦν τὸν μέγιστον, οὐρὰ βραχεῖα, καὶ ψιλὴ τριχῶν, ὅτι καὶ τὸ πᾶν τοῦ σώματος οὕτως ἔχει, κεφαλὴ περιφερὴς οὐ σμικρά. ἐγγὺς ἵππου παρειαὶ, μυκτὴρ ἐπὶ μέγα κεχηνὼς, καὶ πνέων πυρώδη καπνὸν, ὡς ἀπὸ πηγῆς πυρός. γένυς εὐρεῖα, ὅση καὶ

afferre conatus ſum. Verumtamen illius inſomnium animo mecum reputans non mediocriter perturbabar.

II. Interea Charmides puellae oculos adiecit, cum eius videndae occaſio quaedam huiuſmodi homini oblata eſſet. Forte fortuna viri aliquot fluviatilem belluam ſpectatu ſane non indignam comprehenderant: quam Nili equum Aegyptii appellant. Reveraque & ventre, & pedibus, ſicuti fama fert, equus eſt, niſi quod ſciſſas ungulas habet. Corporis magnitudine maximum quemque bovem aequiparat. Cauda ei brevis eſt, & pilorum aſperitate, quemadmodum corpus etiam reliquum, carens. Caput rotundum, non parvum: maxillae fere equinae, nares perquam patulae, ac ignitum fumum, tanquam ignis ſcaturigines quaedam, ſpirantes: mentum latum, quemadmodum etiam

1 Ἵππον δὲ αὐτὸν) Deſcribunt hanc belluam Ariſtoteles Hiſt. Animal. L. II, c. 12. Plinius Hiſt. Nat. L. VIII, c. 25; ex eoque Solinus c. 32. Fuſius eam perſequitur Bochartus Hieroz. P. II, L. IV, c. 15.

παρειά, μέχρι τῶν κροτάφων ἀνοίγει τὸ στόμα. ἔχει δὲ καὶ κυνόδοντας καμπύλους, κατὰ μὲν τὴν ἰδέαν καὶ τὴν θέσιν ὡς ἵππος, τὸ δὲ μέγεθος εἰς τριπλάσιον.

γʹ. Καλεῖ δὴ πρὸς τὴν θέαν ἡμᾶς ὁ στρατηγός· καὶ ἡ Λευκίππη συμπαρῆν. ἡμεῖς μὲν οὖν ἐπὶ τὸ θηρίον τοὺς ὀφθαλμοὺς εἴχομεν· ἐπὶ Λευκίππην δὲ ὁ στρατηγὸς, καὶ εὐθὺς ἑαλώκει. βουλόμενος οὖν ἡμᾶς παραμένειν ἐπιπλεῖστον, ἵν᾽ ἔχῃ τοῖς ὀφθαλμοῖς αὐτοῦ χαρίζεσθαι, περιπλοκὰς ἐζήτει λόγων· πρῶτον μὲν τὴν φύσιν τοῦ θηρίου καταλέγων, εἶτα καὶ τὸν τρόπον τῆς ἄγρας, ὡς ἔστι μὲν ἀδδηφαγώτατον, καὶ ποιεῖται τροφὴν ὅλον λήϊον [1]. ἀπάτῃ δὲ ταύτῃ πάσχει τὴν ἄγραν. ἐπιτηρήσαντες γὰρ αὐτοῦ τὰς διατριβὰς, ὄρυγμα ποιη-

maxillae: oris hiatus ad tempora uſque protenſus: dentes, qui canini vocitantur, curvi, forma & ſitu equinis ſimiles: verum triplo maiores.

III. Ad eam belluam ſpectandam nos Charmides invitavit: adfuitque una nobiſcum ipſa etiam Leucippe. Nos igitur ad belluam oculos coniiciebamus: ille autem dux ad Leucippen, qui & repente eius amore captus eſt; eoque diutius nos illic, quo gratum oculis ſuis faceret, permanere cupiens, alios ex aliis ſermones quaerebat: ac belluae primum naturam, deinde capiendi modum referens, voraciſſimum animal eſſe aiebat, ita ut ſegete plenum campum totum abſumat: nec niſi dolo capi. Obſervatis enim locis, in quibus degat, venatores foſſam excavare,

1 Ὅλον λήϊον) Sic Aelianus Hiſt. Anim. L. V, c. 53, de eo: Οἱ ἵπποι οἱ ποτάμιοι τοῦ Νείλου μέν εἰσι τρόφιμοι, ὅταν δὲ τὰ λήϊα ἐνακμάζῃ, καὶ ὦσιν οἱ στάχυες ξανθοὶ, οὐκ ἄρχονται παραχρῆμα κείρειν αὐτοὺς καὶ ἐσθίειν, ἀλλὰ παραμείβοντες ἔξωθεν τὸ λήϊον στοχάζονται, πόσον αὐτοὺς ἐμπλήσειε μέτρον· εἶτα λογισάμενοι τὸ ἀποχρῆσον σφίσιν ἐμπίπτουσι, καὶ ἀναχωροῦσιν ἐπὶ πόδα ἐμπιπλάμενοι, τὸ ῥεῦμα τοῦ ποταμοῦ κατὰ νώτου λαβόντες. Et Plinius VIII, 25: *Depaſcitur ſegetes, deſtinatione ante, ut ferunt, determinantibus in diem.*

σάμενοι, ἐπικαλύπτουσιν ἄνωθεν καλάμῃ καὶ χώμασιν· ὑπὸ δὲ τὴν τῶν καλάμων μηχανὴν ἑστάναι κάτω ξύλινον οἴκημα, τὰς θύρας ἀνεῳγμένον εἰς τὸν ὄροφον τοῦ βόθρου, καὶ τὴν πτῶσιν τοῦ θηρὸς λοχᾷν· τὸν μὲν γὰρ ἐπιβάντα φέρεσθαι εὐθὺς, καὶ τὸ οἴκημα φωλεοῦ δίκην ὑποδέχεσθαι, καὶ τοὺς κυνηγέτας ἐκθορόντας εὐθὺς ἐπικλείειν τοῦ πώματος τὰς θύρας, καὶ ἔχειν οὕτω τὴν ἄγραν, ἐπεὶ, πρός γε τὸ καρτερὸν, οὐδεὶς ἂν αὐτοῦ κρατήσειεν βίᾳ· τὰ γὰρ ἄλλα ἐστὶν ἀλκιμώτατος, καὶ τὸ δέρμα, ὡς ὁρᾶτε, φέρει τραχὺ, καὶ οὐκ ἐθέλει πείθεσθαι σιδήρου τραύματι, ἀλλ' ἔστιν, ὡς εἰπεῖν, ἐλέφας Αἰγύπτιος· καὶ γὰρ ἐπιδεύτερα φέρεται, εἰς ἀλκὴν ἐλέφαντος Ἰνδοῦ.

δ'. Καὶ ὁ Μενέλαος, Ἦ γὰρ ἐλέφαντα, ἔφη, τεθέασαι ἤδη ποτέ; Καί· Μάλα, ὁ Χαρμίδης εἶπεν. καὶ ἀκήκοα παρὰ τῶν ἀκριβῶς εἰδότων τῆς γενέσεως

arundinibusque ac terra cooperire, subiecta tamen arca lignea, cuius fores in superiore parte ad fossae altitudinem adapertae sint: deinde occulto aliquo in loco, donec bellua decidit, exspectare: porro eam superascendentem deorsum statim ferri, atque ab arca, tanquam a cubili, excipi: tum venatores celeriter accurrere, ac fores claudere, illoque modo bellua potiri, quoniam tanti alioqui roboris sit, ut vi a quoquam capi nequeat. Esse enim cum reliquis omnibus sui partibus robustissimam, tum cute adeo dura, ut ferro etiam cedere nolit, meritoque elephantem Aegyptium dici posse: secundum enim roboris locum ab elephanto Indo obtinere.

IV. Tum Menelaus: An vero etiam elephantem, inquit, vidisti? Maxime, inquit Charmides: & ex iis etiam, qui procreationis eius incredibilem quasi naturam diligen-

αὐτοῦ τὴν φύσιν ὡς παράδοξον. Ἀλλ' ἡμεῖς γε οὐκ εἴδομεν εἰς ταύτην, ἔφην ἐγὼ, τὴν ἡμέραν, ὅ, τι μὴ γραφῇ. Λέγοιμ' ἂν ὑμῖν, εἶπεν. καὶ γὰρ ἄγομεν σχολήν. Κύει μὲν αὐτὸν ἡ μήτηρ· χρονιώτατον δέ· καὶ γὰρ δέκα [1] ἐνιαυτοῖς πλάττει τὴν σποράν. μετὰ δὲ τοσαύτην ἐτῶν περίοδον τίκτεται, ὅτ' ἂν ὁ τόκος γέρων γένηται. διὰ τοῦτο οἶμαι γίνεται μέγας τὴν μορφὴν, ἄμαχος τὴν ἀλκὴν, πολὺς τὴν βιοτὴν, βραδὺς τὴν τελευτήν. βίον γὰρ αὐτῷ λέγουσιν ὑπὲρ τὴν Ἡσιόδου κορώνην [2]. τοιαύτη ἐστὶν ἐλεφάντων ἡ γένυς, οἵα τῶν

ter perveſtigaverunt, audivi. At nobis, inquam ego, non niſi pictum ſpectare hactenus licuit. Tum Charmides: Ego vos, inquit, rei huius neſcios eſſe amplius non patiar. Atque ut ſciatis, longaevum illum, ac maxime ſenem mater parit: annos enim decem in utero ſemen informandum continet. Deinde exacto annorum huiuſmodi curriculo, in lucem edit, foetu iam ſeneſcente. Hac de cauſa & corpore immenſo, & robore inſuperabili, & vita longiſſima, quippe ſupra Heſiodeae cornicis annos vivere traditur, gigni arbitror. Elephantorum talis eſt maxilla, qua-

1 Δέκα) Haec Charmides cum vulgo. Plinius H. N. L. VIII, c. 10: *Decem annis geſtare in utero vulgus exiſtimat.* Idem Plautus Stich. Act. I, Sc. 3:

Audivi ſaepe hoc vulgo *dicier,*
Solere elephantum gravidam perpetuos decem
Eſſe annos.

Ariſtoteles autem Hiſt. Anim. V, c. 13, haud amplius biennio geſtari in utero ſtatuit.

2 Κορώνην) Fruſtra in iis, quae de Heſiodo ſuperſunt, locum quaeris, ad quem ſpectet auctor. Exſtat vero in Plutarcho περὶ τῶν ἐκλελειπότων χρηστηρίων, ubi excitat Heſiodum ſub Naidis perſona aetates animalium varias enumerantem:

Ἐννέατοι ζώει γενεὰς λακέρυζα κορώνη
Ἀνδρῶν ἡβώντων.

Hinc ἐννεάγηρα κορώνη quoque apud Aratum, & tritum illud proverbium, *Cornicibus vivacior*, ad quod reſpicit Horatius L. IV, c. 13:

Servatura diu parem
Cornicis vetulae temporibus Lycen.

βοῶν ἐστιν ἡ κεφαλή. σὺ μὲν γὰρ ἂν ἰδὼν, εἴποις κέρας ἔχειν αὐτῷ διπλοῦν τὸ στόμα. ἔστι δὲ τοῦτο ἐλέφαντος καμπύλος ὀδούς. μεταξὺ δὲ τούτων τῶν ὀδόντων ἀνθίσταται αὐτῷ προβοσκὶς, κατὰ σάλπιγγα μὲν καὶ τὴν ὄψιν καὶ τὸ μέγεθος, εὐπειθὴς δὲ πρὸς τὸν ἐλέφαντα. προνομεύει γὰρ αὐτῷ τὰς τροφὰς, καὶ πᾶν ἁτιοῦν ἐμποδὼν εὑρήσει σιτίον. ἐὰν μὲν ᾖ ὄψον ἐλέφαντος, ἔλαβέν τε εὐθὺς καὶ ἐπιπτυχθεῖσα κάτω πρὸς τὴν γένυν τῷ στόματι τὴν τροφὴν διακονεῖ· ἂν δέ τι τῶν ἁδροτέρων ἴδῃ, τούτῳ περιβάλλει κύκλῳ τὴν ἄγραν περισφίγξας, καὶ τὸ πᾶν ἀνεκούφισε, καὶ ὤρεξεν ἄνω δῶρον δεσπότῃ· ἐπικάθηται γὰρ αὐτῷ τις ἀνὴρ Αἰθίοψ καινὸς ἐλέφαντι ἱππεὺς ὤν· καὶ κολακεύει, καὶ φοβεῖται, καὶ τῆς φωνῆς αἴσθεται, καὶ μαστίζοντος ἀνέχεται· ἡ δὲ μάστιξ αὐτῷ πέλεκυς σιδηροῦς. εἶδον δέ ποτε καὶ θέαμα καινόν. ἀνὴρ Ἕλλην ἀνέθηκε τὴν κεφαλὴν κατὰ μέσην τοῦ θηρίου τὴν κε-

le tauri caput. Ac ſi tu illius os videres, cornua duo habere iudicares: verum non cornua, ſed dentes repandi ſunt, e quorum medio ſurgit proboſcis, quam manum vocant, forma & magnitudine tubae ſimilis, & iis, quae ſibi uſui ſunt, percommoda. Ea enim & cibum, & quidquid eſui aptum obiicitur, corripit. Ac ſi ex iis fuerit, quibus in cibum animal id uti conſuevit, ſumit ſtatim, ſeque mentum verſus inflectens, ori offert: ſin minus, contorta in circulum manu ſuſtollit, heroque porrigit: inſidet enim illi Aethiops vir, qui novus illius eques eſt. Blanditur vero etiam, & formidat, & loquentem intelligit, & verberari patitur, ferrea videlicet clava, quae flagelli loco adhibetur. Atqui mirabile quiddam etiam videre me aliquando memini, Graecum ſcilicet neſcio quem caput ſuum in belluae caput olim inferre, belluamque aperti

φαλήν. ὁ δὲ ἐλέφας ἐκεχήνει, καὶ περιήσθμαινε τὸν ἄνθρωπον ἐγκείμενον· ἀμφότερα οὖν ἐθαύμαζον, καὶ τὸν ἄνθρωπον τῆς εὐτολμίας, καὶ τὸν ἐλέφαντα τῆς φιλανθρωπίας. ὁ δὲ ἄνθρωπος ἔλεγεν, ὅτι καὶ μισθὸν εἴη δεδωκὼς τῷ θηρίῳ. προσπνεῖν γὰρ αὐτῷ καὶ μόνον οὐκ ἀρωμάτων Ἰνδικῶν. εἶναι δὲ κεφαλῆς νοσούσης φάρμακον. οἶδεν οὖν τὴν θεραπείαν ὁ ἐλέφας, καὶ προῖκα οὐκ ἀνοίγει στόμα, ἀλλ' ἔστιν ἰατρὸς ἀλαζὼν, καὶ τὸν μισθὸν πρῶτος αἰτεῖ. κἂν δῷς, πείθεται, καὶ παρέχει τὴν χάριν, καὶ ἁπλοῖ τὴν γένυν, καὶ τοσοῦτον ἐκδέχεται κεχηνὼς, ὅσον ὁ ἄνθρωπος βούλεται. οἶδε γὰρ ὅτι πέπρακε τὴν ὀσμήν.

ε'. Καί· Πόθεν, ἔφην, οὕτως ἀμόρφῳ θηρίῳ τοσαύτη τις εὐωδίας ἡδονή; Ὅτι, ἔφη Χαρμίδης, τοιαύτην ποιεῖται καὶ τὴν τροφήν. Ἰνδῶν γὰρ ἡ γῆ γείτων ἡλίου. πρῶτοι γὰρ ἀνατέλλοντα τὸν θεὸν ὁρῶσιν Ἰνδοὶ, καὶ αὐτοῖς θερμότερον τὸ φῶς ἐπικάθηται, καὶ τηρεῖ τὸ

oris anhelitu iacentem hominem permulcere. In quo ſane & hominis audaciam, & elephanti benignitatem admirabar. Mercedem vero belluae a ſe perſolutam, & aromatum paene Indicorum ab ea odorem afflatum fuiſſe, Graecus ille aiebat, qui capitis dolorem removerit, elephantemque id minime ignorare: ideoque gratis os non aperire: ſed ſuperbi medici more praemium inprimis poſcere: quo accepto, parere, ac gratiam referre, os pandere, & eo aperto, quamdiu quidem homo velit, exſpectare, intelligentem ſcilicet, odorem ſe vendidiſſe.

V. Tum ego: Unde, inquam, tam deformi belluae tam ſuavis odor? Ex cibo, inquit, Charmides, quo ad eam rem maxime idoneo utitur. Indorum regio Soli vicina eſt: primique ipſi orientem illum adſpiciunt, calidioreſque illius radios experiuntur, ita ut etiam quaſi igne

σῶμα τοῦ πυρὸς τὴν βαφήν. γίνεται δὲ παρὰ τοῖς Ἕλλησι ἄνθος Αἰθίοπος χροιᾶς. ἔστιν δὲ παρ' Ἰνδοῖς οὐκ ἄνθος, ἀλλὰ πέταλον, οἷα παρ' ἡμῖν τὰ πέταλα τῶν φυτῶν. ὁ μὲν κλέπτων τὴν πνοὴν, καὶ τὴν ὀδμὴν, οὐκ ἐπιδείκνυται· ἢ γὰρ ἀλαζονεύεσθαι πρὸς τοὺς εἰδότας ὀκνεῖ τὴν ἡδονὴν, ἢ τοῖς πολίταις φθονεῖ. ἂν δὲ τῆς γῆς μικρὸν ἐξοικήσῃ καὶ ὑπερβῇ τοὺς ὅρους, ἀνοίγει τῆς κλοπῆς τὴν ἡδονὴν, καὶ ἄνθος ἀντὶ φύλλου γίνεται, καὶ τὴν ὀδμὴν ἐνδύεται. μέλαν τοῦτο ῥόδον Ἰνδῶν. ἔστι δὲ τοῖς ἐλέφασι σιτίον, ὡς τοῖς βουσὶ παρ' ἡμῖν ἡ πόα. ἅτε οὖν ἐκ πρώτης γονῆς αὐτῷ τραφεὶς, ὄδωδέν τε παῖς κατὰ τὴν τροφὴν, καὶ τὸ πνεῦμα πέμπει κάτωθεν εὐωδέστατον, ὃ τῆς πνοῆς αὐτῷ γέγονε πηγή.

στ'. Ἐπεὶ οὖν ἐκ τῶν λόγων ἀπηλλάγημεν τοῦ στρατηγοῦ, μικρὸν διαλιπὼν, ὅτι οὐ δύναταί τις τρω-

colorati ſint. In Graecia flos oritur Aethiopum colorem referens: qui apud Indos non flos, ſed frons eſt, cuiuſmodi eae ſunt, quae in arboribus noſtris cernuntur. Atque illic quidem efflatum, odoremque celans, nullo in pretio eſt, ſive quia inter notos gloriari minus habeat voluptatis, ſive quia civibus ſuis invideat: ſin vero e patria terra paulum modo excedat, fineſque tranſcendat, latentem ſuavitatem in apertum profert: ac e fronde in florem mutatus odore cumulatur. Indorum hic flos eſt, quem nigram roſam vocant. Hac elephantes veſcuntur, quemadmodum gramine apud nos boves. Igitur a primo fere ortu pabulo eiuſmodi enutrita bellua cibo ſimilem odorem reddit, halitumque odoratiſſimum ab imo, ubi ei ſpiritus fons eſt, efflat.

VI. Poſteaquam loquendi finem Charmides fecit, non multum temporis abire paſſus, (qui enim amore ſaucius

θεὶς ἀνέχεσθαι, θλιβόμενος τῷ πυρὶ, τὸν Μενέλαον μεταπέμπεται, καὶ τῆς χειρὸς λαβόμενος λέγει· Ἀγαθὸν εἰς Φιλίαν οἶδά σε, δι' ὧν ἔπραξας εἰς ΚλειτοΦῶντα· κἀμὲ δὲ εὑρήσεις οὐ χείρονα. δέομαι δὲ παρά σου χάριτος, σοὶ μὲν ῥαδίας, ἐμοὶ δὲ ἀνασώσεις τὴν ψυχὴν, ἂν θέλῃς. Λευκίππη με ἀπολώλεκεν· σῶσον δέ συ. ὀΦείλεταί σοι παρ' αὐτῆς ζωάγρια, μισθὸς δέ σοι μὲν χρυσοῖ μὲν πεντήκοντα τῆς διακονίας, αὐτῇ δὲ, ὅσους ἂν θέλῃ. Λέγει οὖν ὁ Μενέλαος· Τοὺς μὲν χρυσοῦς ἔχε καὶ Φύλαττε τοῖς τὰς χάριτας πιπράσκουσιν· ἐγὼ δὲ Φίλος ὢν, πειράσομαι γενέσθαι σοι χρήσιμος. Ταῦτα εἰπὼν, ἔρχεται πρός με, καὶ πάντα καταγορεύρει. ἐβουλευόμεθα οὖν τί δεῖ πράττειν. ἔδοξεν δὲ αὐτὸν ἀπατῆσαι. τότε γὰρ ἀντι-

eſt, cum illius aeſtu iactatur, dolori ferendo par eſſe nequit,) Menelaum ad ſe vocatum manu prehendit, atque, Ex iis, inquit, quae Clitophontis cauſa feciſti, verum te amicum eſſe intellexi: quare me quoque non deteriorem invenies. Gratiam a te mihi tribui pervelim, tibi ſane factu quam facillimam; mihi vero eiuſmodi, ut ſi velis, animae incolumitatem reddas. Leucippe me perdidit: tu me ſervato. Illa tibi, quae pro reddita vita debet, nondum perſolvit: verum ego pro tuo hoc in me collato beneficio nummos aureos quinquaginta dono dabo. Leucippe ipſa, quot voluerit, accipiet. Tum vero Menelaus: Pecuniam, inquit, tuam tibi habe, atque illis, quibus venalia beneficia ſunt, ſerva. Ego, cum in amicitiam me receperis, operam dabo, ut ne me fruſtra recepiſſe te intelligas. Quae cum dixiſſet, me convenit, remque omnem expoſuit. Quapropter, quid nos agere oporteret, cogitare coepimus: in eamque tandem ſententiam venimus, ut hominem falleremus. Negare enim tunc non poteramus,

λέγειν οὐκ ἀκίνδυνον ἦν, μὴ καὶ βίαν προσαγάγῃ. τὸ δὲ φεύγειν ἀδύνατον, πάντῃ μὲν λῃστῶν περικεχυμένων, τοσούτων δὲ στρατιωτῶν τῶν ἀμφ' αὐτὸν ὄντων.

ζ'. Μικρὸν οὖν διαλιπὼν ὁ Μενέλαος, ἀπελθὼν πρὸς τὸν Χαρμίδην· Κατείργασται τὸ ἔργον, ἔφη· καίτοι τὸ πρῶτον ἠρνεῖτο ἰσχυρῶς ἡ γυνή· δεομένου δέ μου, καὶ ὑπομιμνήσκοντος τῆς εὐεργεσίας, ἐπένευσε. ἀξιοῖ δὲ δικαίαν δέησιν, ὀλίγην αὐτῇ χαρίσασθαι προθεσμίαν ἡμερῶν, ἔστ' ἂν εἰς τὴν Ἀλεξάνδρειαν ἀφίκωμαι. κώμη γὰρ αὕτη, καὶ ἐν ὄψει τὰ γινόμενα, καὶ πολλοὶ μάρτυρες. Εἰς μακρὰν, ὁ Χαρμίδης εἶπεν, δίδως τὴν χάριν. ἐν πολέμῳ δὲ τίς ἐπιθυμίαν ἀναβάλλεται; στρατιώτης δὲ ἐν χερσὶν ἔχων μάχην [1], πῶς οἶδεν εἰ ζήσεται; τοσαῦται τῶν θανάτων εἰσὶν ὁδοί· [2]

cum periculum eſſet, ne vim intentaret. Sed neque fugam arripere, cum a latronibus loca omnia obſeſſa eſſent, & ipſe tot circum ſe milites haberet, ullo pacto licebat.

VII. Igitur paulo poſt reverſus ad Charmiden Menelaus, rem confeciſſe ſe, inquit: ac puellam primo quidem perquam obſtinate renuiſſe: verumtamen cum ipſe preces adhibuiſſet, ac beneficii memoriam renovaſſet, tandem annuiſſe. Unum tantum, atque id non iniuſtum, rogaviſſe, nempe ut dies pauci concederentur, donec Alexandriam perveniretur: locum enim, in quo tum degebant, villam eſſe, & in luce poſita omnia, multoſque teſtes habitura. Charmides vero: Serum, inquit, hoc mihi beneficium eſſe vis. In bello autem quis cupiditatem explere differat? Miles enim proelium iamiam initurus, quomodo victurum ſe certus eſſe poſſit, cum tot morti adi-

1 Ἐν χερσὶν ἔχων μάχην) Proverbialiter, ut Apollon. Rhod. I, 1113, & inde Virgil. Ge. II, 45.

2 Tibull. I, 3, 49:
Nunc Iove ſub domino caedes, nunc vulnera ſemper;
Nunc mare; nunc leti mille repente viae.

αἴτησαί μοι παρὰ τῆς τύχης τὴν ἀσφάλειαν, καὶ μενῶ. ἐπὶ πόλεμον νῦν ἐξελεύσομαι βουκόλων· ἔνδον μοι τῆς ψυχῆς ἄλλος πόλεμος κάθηται. στρατιώτης με πορθεῖ τόξον ἔχων, βέλος ἔχων. νενίκημαι, πεπλήρωμαι βελῶν· κάλεσον, ἄνθρωπε, ταχὺ τὸν ἰώμενον· ἐπείγει τὸ τραῦμα. ἅψω πῦρ ἐπὶ τοὺς πολεμίους· ἀλλὰ δᾷδας ὁ ἔρως ἀνῆψε κατ' ἐμοῦ. τοῦτο πρῶτον, Μενέλαε, σβέσον τὸ πῦρ. καλὸν τὸ οἰώνισμα πρὸ πολέμου συμβολῆς ἐρωτικὴ συμπλοκή. Ἀφροδίτη με πρὸς Ἄρεα ἀποστειλάτω. Καὶ ὁ Μενέλαος· Ἀλλ' ὁρᾷς, ἔφη, ὡς οὐκ ἔστι ῥᾴδιον λαθεῖν αὐτὴν ἐνθάδε τὸν ἄνδρα ὄντα καὶ ταῦτα ἐρῶντα. Καὶ ὁ Χαρμίδης· Ἀλλὰ τοῦτό γε ῥᾴδιον, ἔφη, τὸν Κλειτοφῶντα ἀποφορτίσασθαι. Ὁρῶν οὖν ὁ Μενέλαος τοῦ Χαρμίδου τὴν σπουδὴν, καὶ φοβηθεὶς περὶ ἐμοῦ, ταχύ τι σκέπτεται πι-

tus pateant? Tu mihi a fortuna incolumitatem impetra, & ego exſpectabo. Sane nunc ego pugnam cum paſtoribus commiſſurus ſum; aſt aliud meo in pectore bellum geritur. Arcu & ſagittis armatus me miles expugnat. Victus ipſe, ac omni ex parte vulneribus confoſſus ſum. Medicum itaque mihi, o bone, quamprimum arceſſe: vulnus enim celeriter creſcit. Cumque ignem ipſe in hoſtes immittere paratus ſim, Amorem faces in me iam conieciſſe ſentio. Tu flammam hanc, Menelaë, mihi prius exſtingue. Optimum fuerit auſpicium, amatorie inprimis congredi, quam manus cum hoſte conſerantur. Venus me ad Martem dimittat. Tum Menelaus: Tumet ipſe, inquit, vides, quam difficile illi ſit, praeſentem, praetereaque amantem, virum latere. Atqui facile, inquit Charmides, fuerit Clitophontem alio abduci. Verum Menelaus, Charmidem nimium properare videns, ac mihi etiam timens, celeriter quid, quod ad perſuadendum erat aptum, com-

θανὼν, καὶ λέγει· Βούλει τὴν ἀλήθειαν ἀκοῦσαι τῆς ἀναβολῆς; ἡ γὰρ αὐτὴ χθὲς ἀφῆκε τὰ ἔμμηνα, καὶ ἀνδρὶ συνελθεῖν οὐ θέμις. Οὐκοῦν ἀναμενοῦμεν, ὁ Χαρμίδης εἶπεν, ἐνταῦθα τρεῖς ἡμέρας ἢ τέτταρας. αὗται γὰρ ἱκαναί. ὃ δὲ ἔξεστιν, αἰτῶ παρ' αὐτῆς· εἰς ὀφθαλμοὺς ἡκέτω τοὺς ἐμοὺς, καὶ λόγων μεταδότω· ἀκοῦσαι θέλω φωνῆς, χειρὸς θίγειν, ψαῦσαι σώματος. αὗται γὰρ ἐρώντων παραμυθίαι. ἔξεστιν δὲ αὐτῇ καὶ φιλῆσαι· τοῦτο γὰρ οὐκ ἐκώλυεν ἡ γαστήρ.

η'. Ὡς οὖν ταῦτα ὁ Μενέλαος ἐλθὼν ἀπαγγέλλει μοι, πρὸς τοῦτο ἀνεβόησα· ὡς θᾶττον ἂν ἀποθάνοιμι, εἴπερ εἶδω Λευκίππης φίλημα ἀλλοτριούμενον. οὔ τι γὰρ, ἔφην, ἐστὶ τούτου γλυκύτερον. τὸ μὲν γὰρ ἔργον Ἀφροδίτης καὶ ὅρον ἔχει καὶ κόρον, καὶ οὐδέν ἐστιν, ἐὰν ἐξέλῃς αὐτοῦ τὰ φιλήματα· φίλημα δὲ

mentus: Visne, inquit, cunctationis veram causam audire? puella in menstruis heri esse coepit. Quamobrem a viro abstinendum est. Dies igitur, inquit Charmides, tres, quatuorve hic exspectabimus: tantum enim temporis ei rei satis erit. Interea vero, quod sane ab ea fieri potest, videndam se mihi praebeat, verbaque mecum faciat. Vocem ego illius audire, manum tangere, corpus contrectare aveo: animi enim amore saucii allevamenta haec sunt. Quid vero? suavium dare an non licet? cum rei huic impedimento esse menses nequeant.

VIII. Haec cum reversus Menelaus mihi renuntiasset, ad extrema illius verba non potui quin exclamarem, mori me malle, quam pati, ut Leucippes osculo quispiam fruatur: Quo quid, inquam, suavius est? Veneris procul dubio congressus & modum & satietatem habet, nec prorsus quidquam est, si basia eximas. Basium vero nullo fine

καὶ ἀόριστόν ἐστιν, καὶ ἀκόρεστον, καὶ καινὸν ἀεί. τρία γὰρ τὰ κάλλιστα ἀπὸ τοῦ στόματος ἄνεισιν, ἀναπνοὴ, καὶ φωνὴ, καὶ φίλημα. τοῖς μὲν γὰρ χείλεσιν ἀλλήλους φιλοῦμεν· ἀπὸ δὲ τῆς ψυχῆς ἡ τῆς ἡδονῆς ἐστι πηγή. πίστευσόν μοι λέγοντι, Μενέλαε, (ἐν γὰρ τοῖς κακοῖς ἐξορχήσομαι τὰ μυστήρια) ταῦτα μόνα παρὰ Λευκίππης ἔχω κἀγώ· ἔτι μένει παρθένος· μέχρι μόνων τῶν φιλημάτων ἐστί μου γυνή. ἢν δέ τις ἁρπάσῃ μου καὶ ταῦτα, οὐ φέρω τὴν φθορὰν, οὐ μοιχεύεταί μου τὰ φιλήματα [1]. Οὐκοῦν, ἔφη ὁ Μενέλαος, βουλῆς ἡμῖν ἀρίστης δεῖ καὶ ταχίστης· ἐρῶν γάρ τις, εἰς ὅσον μὲν ἔχει τὴν ἐλπίδα τοῦ τυχεῖν, φέρει, εἰς αὐτὸ τὸ τυχεῖν ἀποτεινόμενος· ἐὰν δὲ

terminatur, nulla satietate afficit; sed semper recens est. Tria profecto sunt, quae ab ore praestantissima proficiscuntur, halitus, vox, suavium. Labra utique sunt, quae sese in osculis dandis mutuo contingunt: sed voluptas e fonte, qui in animo situs est, manat. Crede mihi, Menelaë, (non enim in malis occulta revelare me pudet,) ego nihil dum a Leucippe, basiis exceptis, consecutus sum. Illa virgo adhuc est, nec nisi osculando mulier facta est. Quae si quis mihi basia etiam eripere conetur, utique notam hanc inuri mihi non feram. Me vivo basia mihi mea nemo constuprabit. Optimo ergo, inquit Menelaus, celerrimoque consilio erit opus. Amans enim, quamdiu quidem adipiscendi spes adest, aequo animo fert, conceptam adeptionem animo inclusam continens. At si re-

1 Οὐ *μοιχεύεταί μου τὰ φ.*) Interpres legisse videtur: Ζῶντος *ἐμοῦ οὐ μοιχεύεταί τις μου τὰ φιλήματα. Τὰ φιλήματα μου, oscula mea*, h. e. mihi debita. Plane ut Tibull. I, 9, 77:

Blanditiasne meas *aliis tu vendere es ausus?*
Tune aliis demens oscula *ferre* mea.

ἀπογνῷ, τὸ ἐπιθυμοῦν μεταβαλὼν ἀντιλυπῆσαι μέχρι τοῦ δυνατοῦ τολμᾷ τὸ κωλύον. ἔστω δὲ καὶ ἰσχὺς, ὥστε τὶ δρᾶσαι μετὰ τοῦ μὴ παθεῖν. τοῦτο δὲ τῆς ψυχῆς τὸ μὴ φοβούμενον, ἀγριαίνει μᾶλλον τὸ θυμούμενον. καὶ γὰρ ὁ καιρὸς ἐπείγει τῶν πραγμάτων τὸ ἄπορον.

θ΄. Σκοπούντων οὖν ἡμῶν εἰστρέχει τις τεθορυβημένος, καὶ λέγει, τὴν Λευκίππην ἄφνω βαδίζουσαν καταπεσεῖν, καὶ τὼ ὀφθαλμὼ διαστρέφειν. ἀναπηδήσαντες οὖν, ἐθέομεν ἐπ' αὐτὴν, καὶ ὁρῶμεν ἐπὶ τῆς γῆς κειμένην. προσελθὼν οὖν, ἐπυνθανόμην ὅ, τι πάθοι. ἡ δὲ ὡς εἶδέν με, ἀναπηδήσασα παίει με κατὰ τῶν προσώπων, ὕφαιμον βλέπουσα. ὡς δὲ καὶ ὁ Μενέλαος οἷός τε ἦν ἀντιλαμβάνεσθαι, παίει κἀκεῖνον τῷ σκέλει. συνέντες οὖν ὅτι μανία εἴη τις ἐπὶ τὸ κακὸν,

pulſam fert, tum mutata cupiditate, cum moeſtitia quidquid impedimento eſt, vi amoliri conatur. Eſt vero etiam facultas, ut impune agere poſſit, ea pars animi, quae nihil timet, exacerbare ſolet magis magiſque iſtam, quae iam iraſcitur. Et occaſio ad incertas res propere capeſſendas impellit.

IX. Interea dum conſilium caperemus, intro ad nos conturbatus, neſcio quis, cucurrit, Leucippenque inter ambulandum repente concidiſſe, atque oculos diſtorſiſſe nuntiavit. Quamobrem conſurgentes eo raptim acceſſimus, humique iacentem comperimus. Cumque ipſe propior factus, quidnam ſibi eveniſſet, interrogaſſem, illa me viſo exſurgens, ſanguineamque aciem volvens, in faciem pugno plagam intulit: Menelaumque, quoad fieri poſſet, ad eam ſublevandam ſeſe comparantem, pedibus repulit. In adverſam igitur valetudinem incidiſſe, morboque inſaniam

βίᾳ συλλαβόντες, ἐπειρώμεθα κρατεῖν. ἡ δὲ προσεπάλαιεν ἡμῖν, οὐδὲν φροντίζουσα κρύπτειν ὅσα γυνὴ μὴ ὁρᾶσθαι θέλει. θόρυβος οὖν πολὺς περὶ τὴν σκηνὴν αἴρεται, ὥστε καὶ αὐτὸν εἰσδραμεῖν τὸν στρατηγὸν, καὶ τὰ γινόμενα ὁρᾶν. ὁ δὲ τὰ πρῶτα σκῆψιν ὑπώπτευε καὶ τέχνην ἐπ' αὐτὸν, καὶ τὸν Μενέλαον ὑπεβλέπετο· ὡς δὲ κατὰ μικρὸν ἑώρα τὴν ἀλήθειαν, ἔπαθέν τι καὶ αὐτὸς καὶ ἠλέησεν. κομίσαντες οὖν βρόχους ἔδησαν τὴν ἀθλίαν. ὡς δὲ εἶδον αὐτῆς περὶ τὰς χεῖρας τὰ δεσμὰ, ἐδεόμην Μενελάου, τῶν πολλῶν ἀπηλλαγμένων· Λύσατε, λέγων ἱκετεύων, λύσατε· οὐ φέρουσι δεσμὸν χεῖρες ἁπαλαί· ἐάσατέ με σὺν αὐτῇ μόνον, ἐγὼ περιπτυξάμενος αὐτῇ δεσμὸς ἔσομαι· μαινέσθω κατ' ἐμοῦ· τί γάρ με ζῆν ἔτι δεῖ; οὐ γὰρ γνωρίζει με Λευκίππη παρόντα. κεῖται δέ μοι δεδεμένη, καὶ ὁ ἀναιδὴς ἐγὼ

adiunctam esse intelligentes, per vim retinere tentavimus. Ipsa vero reluctabatur, nulla prorsus adhibita cura in iis tegendis, quae summo studio mulieres aliae velare contendunt. Itaque magnus circa tentorium tumultus concitatus est, atque adeo, ut Charmides etiam accurrerit, &, quae agerentur, singula cognoverit. Quamobrem initio fingere, dolumque adversum se commoliri nos existimabat, Menelaumque subintuebatur: sed cum paulo post veritatem comperisset, commotus ipse quoque est, casumque huiusmodi aegro animo tulit. Leucippe interea allatis funibus vincitur: ego vero, simulatque constrictis vinculis manus vidi, ad Menelaum, aliis plerisque iam egressis, conversus: Solvite, obsecro, inquam, solvite: vinculorum asperitatem tenellae manus pati nequeunt. Vos me cum illa sinite: ego illam circumplectens funis vice fungar. Insaniat illa in me. Quid enim vivere me amplius oportet? praesentem Leucippe me non agnoscit, ac vincta iacet:

λῦσαι δυνάμενος, οὐ θέλω. ἐπὶ τούτῳ σέσωκεν ἡμᾶς ἐκ τῶν λῃστῶν ἡ τύχη, ἵνα γένῃ μανίας παιδιά; ὦ δυστυχεῖς ἡμεῖς, ὅταν εὐτυχήσωμεν; τοὺς οἴκοι φόβους ἐκπεφεύγαμεν, ἵνα ναυάγια δυστυχήσωμεν· ἐκ τῆς θαλάσσης περιγεγόναμεν, ἐκ τῶν λῃστῶν ἀνασεσώμεθα, μανίᾳ γὰρ ἐτηρούμεθα. ἐγὼ μὲν, ἂν σωφρονήσῃς, φιλτάτη, φοβοῦμαι πάλιν τὸν δαίμονα, μή τί σοι κακὸν ἐργάσηται. τίς οὖν ἡμῶν κακοδαιμονέστερος; οἱ φοβούμεθα καὶ τὰ εὐτυχήματα. ἀλλὰ μόνον μοι σωφρονήσειας, καὶ σεαυτὴν ἀπολάβοις· παιζέτω πάλιν ἡ τύχη.

ί. Ταῦτά με λέγοντα παρηγόρουν οἱ ἀμφὶ τὸν Μενέλαον, φάσκοντες μὴ ἔμμονα εἶναι τὰ τοιαῦτα νοσήματα, πολλάκις δὲ καὶ ἡλικίας ζεούσης ὑπάρχειν. τὸ γὰρ αἷμα πάντη νεάζον, καὶ ὑπὸ πολλῆς ἀκμῆς ἀναζέον, ὑπερβλύζει πολλάκις τὰς φλέβας,

nec ego, quamquam poſſum, vincula tamen miſericors demo. Idcircone latronum e manibus fortuna ereptos nos voluit, ut tu ad inſaniae ludibrium ponerere? O miſeros nos! ecquando meliore fato utemur? Quae domi metuebamus, declinavimus, ut irati maris vim experiremur. Atqui e naufragio etiam evaſimus, latronum manus evitavimus; nimirum quia inſaniae deſtinati fueramus. A qua licet convaleſcas, verendum tamen eſt, ne aliud in malum te fortuna coniiciat. Quis igitur nobis miſerior, quibus ſecundi etiam eventus formidandi? Verumtamen ſuo arbitratu fortuna ludat, dum tu reſipiſcas, atque ad te redeas.

X. Haec me dicentem Menelaus, & qui ſimul aderant, conſolabantur, aegritudines eiuſmodi autumantes diuturnas non eſſe, ſed vigente aetate plerumque gigni. Sanguinem enim iuvenem, ac multo vigore fervidum, per ve-

καὶ τὴν κεφαλὴν ἔνδον περικλύζον, βαπτίζει τοῦ λογισμοῦ τὴν ἀναπνοήν. δεῖν οὖν ἰατροὺς μεταπέμπειν, καὶ θεραπείαν προσφέρειν. πρόσεισιν οὖν τῷ στρατηγῷ ὁ Μενέλαος, καὶ δεῖται τὸν τοῦ στρατοπέδου ἰατρὸν μετακαλέσασθαι. κἀκεῖνος ἀσμένως ἐπείσθη. χαίρουσι γὰρ οἱ ἐρῶντες εἰς τὰ ἐρωτικὰ πράγματα. Καὶ ὁ ἰατρὸς παρῆν, καὶ λέγει· Νῦν μὲν ὕπνον αὐτῇ παρασκευάσομεν, ὅπως τὸ ἄγριον τῆς ἀκμῆς ἡμερώσωμεν. ὕπνος γὰρ πάντων νοσημάτων φάρμακον. ἔπειτα δὲ καὶ τὴν λοιπὴν θεραπείαν αὐτῇ προσοίσομεν. Δίδωσιν οὖν ἡμῖν φάρμακόν τι μικρὸν ὅσον ὀρόβου μέγεθος, καὶ κελεύει λύσαντας εἰς ἔλαιον ἐπαλεῖψαι τὴν κεφαλὴν μέσην. σκευάσειν δὲ ἔφη καὶ ἕτερον εἰς γαστρὸς αὐτῇ κάθαρσιν. ἡμεῖς μὲν οὖν ἃ ἐκέλευσεν ἐποιοῦμεν. ἡ δὲ ἐπαλειφθεῖσα μετὰ μικρὸν ἐκάθευδεν τὸ ἐπίλοιπον τῆς νυκτὸς μέχρι τῆς ἕω. Ἐγὼ δὲ δι᾽ ὅλης τῆς νυκτὸς

nas diffundi, caputque interius petentem ſenſum mentis omnem obruere. Quamobrem medicos advocari, medicinaſque adhiberi oportere. Charmiden itaque Menelaus adivit, medicumque, qui in exercitu erat, arceſſi ut iuberet, rogavit. Quod ille perquam lubenter effecit. Amatoriis enim rebus obeundis amantes gaudent. Adfuit igitur medicus. Ac nunc quidem, inquit, ſomnum ei conciliabimus, quo morbus aliquid de vi ſua remittat. Malorum enim ſomnus omnium medicina eſt. Deinde reliquam curationem proſequemur. Ita nobis tunc medicamenti cuiuſdam tantum praebuit, quantum orobi granum eſt: oleoque ſubactum capiti medio illini iuſſit, aliud purgandae alvi gratia mox paraturum ſe pollicens. Nos iuſſa peregimus. Leucippeque paulo poſt, quam inuncta fuit, ſomno capta, quod noctis ſupererat, ad auroram uſque dormivit. Cui aſſidens ipſe non ſine lacrimis totam noctem in-

ἀγρυπνῶν, ἔκλαιον παρακαθήμενος, καὶ, βλέπων, ἔλεγον, τὰ δεσμὰ, Οἴμοι, Φιλτάτη, δέδεσαι, καὶ καθεύδουσα οὐδὲ τὸν ὕπνον ἐλεύθερον ἔχεις. τίνα ἄρα σου καὶ τὰ Φαντάσματα; ἆρα κἀν κατὰ τοὺς ὕπνους σωφρονεῖς, ἢ μαίνεταί σου καὶ τὰ ὀνείρατα; Ἐπεὶ δὲ ἀνέστη, πάλιν ἄσημα ἐβόα. καὶ ὁ ἰατρὸς παρῆν, καὶ τὴν ἄλλην θεραπείαν ἐθεράπευε.

ια΄. Ἐν τούτῳ δὴ ἔρχεταί τις παρὰ τοῦ τῆς Αἰγύπτου Σατράπου κομίζων ἐπιστολὴν τῷ στρατηγῷ. ἐπέσπευδεν δὲ αὐτὸν ὡς εἰκὸς ἐπὶ τὸν πόλεμον τὰ γράμματα. ἐκέλευσε γὰρ εὐθὺς πάντας ἐν τοῖς ὅπλοις γενέσθαι ὡς ἐπὶ τοὺς βουκόλους. αὐτίκα δὴ μάλα ἐξορμήσαντες, εὐθὺς ἕκαστος, ὡς εἶχε, [τάχους] ἐπὶ τὰ ὅπλα ἐχώρουν, καὶ παρῆσαν ἅμα τοῖς λοχαγοῖς. Τότε μὲν οὖν αὐτοῖς δοὺς τὸ σύνθημα, καὶ κελεύσας αὐτοῖς στρατοπεδεύεσθαι, καθ' ἑαυτὸν ἦν. τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἕῳ τὸ στράτευμα ἐξῆγεν ἐπὶ τοὺς πο-

ſomnem tranſegi, oculiſque in vincula coniectis: Heu mihi, Leucippe, inquam, ſuaviſſima, tu etiam dormiens vincta es, nec libero frui ſomno potes. Quaenam autem tibi viſa ſeſe nunc offerunt? mentiſne te compotem ſomnus habet? an vero etiam ſtulta ſomnias? Poſteaquam experrecta eſt, contenta voce abſurda quaedam protulit. Ac tum praeſto adfuit medicus, aliudque medicamentum dedit.

XI. Interea literae ab Aegypti praefecto Charmidi redditae ſunt, quibus, uti credibile eſt, exercitum ad pugnam quamprimum educere imperabatur. Omnes enim ſtatim eſſe in armis, & adverſus paſtores proficiſci iuſſit. Quamobrem milites, qua quiſque potuit celeritate, cum manipularibus ſuis praeſto in armis fuere. Dato igitur ſigno, & omnibus caſtris locum capere iuſſis, ſolus remanſit. Poſtridie prima luce copias in hoſtes eduxit. Pagi au-

λεμίους. εἶχε δὲ αὐτοῖς οὕτω τῆς κώμης ἡ θέσις. ὁ Νεῖλος ῥεῖ μὲν ἄνωθεν ἐκ Θηβῶν τῶν Αἰγυπτίων, καὶ ἔστιν ἐς τοσοῦτον ῥέων ἄχρι Μέμφεως, καὶ ἔστι μικρὸν κάτω κέρας. Σύρος ὄνομα τῇ κώμῃ πρὸς τῷ τέλει τοῦ μεγάλου ῥεύματος. ἐντεῦθεν δὲ περιῤῥήγνυται τῇ γῇ, καὶ ἐξ ἑνὸς ποταμοῦ γίγνονται τρεῖς, δύο μὲν ἑκατέρωθεν λελυμένοι, ὁ δὲ εἷς καὶ τὴν γῆν, εἰς τὸ σχῆμα τοῦ Δέλτα ποιῶν, ὥσπερ ἦν ῥέων πρὶν λυθῆ. ἀλλ᾽ οὐδὲ τούτων ἕκαστος τῶν ποταμῶν ἀνέρχεται μέχρι θαλάσσης ῥέων· ἀλλὰ περισχίζεται ἄλλος ἄλλῃ κατὰ πόλεις, καί εἰσιν αἱ σχίσεις μείζονες τῶν παρ᾽ Ἕλλησι ποταμῶν· τὸ δὲ ὕδωρ πανταχοῦ μεμερισμένον οὐκ ἐξασθενεῖ, ἀλλὰ καὶ πλεῖται, καὶ πίνεται, καὶ γεωργεῖται.

ιβ΄. Νεῖλος ὁ πολὺς πάντα αὐτοῖς γίνεται, καὶ ποταμὸς, καὶ γῆ, καὶ θάλασσα, καὶ λίμνη· καὶ ἔστιν

tem eius ſitus huiuſmodi eſt. Ex locis, qui ſupra Aegyptias Thebas ſunt, Nilus deſcendit: atque in tantum Memphin uſque prolabitur, parvumque cornu emittit. Qua magnus alveus deſinit, pagus eſt, Syrus nomine; illinc terra iterum ſinditur: ex unoque fluvii tres efficiuntur: quorum duo liberi utrinque ſeſe effundunt. Tertius eundem, quem antea, curſum tenens, regionem, quae Delta vocatur, ſecat. Neque vero eorum fluviorum aliquis eſt, qui ad mare uſque labatur: ſed alius aliam ad urbem delatus dividitur, ſingulaeque partes Graeciae flumen quodvis magnitudine ſuperant. Et quamquam tot in partes aqua dividitur, non tamen infirmior ſit; ſed navigatur, bibitur, aratur.

XII. Iis enim Nilus copioſus eſt omnia, nempe fluvius, terra, mare, palus: admirationeque omnino dignum eſt,

τὸ θέαμα καινὸν, ναῦς ὁμοῦ καὶ δικέλλη, κώπη καὶ ἄροτρον, πηδάλιον καὶ τρόπαιον, ναυτῶν ὁμοῦ καὶ γεωργῶν καταγωγὴ, ἰχθύων ὁμοῦ καὶ βοῶν. ὃ πέπλευκας, φυτεύεις· καὶ ὃ φυτεύεις, τοῦτο τὸ πέλαγος γεωργούμενον. ἔχει γὰρ ὁ ποταμὸς ἐπιδημίας· κάθηται δὲ αὐτὸς Αἰγύπτιος ἀναμένων, καὶ ἀριθμῶν αὐτοῦ τὰς ἡμέρας. καὶ ὁ Νεῖλος οὐ ψεύδεται, ἀλλ᾽ ἔστιν ποταμὸς μετὰ προθεσμίας τὸν χρόνον τηρῶν, καὶ τὸ ὕδωρ μετρῶν, ποταμὸς ἁλῶναι μὴ θέλων ὑπερήμερος. ἔστι δὲ ἰδεῖν ποταμοῦ καὶ γῆς φιλονεικίαν. ἐρίζεται ἀλλήλοις ἑκάτερον, τὸ μὲν ὕδωρ, τοσαύτην γῆν πελαγῶσαι· ἡ δὲ γῆ, τοσαύτην χωρῆσαι γλυκεῖαν θάλασσαν. καὶ νικῶσι μὲν τὴν ἴσην νίκην οἱ δύο, οὐδαμοῦ δὲ φαίνεται τὸ νικώμενον. τὸ γὰρ ὕδωρ τῇ γῇ συνεκτείνεται· περὶ δὲ τὰς τῶν βουκόλων ταύτας νομὰς, ἀεὶ πολὺς ἐγκάθηται. ὅταν γὰρ τὴν πᾶσαν γῆν πελαγίσῃ, καὶ λίμνας ἐνταῦθα ποιεῖ. αἱ δὲ λίμναι, κἂν ὁ Νεῖλος ἀπέλ-

eodem in loco navim & ligonem, remum & aratrum, temonem & tropaeum, nautarum & agricolarum casas, piscium & boum cubilia spectare. Nam qua navem egisti, illic sementem facis: rursus, ubi sementem fecisti, illic navem agis: longo enim spatio fluvius navigari potest. Eius porro adventum Aegyptii exspectant, ac numerant dies. Et Nilus non fallit homines, sed ad praestitutum tempus se sistens, aquasque dimetiens, minime committit, ut tarditatis accusari possit. Tum vero aquae ac terrae contentionem videre licet, dum illa tantum terrae inundare, haec tantum aquae dulcis absorbere nititur, pari utrinque victoria. Neque enim, quae succumbat, discernitur. Nam terrae magnitudini aqua par fit. In ea vero regione, quam pastores incolunt, multa semper residet. Nam cum eam omnem Nilus inundaverit, paludes efficit: quae dein-

θη, μένουσιν, ἧττον τὸ ὕδωρ ἔχουσαι, τὸν δὲ πηλὸν τοῦ ὕδατος. ἐπὶ ταύτας αὐτοὶ καὶ βαδίζουσι καὶ πλέουσιν, οὐδὲ ναῦς ἑτέρα δύναται πλέειν, ἀλλ' ὅσον ἄνθρωπον ἐπιβῆναι. ἀλλὰ πᾶν τὸ ξένον τοῦτό που ὁ πηλὸς ἐμπίπτων κρατεῖ· τοῖς δὲ μικρὰ μὲν καὶ κοῦφα πλοῖα, καὶ ὀλίγον ὕδωρ αὐτοῖς ἀρκεῖ. εἰ δὲ καὶ τέλεον ἄνυδρον εἴη, ἀράμενοι τοῖς νώτοις οἱ πλωτῆρες τὸ πλοῖον φέρουσιν, ἄχρις ἂν ἐπιτύχωσιν ὕδατος. Ἐν ταύταις δὴ ταῖς λίμναις μέσαι νῆσοί τινές εἰσιν σποράδην πεποιημέναι, αἱ μὲν οἰκοδομημάτων ἔρημοι παπύροις πεφυτευμέναι, τῶν δὲ παπύρων διΐστῶσι αἱ φάλαγγες πεπυκνωμέναι τοσοῦτον ὅσον παρ' ἑκάστην ἄνδρα στῆναι μόνον. τὸ μεταξὺ δὲ τοῦτο τῆς πυκνώσεως αὐτῶν ἄνωθεν ἀναπληροῦσιν αἱ τῶν παπύρων κόμαι. ὑποτρέχοντες οὖν ἐκεῖ, καὶ βουλεύονται, καὶ λοχῶσι, καὶ λανθάνουσι, τείχεσι ταῖς παπύροις χρώμενοι. Εἰσὶ δὲ

ceps illo etiam abeunte remanent, minus quidem aquae continentes, ſed limo multo refertae: per quas cum pedibus feruntur, tum etiam naviculis non ſane maioribus, quam ut ſingulos vectare poſſint. Ac ſi aliuſmodi fuerint, limo illo praepeditae retinentur. Quare parva iis ac levia navigia, & exiguae aquae ſatis ſunt: quod ſi quandoque aquam deeſſe contingat, ſublatam humeris naviculam aſportant, quouſque aquam inveniant. Iis in paludibus multae ſparſim inſulae viſuntur: quarum quae habitatoribus carent, papyris refertae ſunt, ea ordinum denſitate collocatis, ut inter ſtipitum earum intervalla non amplius quam ſinguli commorari queant, cum ſummitates alioqui foliis hinc inde diffuſis mutuo ſeſe contingant. Eo ſe recipientes paſtores & conſilia ineunt, & inſidias ſtruunt, & latent, papyris murorum uſum praebentibus. Ex iis inſu-

τῶν νήσων τινὲς καλύβας ἔχουσαι, καὶ αὐτοσχέδιον μεμίμηνται πόλιν ταῖς λίμναις τετειχισμέναι. βουκόλων αὗται καταγωγαί. τῶν πλησίον οὖν ἦν μία, μεγέθει καὶ καλύβαις πλείοσι διαφέρουσα. ἐκάλουν δὲ αὐτὴν, οἶμαι, Νίκωχιν. ἐνταῦθα πάντες συνελθόντες ὡς εἰς τόπον ὀχυρώτατον, ἐθάῤῥουν καὶ πλήθει καὶ τόπῳ. εἷς γὰρ αὐτὴν διεῖργεν στενωπὸς τὸ μὴ πᾶσαν νῆσον γενέσθαι. ἦν δὲ σταδίου μὲν τὸ μέγεθος· τὸ δὲ πλάτος ὀργυιῶν δώδεκα. λίμναι δὲ τῇδε κἀκεῖσε τὴν πόλιν περιέῤῥεον.

ιγ΄. Ἐπεὶ τοίνυν ἑώρων τὸν στρατηγὸν προσπελάζοντα, τεχνάζονταί τι τοιοῦτον. συναγαγόντες πάντας τοὺς γέροντας, καὶ ἐπιθέντες αὐτοῖς ἱκετηρίας ῥάβδους φοινικίνας, ὄπισθεν ἐπιτάττουσι τῶν νέων τοὺς ἀκμαιοτάτους, ἀσπίσι καὶ λόγχαις ὡπλισμένους. ἔμελλον δὲ οἱ μὲν γέροντες ἀνίσχοντες τὰς ἱκετηρίας, πετάλων

lis nonnullae paludibus circumdatae tuguriis paſſim aedificatis, in quibus inhabitant paſtores, tumultuariae civitatis ſpeciem prae ſe ferunt. Quarum una propinquior, & magnitudine, & tuguriorum numero, praeſtabat, appellabaturque, ut puto, Nicochis. Illuc tanquam muniſſimam in arcem profecti, & multitudine & loco confidebant. Semita enim anguſta longitudinis paſſuum CXXV, latitudinis XII, quo minus perfecte inſula eſſet, prohibebat, cum reliquum paludibus circumdatum eſſet.

XIII. Poſteaquam igitur Charmidem propius accedere viderunt, huiuſmodi quiddam commenti ſunt. Convocatis enim ſenibus univerſis, ac palmarum ramis ſupplicum ritu adornatis, iuvenum robuſtiſſimis quibuſque iuſſerunt, ut ſcutis & pilis armati acie ſtructa eos ſequerentur. Ita fiebat, ut ſenes pacis ſigna ferentes ſequentium armatorum

κόμαις καλύψειν τοὺς ὄπισθεν· οἱ δὲ ἑπόμενοι τὰς λόγχας ἐπισύρειν ὑπτίας ὡς ἂν ἥκιστα ὀφθεῖεν. κἂν μὲν ὁ στρατηγὸς πεισθῇ ταῖς τῶν γερόντων λιταῖς, μηδέν τι νεωτερίζειν τοὺς λογχοφόρους εἰς μάχην· εἰ δὲ μὴ, καλεῖν αὐτὸν ἐπὶ τὴν πόλιν, ὡς σφῶν αὐτοὺς διδόντων εἰς θάνατον. ὅταν δὲ ἐν μέσῳ γένωνται τῷ στενωπῷ, τοὺς μὲν γέροντας ἀπὸ συνθήματος διαδιδράσκειν, καὶ ῥίπτειν τὰς ἱκετηρίας, τοὺς δὲ ὡπλισμένους περιδραμόντας ὅ, τι καὶ δύνανται ποιεῖν. Παρῆσαν οὖν ἐσκευασμένοι τοῦτον τὸν τρόπον, καὶ ἐδέοντο τοῦ στρατηγοῦ, αἰδεσθῆναι μὲν αὐτῶν τὸ γῆρας, αἰδεσθῆναι δὲ τὰς ἱκετηρίας, ἐλεῆσαί τε τὴν πόλιν. ἐδίδοσαν δὲ αὐτῷ ἰδίᾳ μὲν, ἀργυρίου τάλαντα ἑκατὸν, πρὸς δὲ τὴν σατραπείαν ἄγειν ἄνδρας ἑκατὸν, θέλοντας αὑτοὺς ὑπὲρ τῆς πόλεως διδόναι, ὡς ἂν ἔχοι, καὶ πρὸς ἐκείνους λάφυρον φέρειν. καὶ ὁ λόγος αὐτοῖς οὐκ ἐψεύδετο,

agmen frondibus occultarent: iuvenes inclinatas haſtas, quo minime cerni poſſent, poſt ſe traherent: ac, ſi ſenum precibus Charmides annuiſſet, armati a pugna deſiſterent: ſi minus, illum intra urbem advocarent, tanquam illic ſe ipſos interficiendos praebituri: verum ubi ad ſemitae illius anguſtae medium perveniſſent, ſenes dato ſigno abiectis ramis terga darent: armati autem irrumperent, & totis viribus depugnarent. Hunc in modum inſtructi, Charmidi obviam proceſſerunt, ne reverentiam ſenectuti ac palmis debitam violaret, ac civitatis univerſae miſereretur, obteſtantes: daturoſque illi privatim argenti talenta centum, ac viros totidem, ſi civitatem incolumem praeſtaret; adducturos, quos obſidum loco ad Aegypti praefectum cum praeda mittere poſſet, pollicentes. Quae ſane omnia ſine fraude praeſtitiſſent, ſi modo

ἀλλ' ἔδωκαν ἂν, εἰ λαβεῖν ἠθέλησεν. ὡς δὲ οὐ προσίετο τοὺς λόγους· Οὐκοῦν, ἔφασαν οἱ γέροντες, εἰ ταῦτα σοι δέδοκται, οἴσομεν τὴν εἱμαρμένην ἐν κακοῖς. σὺ πάρεχε τὴν χάριν, μὴ ἔξω Φονεύσῃς πυλῶν, μηδὲ τῆς πόλεως μακρὰ, ἀλλ' ἐπὶ τὴν πατρῴαν γῆν, ἐπὶ τὴν τῆς γενέσεως ἑστίαν ἄγε, τάφον ἡμῖν ποίησον τὴν πόλιν. ἰδού σοι πρὸς τὸν θάνατον ἡγούμεθα. Ταῦτα ἀκούσας ὁ στρατηγὸς, τὴν μὲν παρασκευὴν τῆς μάχης ἀφίησι· κελεύει δὲ ἔρχεσθαι καθ' ἡσυχίαν τῷ στρατῷ.

ιδ'. Ἦσαν δὲ τῶν πραττομένων σκοποὶ πόῤῥωθεν, οὓς οἱ βουκόλοι προκαθίσαντες ἐκέλευον, εἰ διαβαίνοντας ἴδοιεν τοὺς πολεμίους, τὸ χῶμα τοῦ ποταμοῦ κόψαντας, ἐπαφεῖναι τὸ ὕδωρ πᾶν τοῖς ἐναντίοις. ἔχει γὰρ οὕτω τὰ τοῦ Νείλου ῥεύματα. καθ' ἑκάστην διώρυχα χῶμα ἔχουσιν Αἰγύπτιοι, ὡς ἂν μὴ πρὸ καιροῦ

conditionem ille accipere voluiſſet. Verum cum in iis audiendis admittendiſque difficilem ſe militum ductor praeberet: Fatum igitur, ſi ita tibi decretum eſt, inquiunt ſenes, feremus. Tu hiſce malis id ſaltem beneficii loco nobis concede, ut ne extra urbem, neu procul ab ea nos interimas: ſed in parentum noſtrorum ſedes, & in eas, unde ortum duximus, domos ducas, efficiaſque, ut civitas nobis ipſa ſepultura ſit. Nos noſtrae tibi necis duces ſumus. Haec Charmides cum audiviſſet, copias pugnandi gratia adductas dimiſit, atque ad exercitum ſine tumultu abire iuſſit.

XIV. Collocaverant autem paſtores nonnullos, qui, quae gerebantur, procul obſervarent: iiſque iniunxerant, ut, cum primum appropinquantes hoſtes vidiſſent, fluminis aggere caeſo aquam in eos immitterent. Quippe Nili defluxus ita habent. Singulae foſſae aggeribus obſtructae ſunt, ne, antequam tempus poſtulet, effuſus fluvius

τῆς χρείας ὑπερέχων ὁ Νεῖλος τὴν γῆν ἐπικλύσῃ. ὅταν δὲ δεηθῶσιν ἀρδεῦσαι τὸ πεδίον, ἀνέῳξαν ὀλίγον τοῦ χώματος, εἰς ὃ σαλεύεται. Ἦν οὖν τῆς κώμης ὄπισθεν διῶρυξ τοῦ ποταμοῦ μεγάλη καὶ πλατεῖα. ταύτην οἱ τεταγμένοι τὸ ἔργον, ὡς εἶδον εἰσιόντας τοὺς πολεμίους, διακόπτουσι ταχὺ τὸ χῶμα τοῦ ποταμοῦ. πάντ' οὖν ὁμοῦ γίνεται· οἱ μὲν γέροντες οἱ κατὰ πρόσωπον ἄφνω διίστανται· οἱ δὲ τὰς λόγχας ἐγείραντες ἐκτρέχουσιν· τὸ δὲ ὕδωρ ἤδη παρῆν. καὶ ᾤχοντο μὲν αἱ λίμναι πάντοθεν οἰδοῦσαι. ὁ δὲ ἰσθμὸς ἐπεκλύζετο, πάντα δὲ ἦν ὥσπερ θάλασσα. ἐμπεσόντες οὖν οἱ βουκόλοι, τοὺς μὲν κατὰ πρόσωπον, καὶ τὸν στρατηγὸν αὐτὸν διαπείρουσι ταῖς λόγχαις, ἀπαρασκεύους τε ὄντας, καὶ πρὸς τὸ ἀδόκητον τεταραγμένους. τῶν δ' ἄλλων ἀδιήγητος θάνατος ἦν. οἱ μὲν γὰρ εὐθὺς ἐκ πρώτης προσβολῆς μηδὲ κινήσαντες τὰς αἰχμὰς ἀπώλλυντο· οἱ δὲ οὐ λαβόντες σχολὴν ἀμύνασθαι· ἅμα γὰρ

terram inundet: quos, cum irriganda planicies eſt, Aegyptii demoliuntur: ac tum aqua effunditur. Poſt eum pagum longa lataque foſſa erat: cuius aggerem, qui ei praeerant, ſimulatque adventantes hoſtes conſpexerunt, ſtatim demoliti ſunt. Eodemque tempore omnia ſimul facta ſunt: ſenes, qui praecedebant, in diverſa abierunt, reliqui vero haſtis proiectis impetum fecerunt: aquae paſſim excreverunt. Iam paludes undique tumentes exundabant: anguſtuſque aditus aquis obruebatur, ita ut omnia mare eſſe viderentur. Paſtores, impetu facto, obvios quoſque, atque ipſum inprimis ductorem, imparatos & inopinato eventu perterrefactos pilis confixerunt. Aliorum vero pereundi modus enarrari nequit. Alii enim primo ſtatim congreſſu, nullo ad declinanda tela, aut ad referiendum hoſtem ſpatio dato perierunt: puncto enim temporis eo-

ἐμάνθανον καὶ ἔπασχον. ἐνίους δὲ ἔφθανε τὸ παθεῖν πρὸ τοῦ μαθεῖν. οἱ δὲ ὑπ᾽ ἐκπλήξεως παραλόγου τὸν θάνατον εἱστήκεισαν περιμένοντες· οἱ δὲ καὶ κινηθέντες μόνον κατωλίσθαινον ὑποσκελίζοντος αὐτοὺς τοῦ ποταμοῦ· οἱ δὲ καὶ φεύγειν ὁρμήσαντες, εἰς τὸ βαθὺ τῆς λίμνης ἐκκυλισθέντες ὑπεσύρησαν. τῶν μὲν γὰρ ἐπὶ τῆς γῆς ἑστώτων, τὸ ὕδωρ ἦν ἄχρις ὀμφαλοῦ, ὥστε καὶ ἀνέκρουεν αὐτῶν τὰς ἀσπίδας, καὶ ἐγύμνου πρὸς τὰ τραύματα τὰς γαστέρας. τὸ δὲ κατὰ τὴν λίμνην ὕδωρ, παντὸς ὑπὲρ κεφαλὴν ἀνδρὸς ἦν. διακρῖναι δὲ οὐκ ἦν, τί λίμνη καὶ τί πεδίον· ἀλλὰ καὶ ὁ διὰ τῆς γῆς τρέχων δέει τοῦ μὴ διαμαρτεῖν, βραδύτερος ἦν πρὸς τὴν φυγὴν, ὥστε ταχέως ἡλίσκετο· καὶ ὁ κατὰ τῆς λίμνης πλανηθεὶς, δόξας γῆν εἶναι, κατεδύετο. καὶ ἦν καινὰ ἀτυχήματα καὶ ναυάγια τοσαῦτα, καὶ ναῦς οὐδαμοῦ. ἀμφότερα δὲ καινὰ καὶ παράλογα, ἐν ὕδατι

dem & quae fierent cognoverunt, & ceciderunt: nonnulli etiam prius, quam cognofcerent, caefi funt: quidam, fubito metu perculfi, mortem immoti exfpectabant: aliqui vixdum fe loco moventes delabebantur, fluminis aqua eos deturbante: multi, fugam arripere conati, in paludis fundo mergebantur: iam enim aqua eorum, qui in terra erant, umbilicum pertingebat ita, ut clypeorum ufum adimeret, latufque ad vulnera nudaret; eorum vero, qui in palude, caput omnino fuperabat: nec, ubi aut palus effet, aut campus, dignofci amplius poterat. Itaque, qui per terram currebat, errare timens, ad fugam fegnior reddebatur, eoque in hoftium brevi manus deveniebat: qui per paludem ferebatur, in terra fe effe putans demergebatur. Nova procul dubio infortunii ac naufragii genera illa erant, cum nullibi navis cerneretur: neque tantum nova, fed humanam etiam cogitationem vin-

πεζομαχία, καὶ ἐν τῇ γῇ τὰ ναυάγια. οἱ μὲν δὴ τοῖς πεπραγμένοις ἐπαρθέντες μέγα ἐφρόνουν, ἀνδρείᾳ νομίζοντες κεκρατηκέναι, καὶ οὐκ ἀπάτης κλοπῇ. ἀνὴρ γὰρ Αἰγύπτιος, καὶ τὸ δειλὸν, ὅπου φοβεῖται, δεδούλωται, καὶ τὸ μάχιμον, ἐν οἷς θαῤῥεῖ, παρώξυνται· ἀμφότερα δὲ οὐ κατὰ μέτρον, ἀλλὰ τὸ μὲν ἀσθενέστερον δυστυχεῖ, τὸ δὲ προπετέστερον κρατεῖ.

ιε΄. Δέκα δὲ τῇ Λευκίππῃ διεληλύθεισαν ἡμέραι τῆς μανίας, ἡ δὲ νόσος οὐκ ἐκουφίζετο. ἅπαξ οὖν ποτε καθεύδουσα, ταύτην ἀφίησιν προπολουμένην τὴν φωνήν· [1] Διὰ σὲ μαίνομαι, Γοργία. Ἐπεὶ οὖν ἠὼς ἐγένετο, λέγω τῷ Μενελάῳ τὸ λεχθὲν, καὶ ἐσκόπουν εἴ τις εἴη που κατὰ τὴν κώμην Γοργίας. Προελθοῦσι δ' ἡμῖν νεανίσκος προσέρχεταί τις, καὶ προσαγορεύσας με· Σωτὴρ ἥκω σοι, ἔφη, καὶ τῆς σῆς γυναικός. Ἐκ-

centia: in aqua enim terreſtris pugna committebatur, & in terra naufragium fiebat. Hoc ſucceſſu elati paſtores mirum in modum gloriabantur, virtute, non fraude, victoriam ſe adeptos eſſe arbitrantes. Aegyptiorum enim gens periculoſis in rebus animum abiicit, in ſecuris autem ſpiritus ſumit. In quo non eundem modum ſervat. Nam aut ignaviſſime cedit, aut ſuperbiſſime dominatur.

XV. Iam decimus a Leucippes inſania dies praeterierat, nec de magnitudine ſua morbus quidquam remiſerat, cum ardentem hanc vocem dormiens aliquando tandem emiſit: Ob tuam, o Gorgia, cauſam deſipui. Id quod ego, ſimulac dies illuxit, Menelao retuli, cogitans eſſetne in vico illo Gorgias nomine aliquis. Interea dum e tentorio egrederemur, obviam nobis adoleſcens quidam fit, meque ſalutato: Tui ego, inquit, tuaeque uxoris ſerva-

1 *Προπολουμένην τὴν φωνὴν*) Reduxi quorundam lectionem, *προπολουμένην*. Alii: *πυρπολουμένην*. Sed alterum firmant ſeqq. *δαίμων γάρ μοί τις αὐτὸν ἐμήνυσε νύκτωρ· σὺ δὲ διηγητὴς γενοῦ τῶν θείων μηνυμάτων.*

πλαγεὶς οὖν, καὶ θεόπεμπτον εἶναι νομίσας τὸν ἄνθρωπον, Μὴ Γοργίας, εἶπον, τυγχάνεις; Οὐ μὲν οὖν, εἶπεν, ἀλλὰ Χαιρέας· Γοργίας γάρ σε ἀπολώλεκεν. Ἔτι μᾶλλον ἔφριξα, καὶ λέγω· Τίνα ταύτην ἀπώλειαν, καὶ τίς ἐστιν ὁ Γοργίας; δαίμων γάρ μοί τις αὐτὸν ἐμήνυσε νύκτωρ· σὺ δὲ διηγητὴς γενοῦ τῶν θείων μηνυμάτων. Γοργίας ἦν μὲν, ἔφη, Αἰγύπτιος στρατιώτης· νῦν δὲ οὐκ ἔστιν, ἀλλ' ἔργον γέγονε τῶν βουκόλων. ἤρα δὲ τῆς σῆς γυναικός. ὢν δὲ φύσει φαρμακεὺς, σκευάζει τι φάρμακον ἔρωτος, καὶ πείθει τὸν διακονούμενον ὑμῖν Αἰγύπτιον λαβεῖν τὸ φάρμακον, καὶ ἐγκαταμίξαι τῷ τῆς Λευκίππης ποτῷ. λανθάνει δὲ ἀκράτῳ χρησάμενος τῷ φαρμάκῳ, καὶ τὸ φίλτρον εἰς μανίαν αἵρεται. ταῦτα γάρ μοι χθὲς ὁ τοῦ Γοργίου θεράπων διηγήσατο, ὃς ἔτυχε μὲν αὐτῷ συστρατευσάμενος

tor adſum. Quamobrem obſtupefactus, hominemque a Deo miſſum exiſtimans: Num tu, inquam, Gorgias es? Minime, inquit ille, ſed Chaerea. Gorgias is fuit, qui calamitatem tibi peperit. Cum ego maiori etiam ſtupore oppreſſus, Quaenam, inquam, haec calamitas, aut quis hic Gorgias eſt? Deus enim me, neſcio quis, noctu admonuit. Age itaque tu, quid ſibi divina haec monita velint, expone. Tum ille: Gorgias, inquit, Aegyptius miles fuit: qui nunc quidem eſſe deſiit, a paſtoribus videlicet interemtus. Is uxoris tuae amore tenebatur. Cumque natura veneficiis deditus eſſet, amatoriam potionem comparavit, ac Aegyptio veſtro adminiſtratori perſuaſit, ut eam Leucippes potui infunderet. Verum ita caſus attulit, ut valentiore imprudens pharmaco uſus ſit, ac pro amante inſanam reddiderit. Haec omnia eius ipſius Gorgiae famulus heri mihi narravit, qui forte cum eo in bello, quod

ἐπὶ τοὺς βουκόλους· ἔσωσεν δὲ αὐτὸν εἰκὸς ὑπὲρ ὑμῶν ἡ τύχη· αἰτεῖ δὲ χρυσοῦς τέτταρας ὑπὲρ τῆς ἰάσεως· ἔχει γὰρ, φησὶν, ἑτέρου φαρμάκου σκευὴν, δι' οὗ λύσει τὸ πρότερον. Ἀλλὰ σοὶ μὲν, ἔφην, ἀγαθὰ γένοιτο τῆς διακονίας· τὸν δὲ ἄνθρωπον, ὃν λέγεις, ἄγε πρὸς ἡμᾶς. Καὶ ὁ μὲν ἀπῆλθεν, ἐγὼ δὲ πρὸς τὸν Αἰγύπτιον εἰσελθὼν, τύπτων τε αὐτὸν πὺξ κατὰ τῶν προσώπων, καὶ δευτέραν δὲ καὶ τρίτην, θορυβῶν δ' ἅμα καὶ λέγων, εἶπον· Τί δέδωκας Λευκίππῃ; καὶ πόθεν μαίνεται; Ὁ δὲ φοβηθεὶς, καταλέγει πάντα, ὅσα ἡμῖν ὁ Χαιρέας διηγήσατο. Τὸν μὲν οὖν εἴχομεν ἐν φυλακῇ καθείρξαντες.

ιϛʹ. Κἂν τούτῳ παρῆν ὁ Χαιρέας ἄγων τὸν ἄνθρωπον. λέγω οὖν πρὸς ἀμφοτέρους· Τοὺς μὲν τέτταρας χρυσοῦς ἤδη λάβετε μισθὸν ἀγαθῆς μηνύσεως. ἀκούσατε δὴ ὡς ἔχω περὶ τοῦ φαρμάκου. ὁρᾶτε ὡς

contra paſtores geſtum eſt, militabat: illumque veſtra cauſa fuiſſe a fortuna ſervatum, ſimile vero videtur. Is pro reddenda incolumitate nummos aureos quatuor dari ſibi petit, medicamentum habere ſe affirmans, quod prioris vim ſolvat. Atqui tibi quoque, inquam ego, pro beneficio iſto gratia referetur. Verum hunc, quem dicis, hominem arceſſe. Atque ille quidem abiit: ego vero Aegyptium miniſtrum domi conveniens, pugnis in faciem iterum ac tertio percuſſi, ac minaci voce: Quidnam Leucippae dediſti? unde inſanit? Tum perterrefactus ille, quae ex Chaereae ſermone didiceram, omnia enarravit. Hominem itaque in cuſtodiam dedimus.

XVI. Interea cum Gorgiae famulo Chaerea reverſus eſt: quibus pecuniam ſtatim diſſolvens, Evangelia, inquam, accipite: ſed, quae mea de medicamento veſtro ſententia ſit, audite. Praeſentium puellae huius malorum

καὶ τῶν παρόντων τῇ γυναικὶ κακῶν αἴτιον γέγονε φάρμακον. οὐκ ἀκίνδυνον δὲ ἐπιφαρμάσσειν τὰ σπλάγχνα ἤδη πεφαρμαγμένα. Φέρε, εἴπατε, ὅ, τι καὶ ἔχει τὸ φάρμακον τοῦτο, καὶ παρόντων ἡμῶν σκευάσατε· χρυσοῖ δὲ ὑμῖν ἄλλοι τέτταρες μισθὸς, ἂν οὕτω ποιῆτε. Καὶ ὁ ἄνθρωπος, Δίκαια, ἔφη, φοβῇ· τὰ δὲ ἐμβαλλόμενα κοινὰ, καὶ πάντα ἐδώδιμα· καὶ αὐτὸς δὲ τούτων ἀπογεύσομαι τοσοῦτον, ὅσον καὶ ἡ γυνὴ λάβοι. Καὶ ἅμα κελεύει τινὰ πριάμενον κομίζειν, ἕκαστον εἰπών. ὥστε ταχὺ μὲν ἐκομίσθη, παρόντων δὲ ἡμῶν συνέτριψεν πάντα ὁμοῦ, καὶ δίχα διελών· Τὸ μὲν αὐτὸς, ἔφη, πίομαι πρῶτος, τὸ δὲ δώσω τῇ γυναικί. κοιμηθήσεται δὲ πάντως δι' ὅλης νυκτὸς λαβοῦσα· περὶ δὲ τὴν ἕω καὶ τὸν ὕπνον καὶ τὴν νόσον ἀποθήσεται. Λαμβάνει δὴ τοῦ φαρμάκου πρῶτος αὐτὸς, τὸ δὲ λοιπὸν κελεύει περὶ τὴν ἑσπέραν δοῦναι πιεῖν. Ἐγὼ δὲ

caufam potionem fuiffe fcitis: idcirco minime tutum exiftimo, ut infectam pharmaco alvum aliis rurfum medicaminibus irritemus. Agitedum ergo, quid hoc in medicamento infit, denuntiate, ac praefentibus nobis parate. Quod fi feceritis, alteram tantam pecuniam vobis muneri dabo. Tum famulus ille, Iufte, inquit, formidas. Ceterum, quae paranda funt, communia & efui apta omnia credas velim: ego tantum mihi ex iis fumam, quantum puellae daturus fum. Ac ftatim quendam fingula nominatim emtum ire, atque afferre iuffit, aliaque omnia fpectantibus nobis contrivit; duabufque partibus factis, Hanc, inquit, prior ipfe bibam: alteram mulieri dabo: quae, illa epota, totam omnino noctem dormiet. Adventante luce, & fomno & morbo liberabitur. Ita primus ipfe potionem haufit: reliquum ut vefperi puellae dare-

ἄπειμι, ἔφη, κοιμηθησόμενος· τὸ γὰρ φάρμακον οὕτω βούλεται. Ταῦτα εἰπὼν ἀπῆλθε, τοὺς τέτταρας χρυσοῦς παρ' ἐμοῦ λαβών. Τοὺς δὲ λοιποὺς, ἔφην, δώσω, εἰ ῥαίσειεν ἐκ τῆς νόσου.

ιζ'. Ἐπεὶ οὖν καιρὸς ἦν πιεῖν αὐτὴν τὸ φάρμακον, ἐγχέας, προσηυχόμην αὐτῷ· Ὦ γῆς τέκνον, φάρμακον, ὦ δῶρον Ἀσκληπιοῦ, ἀληθεύσειέν σου τὰ ἐπαγγέλματα, εὐτυχέστερόν μοι γενοῦ καὶ σῶζέ μου τὴν φιλτάτην. νίκησον τὸ βάρβαρον ἐκεῖνο καὶ ἄγριον φάρμακον. Ταῦτα δοὺς τῷ φαρμάκῳ τὰ συνθήματα, καὶ καταφιλήσας τὸ ἔκπωμα, δίδωμι τῇ Λευκίππῃ πιεῖν. ἡ δὲ, ὡς ὁ ἄνθρωπος εἶπε, μετὰ μικρὸν ἔκειτο καθεύδουσα. κἀγὼ παρακαθήμενος, ἔλεγον πρὸς αὐτὴν ὡς ἀκούουσαν· Ἆρά μοι σωφρονήσειας ἀληθῶς; ἆρά με ποτε γνωρίσειας; ἆρά σου τὴν φωνὴν ἐκείνην ἀπολήψομαι; μάντευσαί τι καὶ νῦν καθεύδουσα. καὶ γὰρ χθὲς

tur, praecepit: feque, quoniam ita potio cogeret, dormitum ire teftatus, nummis quatuor acceptis abiit. Nam reliquos, fimulatque Leucippe convaluiffet, numeraturum me promiferam.

XVII. Pofteaquam dandi medicamenti tempus venit, illud ego mifcens, ita fum allocutus: O terra genita, atque ab Aefculapio mortalium generi primum data medicina, utinam, quae mihi de te promiffa fuerunt, vera fint! tu mihi propitia efto, deviĉtoque barbaro & agrefti veneno illo, cariffimam puellam incolumem reddito. Hac medicinae teffera data, poculoque diffuaviato, puellae potionem dedi, quam non ita multo poft fomnus, uti vir ille praefignificarat, complexus eft. Ac tum ego ei affidens dormientem, quafi audiret, ita propemodum affatus fum: Verene tu nunc refipifces? Ecquid tu me agnofces? ecquid ego vocem tuam audiam? Age, iam aliquid etiam

τοῦ Γοργίου κατεμαντεύσω. δικαίως εὐτυχεῖς ἄρα· μᾶλλον κοιμωμένη. γρηγοροῦσα μὲν γὰρ μανίαν δυστυχεῖς· τὰ δὲ ἐνύπνιά σου σωφρονεῖ. Ταῦτα μου διαλεγομένου ὡς πρὸς ἀκούουσαν Λευκίππην, μόλις ἡ πολύευκτος ἠὼς ἀναφαίνεται, καὶ ἡ Λευκίππη φθέγγεται, καὶ ἦν ἡ φωνή· Κλειτοφῶν. Ἀναπηδήσας οὖν πρόσειμί τε αὐτῇ, καὶ πυνθάνομαι πῶς ἔχει. ἡ δὲ ἐῴκει μὲν μηδὲν ὧν ἔπραξεν ἐγνωκέναι. τὰ δεσμὰ δὲ ἰδοῦσα ἐθαύμαζεν, καὶ ἐπυνθάνετο τίς ὁ δήσας εἴη; ἐγὼ δὲ ἰδὼν σωφρονοῦσαν, ὑπὸ πολλῆς χαρᾶς, ἔλυον μὲν μετὰ θορύβου τὰ δεσμά· μετὰ ταῦτα δὲ ἤδη τὸ πᾶν αὐτῇ διηγοῦμαι. ἡ δὲ ᾐσχύνετο ἀκροωμένη, καὶ ἠρυθρία, καὶ ἐνόμιζε τότε αὐτὰ ποιεῖν. τὴν μὲν οὖν ἀνελάμβανον παραμυθούμενος. τοῦ δὲ φαρμάκου τὸν μισθὸν ἀποδίδωμι μάλα ἀσμένως. ἦν δὲ τὸ πᾶν ἡμῖν

nunc in ſomnis vaticinare: nam heri quoque de Gorgia divinaſti. Magna tua merito eſt vigilantis felicitas, ſed dormientis maior: vigilantem enim inſania miſeram reddit; dormientis autem inſomnia prudentiam prae ſe ferunt. Haec me, tanquam cum audiente puella, colloquente, tandem optata dies illuxit: Leucippeque tum vocem mittens me nomine appellavit. Exſiliens itaque, & propior factus, ut valeret, rogavi. At illa nihil eorum, quae geſſerat, ſcire mihi viſa eſt: ſed vinctam ſe cernens admirabatur: &, a quo vincta fuiſſet, quaerebat. Tunc ego mentis compotem factam eam intelligens, ac prae nimio gaudio geſtiens, vincula ſolvi, omniaque, uti acta fuerant, aperui. Quae cum audiret, rubore ſuffundebatur, ac ſe tum etiam inſanire putabat. Quocirca conſolans illam bono eſſe animo iuſſi, & medicamenti pretium perlibenter exſolvi. Viaticum enim omne nobis incolume in

ἐφόδιον σῶον. ὁ γὰρ Σάτυρος ἔτυχεν ἐζωσμένος, ὅτε ἐναυαγήσαμεν. οὐκ ἀφῄρητο δὲ ὑπὸ τῶν λῃστῶν οὔτε αὐτὸς, οὔτε ὁ Μενέλαος, οὐδὲν, ὧν εἶχεν.

ιη'. Ἐν τούτῳ δὲ καὶ τοὺς λῃστὰς ἐπελθοῦσα δύναμις μείζων ἀπὸ τῆς μητροπόλεως παρεστήσατο, καὶ πᾶσαν αὐτῶν εἰς ἔδαφος κατέστρεψε τὴν πόλιν. Ἐλευθερωθέντος δὲ τοῦ ποταμοῦ τῆς τῶν βουκόλων ὕβρεως, παρεσκευαζόμεθα τὸν ἐπὶ τὴν Ἀλεξάνδρειαν πλοῦν. συνέπλει δὲ ἡμῖν καὶ ὁ Χαιρέας, φίλος ἤδη γενόμενος ἐκ τῆς τοῦ φαρμάκου μηνύσεως. ἦν δὲ τὸ μὲν γένος ἐκ τῆς νήσου τῆς Φάρου, τὴν δὲ τέχνην ἁλιεὺς, ἐστρατεύετο δὲ μισθῷ κατὰ τῶν βουκόλων τὴν ἐν ταῖς ναυσὶ στρατείαν. ὥστε μετὰ τὸν πόλεμον τῆς στρατείας ἀπήλλακτο. Ἦν οὖν ἐξ ἀπλοίας μακρᾶς πλεόντων πάντα μεστὰ, καὶ πολλή τις ὄψεως ἡδονὴ, ναυτῶν ᾠδὴ, πλωτήρων κρότος, χορεία νεῶν, καὶ ἦν ἅπας

ipſo etiam naufragio Satyrus praeſtiterat: nec poſt aut ipſe, aut Menelaus, aut e ſuo quidquam in latronum poteſtate remanſerat.

XVIII. Interea copiae maiores a principe civitate adverſus latrones immiſſae ſunt: quae urbem illorum univerſam funditus everterunt. Flumine a paſtorum iniuria liberato, Alexandriam petere inſtituimus, adiuncto nobis Chaerea: quem in aere noſtro ob factum potionis indicium receperamus. Erat is ex inſula Pharo piſcator; ſed qui tunc adverſus paſtores in exercitu navali ſtipendia merebat, & confecto bello dimiſſus fuerat. Itaque cum latronum metu multum temporis navigatio intermiſſa fuiſſet, iis devictis omnia navigantibus completa ſunt: videntibuſque magnam afferebant voluptatem nautarum cantus, vectorum plauſus, navium ordo, & fluminis celebritas.

ὁ ποταμὸς ἑορτή· ἐῴκει δὲ ὁ πλοῦς κωμάζοντι ποταμῷ· ἔπινον δὲ καὶ τοῦ Νείλου τότε πρῶτον ἄνευ τῆς πρὸς οἶνον ὁμιλίας, κρῖναι θέλων τοῦ πόματος τὴν ἡδονήν· οἶνος γὰρ φύσεως ὕδατος κλοπή. ἀρυσάμενος οὖν ὑάλου τῆς διαφανοῦς κύλικα, τὸ ὕδωρ ἑώρων ὑπὸ λευκότητος πρὸς τὸ ἔκπωμα ἁμιλλώμενον, καὶ τὸ ἔκπωμα νικώμενον. γλυκὺ δὲ πινόμενον ἦν καὶ ψυχρὸν ἐν μέτρῳ τῆς ἡδονῆς. οἶδα γὰρ ἐνίους τῶν παρ᾽ Ἕλλησι ποταμῶν καὶ τιτρώσκοντας. τούτῳ συνέκρινον αὐτοὺς τῷ ποταμῷ. διὰ τοῦτο αὐτὸν ἄκρατον ὁ Αἰγύπτιος πίνων οὐ φοβεῖται, Διονύσου μὴ δεόμενος. ἐθαύμασα δὲ αὐτοῦ καὶ τὸν τρόπον τοῦ ποτοῦ. οὔτε γὰρ ἀρύσαντες πίνειν ἐθέλουσιν, οὔτε ἐκ πωμάτων ἀνέχονται, ἔκπωμα αὐτουργὸν ἔχοντες. ἔκπωμα γὰρ αὐτοῖς ἐστιν ἡ χείρ. εἰ γάρ τις αὐτῶν διψήσει, πλέων προκύψας ἐκ τῆς νεὼς τὸ μὲν πρόσωπον εἰς τὸν ποταμὸν προβέβληκεν, τὴν δὲ χεῖρα εἰς τὸ ὕδωρ καθῆκεν, καὶ κοίλην βα-

Sane autem diem feſtum agenti fluvio ſimilis navigatio videbatur. Atque ego Nili ſuavitatem cognoſcere cupiens, illius aquam eo primum die, nullo admixto vino, bibi: vinum enim impedimento eſt, quo minus aquae natura percipiatur. Vitreo igitur ſcypho maxime perſpicuo repleto, aquam cum poculo candore contendere ac ſuperiorem evadere animadverti. Bibenti autem & dulcis erat, & ſine iniucunditate frigida: quaedam enim in Graecia flumina eſſe ſcio adeo frigida, ut bibentibus moleſta ſint. Ea ego tanto fluvio comparabam. Hinc porro fit, ut Aegyptii, aquarum huiuſmodi copiam ſuppeditante Nilo, vini penuriam haud metuant. Quin etiam ipſum bibendi modum admiratus ſum. Neque enim cadis, aut poculis, ſed ſua ipſorum manu bibituri utuntur: ſi enim navigantium aliquis ſitiat, in flumen e navi ſe inclinans, ma-

πτίσας καὶ πλησάμενος ὕδατος, ἀκοντίζει κατὰ τοῦ στόματος τὸ πόμα, καὶ τυγχάνει τοῦ σκοποῦ· τὸ δὲ κεχηνὸς, περιμένει τὴν βολὴν, καὶ δέχεται, καὶ κλείεται, καὶ οὐκ ἐᾷ τὸ ὕδωρ αὖθις ἔξω πεσεῖν.

ιθ΄. Εἶδον δὲ καὶ θηρίον ἄλλο τοῦ Νείλου, ὑπὲρ τὸν ἵππον τὸν ποτάμιον εἰς ἀλκὴν ἐπαινούμενον. κροκόδειλος δὲ ὄνομα ἦν αὐτῷ. παρήλλακτο δὲ καὶ τὴν μορφὴν εἰς ἰχθὺν ὁμοῦ καὶ θηρίον μέγα. μέγας μὲν γὰρ ἐκ κεφαλῆς εἰς οὐρὰν, τὸ δὲ εὖρος τοῦ μεγέθους οὐ κατὰ λόγον. δορὰ δὲ φολίσι ῥυσσή. πετραία δὲ τῶν νώτων ἡ χροιὰ καὶ μέλαινα, ἡ γαστὴρ δὲ λευκή· πόδες τέτταρες, εἰς τὸ πλάγιον ἠρέμα κυρτούμενοι, καθάπερ χερσαία χελώνη· οὐρὰ μακρὰ καὶ παχεῖα, καὶ ἐοικυῖα στερεῷ σώματι. οὐ γὰρ ὡς τοῖς ἄλλοις περίκειται θηρίοις, ἀλλ᾽ ἔστι τῆς ῥάχεως ἐν ὀστοῦν τελευτὴ, καὶ μέρος αὐτοῦ τῶν ὅλων. ἐντέτμηται δὲ εἰς ἀκάνθας ἄνωθεν ἀναιδεῖς, οἷαι τῶν πριόνων εἰσὶν αἱ αἰχμαί. αὐ-

num cavam demergit, hauſtamque aquam in os iaculatur, minime a ſcopo aberrans: illud autem patens iactum exſpectat, ſuſcipitque: dein clauditur, & aquam excidere non ſinit.

XIX. Ceterum aliud etiam animal vidi, ferocia Nili equo praeſtantius. Crocodilo ei nomen eſt: forma vero cum piſcis, tum belluae terreſtris magnae. Longum enim inter caput & caudam ſpatium intercedit: ſed longitudini latitudo proportione haudquaquam reſpondet. Cutis eius ſquamis aſpera eſt. Dorſum petrae ſimile, ac nigrum: alvus candida: pedes ipſi quatuor in obliquum deflexi, quales teſtudinis terreſtris. Cauda longa, craſſa, ſolidoque corpori ſimilis. Neque enim, ut in aliis animalibus habetur, eſt, ſed oſſe uno, qui ſpinae finis, ac natium pars eſt, conſtat, aſperis in ſuperiore parte acuminibus, ut ſunt ſerrae dentes, referta, & qua flagelli loco in capienda

τῇ δὲ αὐτῷ καὶ μάστιξ ἐπὶ τῆς ἄγρας γίνεται. τύπτει γὰρ αὐτῇ πρὸς οὓς ἂν διαπαλαίῃ, καὶ πολλὰ ποιεῖ τραύματα πληγῇ μιᾷ. κεφαλὴ δὲ αὐτῷ τοῖς νώτοις συμφύεται, καὶ εἰς μίαν στάθμην ἰθύνεται· ἔκλεψε γὰρ αὐτοῦ τὴν δειρὰν ἡ φύσις. ἔστιν δὲ τοῦ λοιποῦ βλοσυρωπότερος τὰ στόματα, καὶ ἐπιπλεῖον ἐπὶ τὰς γένυς ἐκτείνεται καὶ ἀνοίγεται πᾶσα. τὸν μὲν γὰρ ἄλλον χρόνον, παρ' ὅσον οὐκ ἔχηνε τὸ θηρίον, ἔστι κεφαλή· ὅταν δὲ χάνῃ πρὸς τὰς ἄγρας, ὅλος στόμα γίνεται. ἀνοίγει δὲ τὴν γένυν τὴν ἄνω, τὴν δὲ κάτω στερεὰν ἔχει, καὶ ἀπόστασίς ἐστι πολλὴ, καὶ μέχρι τῶν ὤμων τὸ χάσμα, καὶ εὐθὺς ἡ γαστήρ. ὀδόντες δὲ πολλοὶ, καὶ ἐπὶ πλεῖστον τεταγμένοι. φασὶ δὲ ὅτι τὸν ἀριθμὸν τυγχάνουσιν, ὅσας ὁ θεὸς εἰς ὅλον ἔτος ἀναλάμπει τὰς ἡμέρας. ἂν δὲ ἐκπεράσῃ πρὸς τὴν γῆν, ὅσον ἔχει δυνάμεως, ἀπιστήσεις ἰδὼν τὴν τοῦ σώματος ὁλκήν.

praeda utatur: illa enim feras, quibufcum pugnat, percutit, multaque uno ictu vulnera imponit. Caput humeris adiunctum, & ad amuffim directum eft: natura quippe collum eius occuluit. Reliquum corpus horribile eft, praefertim cum maxillae diducuntur, & os totum aperitur. Quamdiu enim bellua non hiat, caput illi eft: in hiando vero ad praedam capiendam os totum fit: tumque fuperiorem tantum genam movet, inferiorem autem nequaquam. Porro hiatus ingens eft, utpote qui ad humeros ufque protenditur, eique ftatim fubiicitur venter. Dentes habet multos, longa ferie pectinatim fefe ftipantes: quos quidem, cum ad numerum rediguntur, tot reperiri aiunt, quot dies integro anno Deus illuftrat. Quantis autem viribus polleat, fi corporis molem tum, cum in terram egreditur, fpectes, minime utique credas.

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

Τριων δὲ πλεύσαντες ἡμερῶν εἰς Ἀλεξάνδρειαν ἤλθομεν. Ἀνιόντι δέ μοι κατὰ τὰς ἡλίου καλουμένας πύλας, συνηντᾶτο εὐθὺς τῆς πόλεως ἀστράπτον τὸ κάλλος, καί μου τοὺς ὀφθαλμοὺς ἐγέμισεν ἡδονῆς. στάθμη μὲν κιόνων ὄρθιος ἑκατέρωθεν ἐκ τῶν ἡλίου πυλῶν, ἐς τὰς σελήνης πύλας· οὗτοι γὰρ τῆς πόλεως οἱ πυλωροί. ἐν μέσῳ δὴ τῶν κιόνων, τῆς πόλεως τὸ πεδίον. ὁδὸς δὲ διὰ τοῦ πεδίου πολλὴ, καὶ ἔνδημος ἀποδημία. Ὀλίγους δὲ τῆς πόλεως σταδίους προελθὼν, ἦλθον εἰς τὸν ἐπώνυμον Ἀλεξάνδρου τόπον. εἶδον δὲ ἐντεῦθεν ἄλλην πόλιν, καὶ σχιζόμενον ταύτῃ τὸ κάλλος. ὅσος γὰρ κιόνων ὄρχατος ἐς τὴν εὐθυωρίαν, τοσοῦτος ἕτερος εἰς τὰ ἐγκάρσια. ἐγὼ δὲ μερίζων τοὺς ὀφθαλ-

LIBER QUINTUS.

Confecto tandem trium dierum ſpatio, Alexandriam nave delati ſumus: mihique Solis, quas vocant, portas introëunti mira quaedam urbis pulchritudo offertur, & voluptate oculos complevit. A Solis enim ad Lunae uſque portas, in eorum autem Deorum tutela portae ipſae ſunt, recta columnarum ſeries utrinque protendebatur. Quarum in medio forum ſitum erat, a quo viae multae ducebantur, adeo, ut ipſe in urbe perambulans populus, peregrinationem quodammodo ſuſcepiſſe videretur. Illinc aliquot urbis ſtadia progreſſus, ad eum locum, cui ab Alexandro nomen eſt, perveni: aliamque civitatem vidi, cuius pulchritudo hoc pacto diſtincta erat, ut quam longus eſſet columnarum in rectum diſpoſitarum ordo, tam longus alius in obliquum ſeſe intuentibus offer-

μοὺς ἐς πάσας τὰς ἀγυιὰς, θεατὴς ἀκόρεστος ἤμην, καὶ τὸ κάλλος ὅλως οὐκ ἐξήρκουν ἰδεῖν. τὰ μὲν ἔβλεπον, τὰ δ᾽ ἔμελλον, τὰ δ᾽ ἠπειγόμην ἰδεῖν, τὰ δὲ οὐκ ἤθελον παρελθεῖν. ἐκράτει τὴν θέαν τὰ ὁρώμενα, εἷλκε τὰ προσδοκώμενα. περιάγων οὖν ἐμαυτὸν εἰς πάσας τὰς ἀγυιὰς, καὶ πρὸς τὴν ὄψιν δυσερωτιῶν, εἶπον καμών· Ὀφθαλμοὶ, νενικήμεθα. Εἶδον δὲ καὶ δύο καινὰ καὶ παράλογα, μεγέθους πρὸς τὸ κάλλος ἅμιλλαν, καὶ δήμου πρὸς πόλιν φιλονεικίαν, καὶ ἀμφότερα νικῶντα. ἡ μὲν γὰρ ἠπείρου μείζων ἦν· ὁ δὲ πλείων ἔθνους. καὶ εἰ μὲν εἰς τὴν πόλιν ἀπεῖδον, ἠπίστουν εἰ πληρώσειέν τις δῆμος αὐτὴν ἀνδρῶν. εἰ δὲ εἰς τὸν δῆμον ἐθεασάμην, ἐθαύμαζον εἰ χωρήσειέν τις αὐτὸν πόλις. τοιαύτη τις οὖν ἰσότητος τρυτάνη.

ret. In omnes itaque vias obtutus diſpertiens, neque ſpectando ſatiari, neque pulchritudinem omnem aſſequi poteram. Quaedam enim ante oculos habebam, quaedam mox habiturus eram, nonnulla videre praeoptabam, alia etiam erant, quae praetermittenda minime cenſebam: ac licet, quae perſpexeramus, oculos occupaſſent, tamen, quae videnda ſupererant, nos ad ſeſe alliciebant: quamobrem viis omnibus perluſtratis, cum ad omnia contemplanda ſufficere oculorum acies nequiret, feſſus ſpectando exclamavi: Oculi! victi ſumus. Illud vero novum atque incredibile mihi ante omnia viſum eſt. Urbis enim amplitudo cum pulchritudine, & magnitudo cum multitudine habitatorum ita certabat, ut neutra alteri cederet. Nam & illa continente maior, & haec innumerabilis erat. Porro intuenti mihi civitas amplior apparebat, quam ut habitatoribus compleri poſſet: populus autem tam numeroſus videbatur, ut, aliquane urbe contineri valeret, dubitare cogerer. Ita aequo haec inter ſe marte contendebant.

β΄. Ἦν δέ πως καὶ κατὰ δαίμονα ἱερομηνία τοῦ μεγάλου θεοῦ, ὃν Δία μὲν Ἕλληνες, Σέραπιν δὲ καλοῦσιν Αἰγύπτιοι· ἦν δὲ καὶ πυρὸς δᾳδουχία. καὶ τοῦτο μέγιστον ἐθεασάμην. ἑσπέρα μὲν γὰρ ἦν, καὶ ὁ ἥλιος κατεδύετο, καὶ νὺξ ἦν οὐδαμοῦ· ἀλλὰ ἄλλος ἀνέτελλεν ἥλιος κατακερματίζων. τότε γὰρ εἶδον πόλιν ἐρίζουσαν περὶ κάλλους οὐρανῷ. Ἐθεασάμην δὲ καὶ τὸν μειλίχιον Δία, καὶ τὸν Διὸς οὐράνιον νεώ. Προσευξάμενοι δὴ τῷ μεγάλῳ θεῷ, καὶ ἱκετεύσαντες στῆναι ἡμῖν ποτε τὰ δεινὰ, εἰς τὴν καταγωγὴν ἤλθομεν, ἣν ἔτυχεν ὁ Μενέλαος ἡμῖν μεμισθωμένος. οὐκ ἐῴκει δὲ ἄρα ὁ θεὸς ἐπινεύειν ταῖς ἡμετέραις εὐχαῖς, ἀλλ᾽ ἔμενεν ἡμᾶς καὶ ἄλλο τῆς τύχης γυμνάσιον.

γ΄. Ὁ γὰρ Χαιρέας πρὸ πολλοῦ τῆς Λευκίππης ἐλάνθανεν ἐρῶν, καὶ διὰ τοῦτο μεμήνυκε τὸ φάρμακον.

II. Forte autem eo tempore magni numinis, quem Δία Graeci, Serapin Aegyptii vocant, festi dies celebrabantur, flammaeque passim relucebant, idque non vulgari admiratione dignum animadverti: vespera enim cum adventasset, ac iam sol occidisset, nox tamen nondum erat, sed alius minutas quasdam in partes divisus sol exoriebatur. Tunc urbem illam cum coelo etiam pulchritudine contendere iudicavi. Milichium quin etiam Iovem, coelesteque illius templum vidi: cuius magnum numen cum venerati essemus, precatique, ut nostrorum tandem infortuniorum finis fieret, conductam a Menelao domum ingressi fuimus. Sed precibus nostris Deus ille nequaquam annuisse visus est: aliud enim discrimen restabat, in quo fortuna nos adhuc exerceret.

III. Nam Chaerea Leucippen multo antea clam amabat, medicamentique indicium fecerat, simul ut se in familia-

ἅμα μὲν ἀφορμὴν οἰκειότητος αὐτῷ θηρώμενος· ἅμα δὲ καὶ αὐτῷ σώζων τὴν κόρην. εἰδὼς οὖν ἀμηχανίαν τοῦ τυχεῖν, συντίθησιν ἐπιβουλὴν, λῃστῶν ὁμοτέχνων συγκροτήσας, ἅτε θαλάσσιος ὢν ἄνθρωπος, καὶ, συνθέμενος αὐτοῖς, ἃ δεῖ ποιεῖν, ἐπὶ ξενίαν ἡμᾶς εἰς τὴν Φάρον καλεῖ, σκηψάμενος γενεθλίων ἄγειν ἡμέραν. ὡς οὖν προήλθομεν τῶν θυρῶν, οἰωνὸς ἡμῖν γίνεται πονηρὸς, χελιδόνα κίρκος διώκων, τὴν Λευκίππην εἰς τὴν κεφαλὴν πατάσσει τῷ πτερῷ. Ταραχθεὶς οὖν ἐπὶ τούτῳ, καὶ ἀνανεύσας εἰς οὐρανόν· Ὦ Ζεῦ, τί τοῦτο, ἔφην, φαίνεις ἡμῖν τέρας; ἀλλ᾽ εἰ τῷ ὄντι σὸς ὄρνις οὗτος, ἄλλον ἡμῖν σαφέστερον δεῖξον οἰωνόν. Μεταστραφεὶς οὖν, ἔτυχον γὰρ παρεστὼς ἐργαστηρίῳ ζωγράφου, γραφὴν ὁρῶ κειμένην, ἥτις ὑπηνίττετο προσόμοιον. Πρόκνης γὰρ εἶχε φθορὰν, καὶ τὴν βίαν Τηρέως, καὶ τῆς γλώττης τὴν τομήν. ἦν δὲ ὁλόκληρον τὸ διήγημα

ritatem noſtram eâ occaſione arrepta inſinuaret, ſimul ut puellam ſibi ipſi ſervaret. Qua cum potiri difficile admodum eſſe intelligeret, ad parandas inſidias animum adiecit. Itaque praedonibus aliquot ſui ſimilibus collectis, rerum enim maritimarum non imperitus fuerat, quid ab iis fieri velit, docet: mox natalem diem ſuum agere ſimulans, nos ad Pharum viſendam invitat. Igitur domo egreſſis nobis ſiniſtrum in via omen evenit. Hirundinem inſequens accipiter, Leucippes caput ala percuſſit. Quare perturbatus, coelumque ſuſpiciens: Quid hoc, inquam, portenti eſt, Iuppiter, quid nobis commonſtras? Quin potius, ſi avis haec vere tua eſt, aliud nobis manifeſtius augurium oſtendis? Meque convertens, ut forte prope pictoris officinam conſtiteram, collocatam animadverti tabellam, quae Prognes infortunium, Terei violentiam, linguae abſciſſionem, integram denique fabulae totius expli-

τοῦ δράματος, ὁ πέπλος, ὁ Τηρεὺς, ἡ τράπεζα, τὸν πέπλον ἡπλωμένον εἱστήκει κρατοῦσα θεράπαινα. Φιλομήλα παρεστήκει, καὶ ἐπετίθει τῷ πέπλῳ τὸν δάκτυλον, καὶ ἐδείκνυεν τῶν ὑφασμάτων τὰς γραφάς. ἡ Πρόκνη πρὸς τὴν δεῖξιν ἐνενεύκει, καὶ δριμὺ ἔβλεπε, καὶ ὠργίζετο τῇ γραφῇ. Θρᾷξ ὁ Τηρεὺς ἐνύφαντο Φιλομήλᾳ παλαίων πάλην Ἀφροδισίαν. ἐσπάρακτο τὰς κόμας ἡ γυνὴ, τὸ ζῶσμα [1] ἐλέλυτο, τὸν χιτῶνα κατέρρηκτο, ἡμίγυμνος τὸ στέρνον ἦν, τὴν δεξιὰν ἐπὶ ὀφθαλμοὺς ἤρειδεν τοῦ Τηρέως, τῇ λαιᾷ τὰ διερρωγότα τοῦ χιτῶνος ἐπὶ τοὺς μαζοὺς ἔκλειεν. ἀγκάλαις εἶχε τὴν Φιλομήλαν ὁ Τηρεὺς, ἕλκων πρὸς ἑαυτὸν ὡς ἐνῆν τὸ σῶμα, καὶ σφίγγων ἐν χρῷ τὴν συμπλοκήν. Ὧδε μὲν τὴν τοῦ πέπλου γραφὴν ὕφηνεν ὁ ζωγράφος. τὸ δὲ λοιπὸν τῆς εἰκόνος, αἱ γυναῖκες ἐν κανῷ τὰ λείψανα τοῦ δείπνου τῷ Τηρεῖ δεικνύουσιν, κεφαλὴν τοῦ παιδὸς καὶ χεῖρας· γελῶσι δὲ ἅμα καὶ φοβοῦνται. ἀνα-

cationem continebat. In ea enim peplum, Tereus, menſa, ſerva explicatum peplum tenens, & Philomela, quae in eo picta erant, digito indicans, cernebantur. Progne ad indicium annuebat, torveque intuebatur, ac picturae propemodum iraſcebatur. Tereus, genere Thrax, intextus erat, cum Philomela luctam veneream luctans, quae, capillis evulſis, cingulo ſoluto, veſte diſciſſa, ſeminudum pectus oſtendebat: dextraque Tereo involabat in oculos, ſiniſtra vero lacerae veſtis parte mammas obtegere nitebatur. Mulierem Tereus totis ad ſe viribus trahebat, arcteque complexabatur. Atque ita quidem pepli diſpoſita erat pictura. In reliqua tabellae parte mulieres in lance Tereo coenae reliquias, pueri ſcilicet caput atque manus offe-

1 Ζῶσμα) Ζῶμα, tanquam Villoiſon ad Long. Animadv. ἀττικώτερον legendum ſuadet p. 17.

πηδῶν ἐκ τῆς κλίνης ὁ Τηρεὺς ἐγέγραπτο· καὶ ἕλκων τὸ ξίφος ἐπὶ τὰς γυναῖκας, τὸ σκέλος ἤρειδεν ἐπὶ τὴν τράπεζαν. [1] ἡ δὲ οὔτε ἕστηκεν, οὔτε πέπτωκεν· ἀλλ' ἐδείκνυεν γραφὴν μέλλοντος πτώματος.

δ'. Λέγει οὖν ὁ Μενέλαος· Ἐμοὶ δοκεῖ τὴν εἰς Φάρον ὁδὸν ἐπισχεῖν. ὁρᾷς γὰρ οὐκ ἀγαθὰ δύο σύμβολα, τό, τε τοῦ ὄρνιθος καθ' ἡμῶν πτερὸν, καὶ τῆς εἰκόνος τὴν ἀπειλήν· λέγουσι δὲ οἱ τῶν συμβόλων ἐξηγηταὶ σκοπεῖν τοὺς μύθους τῶν εἰκόνων, ἂν ἐξιοῦσιν ἐπὶ πρᾶξιν ἡμῖν συντύχωσιν, καὶ ἐξομοιοῦν τὸ ἀποβησόμενον τῷ τῆς ἱστορίας λόγῳ. ὁρᾷς οὖν, πόσων γέμει κακῶν ἡ γραφή; ἔρωτος παρανόμου, μοιχείας ἀναισχύντου, γυναικείων ἀτυχημάτων. ὅθεν ἐπισχεῖν κελεύω τὴν ἔξοδον. Ἐδόκει μοι λέγειν εἰκότα, καὶ παραιτοῦμαι τὸν

rebant, ridentes identidem, & trementes. Ille autem ſtricto in eas gladio inſurgens, menſam brachio protrudere videbatur: quae nec ſtabat, nec cadebat: cadentis tamen formam referebat.

IV. Tum Menelaus: Mihi quidem, inquit, a profectione in Pharum abſtinendum videtur. Duo enim adverſa nobis portenta, volatum accipitris, & picturae minas, cernis. Monent autem prodigiorum interpretes, ut animum attendamus ad fabulas & argumenta imaginum, ſi quae nobis ad negotium aliquod proficiſcentibus occurrant, reique noſtrae eventum ex propoſitae fabulae argumento metiamur. Nonne obſcoeni amoris, impudentis adulterii, muliebrium infortuniorum, malorum denique omnium plenam hanc picturam vides? Ego quidem certe profectionem iſtam in aliud tempus diſtulerim. Sane oratio haec Menelai mihi non abſurda viſa eſt. Chaeream itaque valere

1 Idem de Tereo Ovidius Met. VI, 661:
Thracius ingenti menſas clamore repellit.

Χαιρέαν ἐκείνην τὴν ἡμέραν. ὁ μὲν οὖν σφόδρα ἀνιώμενος ἀπηλλάττετο, φήσας αὔριον ἐς ἡμᾶς ἀφίξεσθαι.

έ. Ἡ δὲ Λευκίππη λέγει πρός με· Φιλόμυθον γάρ πως τὸ τῶν γυναικῶν γένος· Τί βούλεται τῆς εἰκόνος ὁ μῦθος; καὶ τίνες αἱ ὄρνιθες αὗται; καὶ τίνες αἱ γυναῖκες, καὶ τίς ὁ ἀναιδὴς ἐκεῖνος ἀνήρ; Κἀγὼ καταλέγειν ἄρχομαι· Ἀηδὼν, καὶ χελιδὼν, καὶ ἔποψ, πάντες ἄνθρωποι, καὶ πάντες ὄρνιθες. Ἔποψ ὁ ἀνὴρ, αἱ δύο γυναῖκες, Φιλομήλα χελιδὼν, καὶ Πρόκνη ἀηδών. πόλις αὐταῖς Ἀθῆναι. Τηρεὺς ὁ ἀνὴρ, Πρόκνη Τήρεως γυνή. βαρβάροις δὲ, ὡς ἔοικεν, οὐχ ἱκανὴ πρὸς Ἀφροδίτην μία γυνὴ, μάλισθ' ὅταν αὐτῷ καιρὸς δίδωσι πρὸς ὕβριν τρυφᾶν. καιρὸς οὖν γίνεται τῷ Θρᾳκὶ τούτῳ χρήσασθαι τῇ φύσει, Πρόκνης ἡ φιλοστοργία.

iuſſi; qui triſtis admodum receſſit: Cras ad me, inquiens, proficiſci vos volo.

V. Tunc ad me converſa Leucippe, fabellarum enim cupidae mulieres ſunt: Quin tu, inquit, mihi narras, quid ſibi pictura haec, aveſque iſtae, & mulieres, cum viro illo impudenti, velint? Tum ego: Quos nunc, inquam, aves eſſe cernis, homines quondam fuere: ac mulieres quidem, Prognen ſcilicet ac Philomelam, illarum enim nomina haec ſunt, ſorores Athenis ortas fuiſſe, hancque in hirundinem, illam in luſciniam mutatas; virum autem, cui Tereo nomen fuit, genere Thracem, Prognesque maritum, in upupam converſum, tradunt. Barbarorum autem libidini, ut conſentaneum eſt, mulier una ſatis non eſt, praeſertim cum per contumeliam explendae cupiditatis oblata ſit occaſio. Prognes igitur erga ſororem pietas homini barbaro opportunitatem attulit, qua naturam ſuam ſecutus, in omni intemperantia ſeſe effunderet.

πέμπει γὰρ ἐπὶ τὴν ἀδελφὴν τὸν ἄνδρα τὸν Τηρέα. ὁ δὲ ἀπῄει μὲν ἔτι Πρόκνης ἀνήρ· ἀναστρέφει δὲ Φιλομήλας ἐραστὴς, καὶ κατὰ τὴν ὁδὸν ἄλλην αὐτῷ ποιεῖται τὴν Φιλομήλαν Πρόκνην. τὴν γλῶτταν τῆς Φιλομήλας φοβεῖται, καὶ ἕδνα τῶν γάμων αὐτῇ δίδωσι μηκέτι λαλεῖν, καὶ κείρει τῆς φωνῆς τὸ ἄνθος. ἀλλὰ πλέον ὤνησεν οὐδέν. ἡ γὰρ Φιλομήλας τέχνη σιωπῶσαν εὕρηκε φωνήν. ὑφαίνει γὰρ πέπλον ἄγγελον, καὶ τὸ δρᾶμα πλέκει ταῖς κρόκαις, καὶ μιμεῖται τὴν γλῶτταν ἡ χεὶρ, καὶ Πρόκνης τοῖς ὀφθαλμοῖς τὰ τῶν ὤτων μηνύει, καὶ πρὸς αὐτὴν, ἃ πέπονθε, τῇ κερκίδι λαλεῖ. ἡ Πρόκνη τὴν βίαν ἀκούει παρὰ τοῦ πέπλου, καὶ ἀμύνασθαι καθ' ὑπερβολὴν ζητεῖ τὸν ἄνδρα. ὀργαὶ δὲ δύο, καὶ δύο γυναῖκες εἰς ἓν πνέουσαι, καὶ ὕβρει κεράσασαι τὴν ζηλοτυπίαν δεῖπνον ἐπινοοῦσι τῶν γάμων ἀτυχέστερον. τὸ δὲ δεῖπνον ἦν ὁ παῖς Τηρέως, οὗ μήτηρ μὲν

Haec enim virum ad visendam sororem misit: qui, cum Prognes maritus abiisset, Philomelae amator est reversus, eamque sibi inter redeundum alteram Prognen fecit. Quod cum resciri nollet, hanc violati pudoris mercedem persolvit. Linguam enim puellae amputavit. Quamquam nihilo plus effecit. Mutum enim indicem Philomela excogitavit, remque omnem, sicuti gesta fuerat, in peplo filis intexuit: manuque linguam imitante, quae passa esset, quando auribus immittere non poterat, ob oculos Prognes ope radii texorii posuit. Progne vim sorori illatam ex pepli pictura cognovit: poenamque opinione omni maiorem de viro sumere aggressa est. Cumque ira duplici mulieres duae arderent, conspiratione facta, obtrectationeque contumeliae coniuncta, coenam Philomelae nuptiis longe detestabiliorem fecerunt. Filium enim patri apposuerunt, cuius

ἦν πρὸ τῆς ὀργῆς ἡ Πρόκνη. τότε δὲ τῶν ὠδίνων ἐπελέληστο. οὕτως αἱ τῆς ζηλοτυπίας ὠδῖνες νικῶσι καὶ τὴν γαστέρα. μόνον γὰρ ὁρῶσαι γυναῖκες, ἀνιᾶσαι τὸν τὴν εὐνὴν λελυπηκότα, κἂν πάσχωσιν, ἐν οἷς ποιοῦσιν, οὐχ ἧττον κακὸν τὴν τοῦ πάσχειν λογίζονται συμφορὰν τῇ τοῦ ποιεῖν ἡδονῇ. ἐδείπνησεν ὁ Τηρεὺς δεῖπνον Ἐριννύων. αἱ δὲ ἐν κανῷ τὰ λείψανα τοῦ παιδίου παρέφερον, γελῶσαι φόβῳ. ὁ Τηρεὺς ὁρᾷ τὰ λείψανα τοῦ παιδίου, καὶ πενθεῖ τὴν τροφὴν, καὶ ἐγνώρισε ὢν τοῦ δείπνου πατήρ· γνωρίσας, μαίνεται, καὶ σπᾶται τὸ ξίφος, καὶ ἐπὶ τὰς γυναῖκας τρέχει. ἃς δέχεται ὁ ἀὴρ, καὶ ὁ Τηρεὺς αὐταῖς συναναβαίνει, καὶ ὄρνις γίνεται· καὶ τηροῦσι ἔτι τοῦ πάθους τὴν εἰκόνα. φεύγει μὲν ἀηδὼν, διώκει δὲ ὁ Τηρεύς· οὕτως ἐφύλαξε τὸ μῖσος καὶ μέχρι τῶν πτερῶν.

ante iram Progne mater fuerat. Sed tunc partus molestiam oblivioni tradiderat: ita obtrectationis furor uteri doloribus longe potentior est. Quamquam autem hoc illis molestum erat; tamen cum eum, qui maritalis tori leges violaverat, ulcisci se viderent, huiusmodi molestiam cum vindictae voluptate compensant. Posteaquam Tereus furiali mensae accumbens epulatus est, mulieres in lance nati reliquias ridentes pariter ac trepidantes protulerunt. Ex quibus natum a se absumtum intelligens, lugebat cibum, seque coenae genitorem agnovit. Quo facto cognito furore percitus, educto gladio in utramque irruit. At illas in aves repente mutatas aër suscepit: quibuscum Tereus quoque mutatus in volucrem sublatus est. Affectus autem illius imaginem etiamnum omnes servant. Luscinia enim fugit adhuc, upupa vero insequitur, ut post mutationem odium quoque servatum videatur.

στ΄. Τότε μὲν οὖν οὕτως ἐξεφύγομεν τὴν ἐπιβουλήν. ἐκερδήσαμεν δὲ οὐδὲν ἢ μίαν ἡμέραν. τῇ γὰρ ὑστεραίᾳ παρῆν ἕωθεν ὁ Χαιρέας· καὶ ἡμεῖς αἰδεσθέντες ἀντιλέγειν οὐκ εἴχομεν· ἐπιβάντες οὖν σκάφους, ἤλθομεν εἰς τὴν Φάρον. ὁ δὲ Μενέλαος ἔμεινεν αὐτοῦ, φήσας οὐχ ὑγιῶς ἔχειν. Πρῶτον μὲν οὖν ἡμᾶς ὁ Χαιρέας ἐπὶ τὸν πύργον ἄγει, καὶ δείκνυσι τὴν κατασκευὴν κάτωθεν θαυμασίαν τινα καὶ παράλογον. ὄρος ἦν ἐν μέσῃ τῇ θαλάσσῃ κείμενον, ψαῦον αὐτῶν τῶν νεφῶν. ὑπέῤῥει δὲ ὕδωρ κάτωθεν αὐτοῦ τοῦ ποιήματος, τὸ δὲ ἐπὶ θαλάσσης εἱστήκει κρεμάμενον. ἐς δὲ τὴν τοῦ ὄρους ἀκρόπολιν ὁ τῶν νεῶν κυβερνήτης ἀνέτελλεν ἄλλος. μετὰ δὲ ταῦτα ἡγεῖτο ἡμῖν ἐπὶ τὴν οἰκίαν. ἦν δὲ ἐπ' ἐσχάτου τῆς νήσου κειμένη ἐπ' αὐτῇ τῇ θαλάσσῃ.

ζ΄. Ἑσπέρας οὖν γενομένης, ὑπεξέρχεται μὲν ὁ

VI. Atque hoc quidem pacto tunc insidias vitavimus, nihil quidquam lucrati, praeterquam unum diem. Adfuit enim postridie mane Chaerea. Nosque verecundia permoti recusare amplius ausi non sumus. Quamobrem conscensa navi ad Pharum devenimus, uno excepto Menelao, qui cum se non admodum ex sententia valere diceret, domi remansit. Chaerea igitur nos primum in turrim duxit: substructionemque imam, miram illam quidem, & quodammodo incredibilem ostendit. Mons erat medio in mari situs, nebulas paene contingens: cuius sub radicibus aqua conspiciebatur, ita ut suspensae mari imminere viderentur. In turri, summo in monte aedificata, ignis elucet, quae quasi gubernator alius navigantes noctu dirigat. Haec cum vidissemus, in domum, quae in extrema insulae parte ad mare posita erat, introducti fuimus.

VII. Vix advesperaverat, cum Chaerea, ventrem pur-

Χαιρέας, πρόφασιν ποιησάμενος τὴν γαστέρα. μετὰ μικρὸν δὲ βοή τις ἐξαίφνης περὶ τὰς θύρας ἦν, καὶ εὐθὺς εἰστρέχουσιν ἄνθρωποι μεγάλοι καὶ πολλοὶ, μαχαίρας ἐσπασμένοι, καὶ ἐπὶ τὴν κόρην πάντες ὥρμησαν. ἐγὼ δὲ ὡς εἶδόν μου Φερομένην τὴν Φιλτάτην, οὐκ ἐνεγκὼν, ἵεμαι διὰ τῶν ξιφῶν· καί με παίει τις κατὰ τοῦ μηροῦ μαχαίρᾳ, καὶ ὤκλασα. καὶ ἐγὼ μὲν ἤδη πεσὼν, ἐῤῥεόμην αἵματι· οἱ δὲ ἐνθέμενοι τῷ σκάφει τὴν κόρην, ἔφευγον. Θορύβου δὲ καὶ βοῆς, οἷα ἐπὶ λῃσταῖς, γενομένης, ὁ στρατηγὸς τῆς νήσου παρῆν. ἦν δέ μοι γνώριμος ἐκ τοῦ στρατοπέδου γενόμενος. δεικνύω δὴ τὸ τραῦμα, καὶ δέομαι διῶξαι τοὺς λῃστάς. ὥρμει δὲ πολλὰ πλοῖα ἐν τῇ πόλει. τούτων ἑνὶ ἐπιβὰς ὁ στρατηγὸς, ἐδίωκεν ἅμα τῇ παρούσῃ Φρουρᾷ. κἀγὼ δὲ συνανέβην Φοράδην κομισθείς. Ὡς δὲ εἶδον οἱ λῃ-

gare fibi opus effe caufatus, exivit. Atque haud ita multo poft, clamor quidam improvifus ante fores auditus eft, repenteque viri multi ac magni, diftrictis gladiis irrumpentes, in puellam una omnes impetum fecerunt. Ipfe autem Leucippen meam abduci videns, animoque iniquiffimo id ferens, medios in gladios me conieci, atque in femore vulnus accepi grave adeo, ut curvato poplite conciderim, fanguine totus confperfus, illique interea puella naviculae impofita impune abierint. Ceterum clamore concurfuque facto, ut in piratarum adventu fieri confuevit, infulae praefectus accurrit. Erat is mihi, quod ipfo imperatore ftipendia meruiffem, non ignotus. Oftendi itaque vulnus, praedonefque ut infequeretur, obteftatus fum. Ille navigium ex iis, quae multa in civitatis portu ftationem habebant, confcendens, cum ea, quae tum forte aderat, manu, fugientes infecutus eft. Quin ipfe quoque, ita ut eram, obligato vulnere in navem deferri me iuffi.

σταὶ προσιοῦσαν ἤδη τὴν ναῦν εἰς ναυμαχίαν, ἱστᾶσιν ἐπὶ τοῦ καταστρώματος ὀπίσω τὼ χεῖρε δεδεμένην τὴν κόρην· καί τις αὐτῶν μεγάλῃ τῇ φωνῇ· Ἰδοὺ τὸ ἆθλον ὑμῶν, εἰπὼν, ἀποτέμνει αὐτῆς τὴν κεφαλὴν, καὶ τὸ λοιπὸν σῶμα ὠθεῖ κατὰ τῆς θαλάσσης. Ἐγὼ δὲ, ὡς εἶδον, ἀνέκραγον, οἰμώξας, καὶ ὥρμησα ἐμαυτὸν ἐπαφῆναι. ὡς δ' οἱ παρόντες κατέσχον, ἐδεόμην ἐπισχεῖν τε τὴν ναῦν, καί τινας ἅλλεσθαι κατὰ τῆς θαλάττης, εἴ πως καὶ πρὸς ταφὴν λάβοιμι τῆς κόρης τὸ σῶμα. καὶ ὁ στρατηγὸς πείθεται, καὶ ἵστησι τὴν ναῦν· καὶ δύο τῶν ναυτῶν ἀκοντίζουσιν ἑαυτοὺς ἔξω τῆς νεὼς, καὶ ἁρπάσαντες τὸ σῶμα ἀναφέρουσιν. ἐν τούτῳ δὲ οἱ λῃσταὶ μᾶλλον ἐρρωμενέστερον ἤλαυνον. ὡς δὲ ἦμεν πάλιν πλησίον, ὁρῶσιν οἱ λῃσταὶ ναῦν ἑτέραν, καὶ γνωρίσαντες, ἐκάλουν πρὸς βοήθειαν. Πορφυρεῖς δὲ ἦσαν

Piratae ſimulatque nos appropinquantes iam, ac ad pugnandum paratos conſpexere, puellam, manibus ad tergum revinctis, in prora ſtatuerunt. Unuſque ex eis magna voce clamans: En praemia, quae petitis; miſerae illi caput abſcidit: eoque in navi occultato, cadaveris reliquum in mare deiecit. Quod conſpicatus ipſe, neque lacrimis, neque clamori peperci: immo poſt illud in mare praecipitem me dare volui. Verum cum me, qui aderant, continuiſſent, remos ut inhiberent, eorumque aliquis in mare deſiliret, rogavi, ſi quo pacto puellae corpus humandum recipere poſſent. Atque praefectus paruit, navemque ſtatuit. Tum vero nautarum duo e nave delapſi, collectum retulerunt cadaver. Piratae interea validius multo fugae incumbebant: quibus cum rurſum appropinquaviſſemus, aliam illi ratem conſpicati, agnitiſque, qui ea vehebantur, erant autem purpurae collectores piraticam facientes, ab iis auxilium implorarunt. Quamobrem

πειρατικοί. ἰδὼν δὲ ὁ στρατηγὸς δύο ναῦς ἤδη γενομένας, ἐφοβήθη, καὶ πρύμναν ἐκρούσατο [1]. καὶ γὰρ οἱ πειραταὶ τοῦ φυγεῖν ἀποτρεπόμενοι προὐκαλοῦνθ' ὡς εἰς μάχην. ἐπεὶ δὲ ἀνεστρέψαμεν εἰς γῆν, ἀποβὰς τοῦ σκάφους, καὶ τῷ σώματι περιχυθεὶς, ἔκλαιον· Νῦν μοι Λευκίππη τέθνηκας ἀληθῶς θάνατον διπλοῦν, γῇ καὶ θαλάττῃ διαιρούμενον. τὸ μὲν γὰρ λείψανον ἔχω σου τοῦ σώματος· ἀπολώλεκα δέ σε. οὐκ ἴση τῆς θαλάττης πρὸς τὴν γῆν ἡ νομή. μικρόν μοί σου μέρος [2] καταλέλειπται ἐν ὄψει τοῦ μείζονος· αὕτη δὲ ὀλίγῳ τὸ πᾶν σου κρατεῖ. ἀλλ' ἐπεί μοι τῶν ἐν τῷ προσώπῳ φιλημάτων ἐφθόνησεν ἡ τύχη, φέρε σου καταφιλήσω τὴν σφαγήν.

praefectus, duas iam naves convenisse videns, extimuit, remisque inhibere iussit: quandoquidem illi fuga repressa iam nos ad pugnam provocabant. Posteaquam ad litus reversi, & e navigio egressi sumus, ego mortuae truncum amplexus, ita misere lamentari coepi: Nunc quidem certe mihi unam atque alteram Leucippe mortem obiisti, terra scilicet atque mari divisam: quamquam enim hasce corporis tui reliquias habeo, te tamen amisi: neque enim, quae tui pars terrae tradita est, ei par est, quam retinuit mare: nam minor tui pars sub maioris imagine mihi relicta est, contra vero sub minoris, integram te mare possidet. Sed quoniam os mihi tuum suaviari fortuna eripuit, quod certe licet, iugulum exosculabor.

1 Πρύμναν ἐκρούσατο) Πρύμναν κρούσασθαι non est *puppim convertere*, ut hic vertit interpres, sed *in puppim converso navigio retro cedere*, adeo ut, qui, prora in anteriore procedente, navem remigio propellebant, eandem retro agant, &, prora semper obversa, mutata remigandi ratione, ad puppim cursum impellant. V. Gronov. Obss. IV, 26, & Graev. in Cic. Epp. VIII, 13.

2 Μικρόν μοί σου μέρος) Inepte interpres. Verte: *teneo quidem partem tui maiorem, amissa minore* (capite); *mare tamen, quod exiguam istam particulam, at praestantiorem, continet, te integram possidet.* Ieiuna sententia.

η΄. Ταῦτα θρηνήσας καὶ θάψας τὸ σῶμα, πάλιν εἰς τὴν Ἀλεξάνδρειαν ἔρχομαι, καὶ θεραπευθεὶς ἄκων τὸ τραῦμα, τοῦ Μενελάου με παρηγοροῦντος, διεκαρτέρησα ζῶν. Καὶ ἤδη μοι γεγόνασι μῆνες ἕξ, καὶ τὸ πολὺ τοῦ πένθους ἤρχετο μαραίνεσθαι. χρόνος γὰρ λύπης φάρμακον, καὶ πεπαίνει τῆς ψυχῆς τὰ ἕλκη. μεστὸς γὰρ ἥλιος ἡδονῆς· καὶ τὸ λυπῆσαν πρὸς ὀλίγον, κἂν ᾖ καθ' ὑπερβολὴν, ἀναζεῖ μὲν, ἐφ' ὅσον ἡ ψυχὴ καίεται, τῇ δὲ τῆς ἡμέρας ψυχαγωγίᾳ νικώμενον καταψύχεται. Καί μου τὶς κατόπιν βαδίζοντος ἐν ἀγορᾷ τῆς χειρὸς ἄφνω λαβόμενος ἐπιστρέφει [1], καὶ οὐδὲν εἰπὼν, προσπτυξάμενός με πολλὰ κατεφίλει. ἐγὼ δὲ τὸ μὲν πρῶτον οὐκ ᾔδειν ὅς τις ἦν, ἀλλ'

VIII. Haec mecum queſtus, cadaver ſepulturae mandavi, deinde Alexandriam reverſus ſum: ubi curatione vulneri licet invite adhibita, ſummo in cruciatu, Menelao me conſolante, vitam egi. Tandem tranſactis mihi menſibus ſex, doloris magnitudo diminui coepit. Moeroris enim medicina tempus eſt, animique vulnera emollit. Sol quippe hilaritatis plenus eſt, & aegrimonia tametſi modum ſuperat, non tamen, niſi quatenus mens aeſtuat, fervet: ac ſi temporis amoenitate deliniatur, refrigeſcit. Ceterum cum me ad forum aliquando conferrem, ſuperveniens mihi a tergo quidam repente, manu comprehenſum ad ſe convertit, taciteque amplexus & diſſuaviatus eſt. Ego, quis ille eſſet, initio non cognovi, ſed obſtu-

1 Λαβόμενος ἐπιφέρει) Ita habuit liber cum regiis Codicibus collatus, quem habui a Franc. Oleario. Quod etiam ſecutae ſunt operae noſtrae; ſed melius, quod in aliis poſtea inveni, ἐπιστρέφει. Τῆς χειρὸς λαβόμενος ἐπιστρέφει, καὶ οὐδὲν εἰπὼν, προσπτυξάμενός με πολλὰ κατεφίλει. Ita ſcripſiſſe auctor videtur in ſecunda editione. In prima autem poſuerat: χειρὸς ἄφνω λαβόμενος, ἐπισχὼν, καὶ οὐδὲν εἰπὼν, περιπτυξάμενός με πολλὰ κατεφίλει. Sic habuit Codex Palatinus cum Anglicano. *Salmaſ.*

εἱστήκειν ἐκπεπληγμένος καὶ δεχόμενος τὰς προσβολὰς τῶν ἀσπασμάτων, ὡς φιλημάτων σκοπός. ἐπεὶ δὲ μικρὸν διέσχε, καὶ τὸ πρόσωπον εἶδον, Κλεινίας δὲ ἦν, ἀνακραγὼν ὑπὸ χαρᾶς, ἀντιπεριέβαλλόν τε αὐτὸν, καὶ τὰς αὐτὰς ἀπεδίδουν περιπλοκάς· καὶ μετὰ ταῦτα εἰς τὴν καταγωγὴν ἀνήλθομεν τὴν ἐμήν. καὶ ὁ μὲν ταῦτά μοι διηγεῖτο, ὅπως ἐκ τῆς ναυαγίας περιγίνοιτο· ἐγὼ δὲ τὰ περὶ τῆς Λευκίππης ἅπαντα.

θ'. Εὐθὺς μὲν γὰρ, ἔφη, ῥαγείσης τῆς νεὼς, ἐπὶ τὸ κέρας ἧξα, καὶ ἄκρου λαβόμενος μόλις, ἀνδρῶν ἤδη πεπληρωμένου, περιβαλὼν τὰς χεῖρας, ἐπεχείρουν ἐπέχεσθαι παρακρεμάμενος. ὀλίγον δὲ ἡμῶν ἐμπελαγισάντων, κῦμα μέγιστον ἆραν τὸ ξύλον, προσρήγνυσιν ὄρθιον ὑφάλῳ πέτρᾳ. κατὰ θάτερον δ' ἔτυχον ἐγὼ κρεμάμενος. τὸ δὲ προσαραχθὲν βίᾳ πάλιν εἰς τοὐπίσω δίκην μηχανῆς ἀπεκρούετο, καί με ὥσπερ

pefactus, oscula & salutationes non aliter quidem, quam si scopus aliquis essem, ad quem eae dirigerentur, excepi. Ac non multo post eius faciem contemplatus, & prae gaudio vocem tollens, erat enim Clinia, hominem complector, paresque amplexus reddo, ac mecum una domum perduco. Ubi ille mihi quo pacto naufragio ereptus fuerat, ego illi contra, quae Leucippae acciderant, singula commemoravi.

IX. Atque ita quidem ille: Fracta, inquit, navi, antennae inhaesi: extremitatemque illius viris iam plenam iniectis manibus vix apprehendens, suspensus detineri conabar. Nobis autem aliquantisper undarum vi agitatis, fluctus ab altera parte lignum, cui haerebam, scopulo aquis contecto illisit: illisum aquae impetus iterum, machinae instar, reiecit, meque perinde ac funda iactatum

ἀπὸ σφενδόνης ἐξερρίπισεν. τοὐντεῦθεν δὲ ἐνηχόμην τὸ ἐπίλοιπον τῆς ἡμέρας, οὐκέτ' ἔχων ἐλπίδα σωτηρίας. ἤδη δὲ κάμνων, καὶ ἀφεὶς ἐμαυτὸν τῇ τύχῃ, ναῦν ὁρῶ κατὰ πρόσωπον φερομένην, καὶ τὰς χεῖρας ἀνασχὼν, ὃν ἠδυνάμην τρόπον, ἱκετηρίαν ἐδεόμην τοῖς νεύμασιν. οἱ δὲ, εἴτε ἐλεήσαντες, εἴτε καὶ τὸ πνεῦμα αὐτοὺς ἦγεν, ἔρχονται κατ' ἐμὲ, καί τις τῶν ναυτῶν πέμπει μοι κάλων ἅμα τῆς νεὼς παραθεούσης. κἀγὼ μὲν ἐλαβόμην· οἱ δὲ ἐφείλκυσάν με ἐξ αὐτῶν τῶν τοῦ θανάτου πυλῶν. ἔπλει δὲ τὸ πλοῖον εἰς Σιδῶνα. κἀμέ τινες γνωρίσαντες ἐθεράπευσαν.

ι. Δύο δὲ πλεύσαντες ἡμέρας ἐπὶ τὴν πόλιν ἥκομεν, καὶ δέομαί τε τῶν ἐν πλοίῳ Σιδωνίων, Ξενοδάμας δὲ ὁ ἔμπορος ἦν, καὶ Θεόφιλος ὁ τούτου πενθερὸς, μηδενὶ Τυρίων, εἰ περιτύχοιεν, κατειπεῖν ὡς ἐκ ναυαγίας περιγενοίμην, ὡς ἂν μὴ μάθοιεν συναποδεδημη-

excuſſit. Quamobrem diei reliquum natando, ſpe omni ſalutis penitus amiſſa, tranſegi. Tandem feſſus, fortunaeque arbitrio totum me permittens, navem quandam ad me venientem conſpexi, ad illamque, quatenus conceſſum erat, manum tendens auxilium nutu rogavi. Qui in ea erant, ſive quod vicem meam dolerent, ſive quod ita ventis agerentur, ad me proram direxerunt: eorumque unus rudentem, nave interim praeterlabente, demiſit: quem cum apprehendiſſem, illi ex ipſis me mortis faucibus eripuerunt. Porro navis illa Sidonem ferebatur, ac nonnulli, quibus notus eram, mihi curationem adhibuerunt.

X. Biduum autem navigantes ad urbem advecti ſumus. Ibi tum ego Sidonios, qui ea navi vehebantur, Xenodamam ſcilicet mercatorem, eiuſque ſocerum, Theophilum, rogavi, ne Tyriorum alicui, ſi quem forte obviam habuiſſent, naufragio liberatum me nuntiarent, ut ne me

κότα. ἤλπιζον γὰρ λήσειν, εἰ τὰ ἀπὸ τούτων ἐν ἡσυχίᾳ γένοιτο, πέντε μόνον ἡμερῶν μοι μεταξὺ γενομένων, οἷς οὐκ ἔτυχον ὀφθείς. τοῖς δὲ κατὰ τὴν οἰκίαν τὴν ἐμὴν, ὡς οἶδας, προσηγορεύκειν τοῖς πυνθανομένοις, εἰς κώμην ἀποδεδημηκέναι, μέχρι δέκα ὅλων ἡμερῶν. καὶ τοῦτόν γε τὸν λόγον εὗρον περὶ ἐμοῦ κατεσχηκότα. Οὔπω δὲ οὐδὲ ὁ σὸς πατὴρ ἐκ τῆς Παλαιστίνης ἔτυχεν ἥκων, ἀλλὰ δύο ἄλλων ὕστερον ἡμερῶν, καὶ καταλαμβάνει πεμφθέντα παρὰ τοῦ τῆς Λευκίππης πατρὸς γράμματα, ἅπερ ἔτυχεν μετὰ μίαν ἡμέραν τῆς ἡμετέρας ἀποδημίας κεκομισμένα, δι' ὧν ὁ Σώστρατος ἐγγυᾷ σοι τὴν θυγατέρα. ἐν ποικίλαις δ' ἦν συμφοραῖς ἀναγνοὺς τὰ γράμματα, καὶ τὴν ἡμετέραν ἀκούσας φυγὴν, τὸ μὲν, ὡς τῆς ἐπιστολῆς ἀπολέσας τὸ ἆθλον, τὸ δὲ, ὅτι παρὰ μικρὸν οὕτως ἡ τύχη τὰ πράγματα ἔθηκεν. καὶ γὰρ εἰ θᾶττον ἐκομίσθη τὰ

tecum iter ſuſcepiſſe intelligerent. Fieri enim poſſe putabam, ut eos laterem, ſi quidem hoc illi clam haberent, praeſertim, quod quinque tantum dies effluxiſſent, quibus nuſquam apparueram. Nam & domeſticis meis, ut ſcis, rogantibus, me rus iturum, decemque integros dies abfuturum eſſe, reſponderam: atque hanc apud omnes famam de me invaluiſſe comperi. Sed & pater tuus non, niſi biduo poſt, e Palaeſtina rediit, miſſaſque a Leucippes patre literas invenit, altero a diſceſſu noſtro die allatas, per quas [illegible] tibi filiam ſpondebat. Quibus lectis, ac fuga noſtra cognita, vehementer animo commotus eſt, tum quod te promiſſum per epiſtolam lucrum amittere videret, tum quod tam brevi eum in locum res a fortuna deductae eſſent: quorum nihil eveniſſet, ſi literae citius

γράμματα, καὶ τῶν μὲν πεπραγμένων οὐδὲν πρὸς τὸν ἀδελφὸν ἡγήσατό που δεῖν γράφειν. ἀλλὰ καὶ τῆς μητρὸς τῆς κόρης ἐδεήθη τὸ παρὸν ἐπισχεῖν· τάχα γὰρ ἂν αὐτοὺς ἐξευρήσομεν· καὶ οὐ δεῖν τὸ συμβὰν ἀτύχημα μανθάνειν Σώστρατον. ἀσμένως δὲ ὅποι ποτὲ ἂν ὦσιν ὄντες μάθωσι τὴν ἐγγύην, καὶ ἀφίξονται [1], εἴγε αὐτοῖς ἐξέσται φανερῶς ἔχειν ὑπὲρ οὗ πεφεύγασιν. ἐπολυπραγμόνει δὲ παντὶ σθένει, ποῦ κεχωρήκατε. καὶ ὡς ὀλίγων πρὸ τούτων ἡμερῶν, ἔρχεται Διόφαντος ὁ Τύριος ἐξ Αἰγύπτου πεπλευκὼς, καὶ λέγει πρὸς αὐτὸν, ὅτι σε ἐνθάδε ἐθεάσατο· κἀγὼ μαθὼν, ὡς εἶχον, εὐθὺς ἐπιβὰς νεὼς ὀγδόην ταύτην ἡμέραν, πᾶσάν τε περιῆλθον ζητῶν τὴν πόλιν. πρὸς ταῦτα οὖν σοι βουλευτέον ἐστὶν, ὡς τάχα καὶ τοῦ πατρὸς ἥξοντος ἐνταῦθα τοῦ σοῦ.

allatae fuiſſent. Quin etiam puellae matrem, ut rem diſſimularet, obteſtatus eſt: futurum exiſtimans, ut vos forte invenirent. Neque vero cenſebat e re eſſe, ut infortunium huiuſmodi Soſtrato innoteſceret; illud ſibi perſuaſum habens, vos, quoquo tandem abiiſſetis, futuras inter vos nuptias intellecturos, rediturosque, fugae cauſam non amplius palam facere veritos. Nunc ille quam diligentiſſime in id incumbit, ut, quonam profugeritis, ſcire poſſit. Nam etiam ſuperioribus proximis diebus ex Aegypto reverſus eſt Tyrius Diophantes, teque hic vidiſſe patri tuo ſignificavit. Quam rem ego ſimulatque intellexi, nulla plane interiecta mora huc adnavigavi: dieſque hic octavus eſt, ex quo te quaerens urbem iſtam perluſtro. Quamobrem de patre tuo iamiam affuturo quid agas, etiam atque etiam vide.

1 Ἀσμένως —— ἀφίξονται) Legendum videtur: ἀσμένως δὲ, ὅποι ποτὲ ἂν ὄντες μάθωσι τὴν ἐγγύην, ἀφίξονται cet. omiſſis ὦσιν & καὶ ante ἀφιξ. vel corr. ὅποι ποτὲ ἂν ὦσιν, [ὄντες] εἰ μάθ. deleto ὄντες & inſerto εἰ cum Salmaſ.

ια'. Ταῦτα ἀκούσας ἀνῴμωξα ἐπὶ τῇ τῆς τύχης παιδιᾷ· Ὦ δαίμων, λέγων, νῦν μὲν Σώστρατός μοι Λευκίππην ἐκδίδωσι, καί μοι γάμος ἐκ μέσου πολέμου πέμπεται, μετρήσας ἀκριβῶς τὰς ἡμέρας, ἵνα μὴ Φθάσῃ τὴν Φυγήν. Ὦ τῶν ἐξώρων εὐτυχημάτων. ὢ μακάριος ἐγὼ παρὰ μίαν ἡμέραν, μετὰ θάνατον γάμοι, μετὰ θρῆνον ὑμέναιοι. τίνα μοι δίδωσι νύμφην ἡ τύχη; ἣν οὐδὲ ὁλόκληρόν μοι δέδωκε νεκράν; Οὐ θρήνων νῦν καιρὸς, ὁ Κλεινίας εἶπεν· ἀλλὰ σκεψώμεθα, πότερον εἰς τὴν πατρίδα σου νῦν ἀνακομιστέον, ἢ τὸν πατέρα ἐνταῦθα ἀναμενητέον. Οὐδέτερον, εἶπον. ποίῳ γὰρ ἴδοιμι προσώπῳ τὸν πατέρα, μάλιστα μὲν οὕτως αἰσχρῶς Φυγών; εἶτα καὶ τὴν παρακαταθήκην αὐτοῦ τ' ἀδελφοῦ διαφθείρας; Φεύγειν οὖν ἐντεῦθεν ὑπολείπεται πρὶν ἥκειν αὐτόν. Ἐν τούτῳ δὴ ὁ Μενέλαος ὑπ-

XI. Quae cum Clinia dixiſſet, nihil aliud quam fortunae ludibrium deflevi: Me miſerum, inquiens, hoccine tempore Soſtratus Leucippen mihi ſpondet? Nuncne mihi medio ex bello uxor datur? nae ille dierum rationem diligenter ſubduxit: qui non niſi poſt abitum noſtrum nuptias fieri voluit. O felicitates intempeſtivas! o me ante unum illum diem beatum! Nunc Leucippen mortuam ſpondent. Nunc, cum mihi lugendum eſt, Hymenaeum canere parant. Hei mihi! qualem fortuna ſponſam praebet, cuius ne mortuae quidem integrum cadaver mihi conceſſum fuit. Tum Clinia: Minime, inquit, nunc eſt conquerendi tempus: conſiderandum potius, praeſtetne in patriam redire, an patrem hic opperiri. Neutrum, inquam, placet. Nam qua facie illum intuear, cuius domo tam turpiter fugi? cuiuſque fratris depoſitum abiuravi? Mihi certe aliud nihil ſupereſt, niſi ut hinc prius abeam, quam ille adſit. Haec dum inter nos pertractarentur, Menelaus & Saty-

εἰσέρχεται, καὶ Σάτυρος μετ' αὐτοῦ, καὶ τόν τε Κλεινίαν περιπτύσσονται, καὶ μανθάνουσι παρ' ἡμῶν τὰ πράγματα. καὶ ὁ Σάτυρος· Ἀλλ' ἔστιν σοι, ἔφη, καὶ τὰ παρόντα θέσθαι καλῶς, καὶ ἐλεῆσαι ψυχὴν ἐπί σοι φλεγομένην. ἀκουέτω δὴ καὶ ὁ Κλεινίας. ἡ Ἀφροδίτη μέγα τούτῳ παρέσχεν ἀγαθὸν, ὁ δ' οὐκ ἐθέλει λαβεῖν. γυναῖκα γὰρ ἐξέμηνεν ἐπ' αὐτὸν πάνυ καλὴν, ὥστε ἂν ἰδὼν αὐτὴν εἴποις ἄγαλμα, Ἐφεσίαν τὸ γένος, ὄνομα Μελίττην· πλοῦτος πολὺς, καὶ ἡλικία νέα. τέθνηκεν δὲ αὐτῇ προσφάτως ἀνὴρ κατὰ θάλατταν· βούλεται δὲ τοῦτον ἔχειν δεσπότην· οὐ γὰρ ἄνδρα ἐρῶ· καὶ δίδωσιν ἑαυτὴν καὶ πᾶσαν αὐτῆς τὴν οὐσίαν. δι' αὐτὸν γὰρ δύο μῆνας νῦν ἐνθάδε διέτριψεν, ἀκολουθῆσαι δεομένη. ὁ δὲ οὐκ οἶδα τί παθὼν ὑπερηφανεῖ, νομίζων αὐτῷ Λευκίππην ἀναβιώσεσθαι.

rus ad nos ingreſſi ſunt. Simulac ambo Cliniam amplexi, & de tota re a nobis certiores facti fuerunt, Satyrus ad me converſus: Haud contemnenda, Hercule, inquit, occaſio nunc tibi ſeſe offert, qua res tuas in tuto facile colloces, animique tui amore deflagrantis una miſerearis: nec vero clam te, Clinia, id habendum eſt. Permagnam felicitatem Venus oſtendit; ſed quam ipſe nihil faciendam putet. Atque adeo ut ſcias, mulierem Epheſiam eius amore flagrantem ad inſaniam uſque compulit, forma bona ſane, & quam, cum videas, Deae alicui ſimilem iudices. Meliten eam vocant, divitiis affluentem, atque aetate nondum ſatis matura. Quae cum virum iampridem naufragio amiſerit, hunc ſibi dominum, non enim maritum dicam, praeoptat, eique ſe & fortunas omnes ſuas dedit. Quid, quod eius etiam cauſa duos hic menſes conſumſit, hominem, ut ſe ſequeretur, obteſtans? hic vero eam deſpicit, neque, id quamobrem faciat, ſciri poteſt, niſi forte Leucippen ſibi a mortuis excitatum iri ſperat.

ιβ. Καὶ ὁ Κλεινίας· Οὐκ ἀπὸ τρόπου δοκεῖ μοι, φησὶν, ὁ Σάτυρος λέγειν. κάλλος γὰρ, καὶ πλοῦτος, καὶ ἔρως εἰ συνῆλθεν ἐπί σε, οὐχ ἕδρας [1] οὐδ᾽ ἀναβολῆς. τὸ μὲν γὰρ κάλλος ἡδονὴν, ὁ δὲ πλοῦτος τρυφὴν, ὁ δὲ ἔρως αἰδῶ. μισεῖ δὲ ὁ θεὸς τοὺς ἀλαζόνας. Φέρε πείσθητι τῷ Σατύρῳ, καὶ ἵδρυσαι [2] τῷ θεῷ. Κἀγὼ στενάξας· Ἄγε με, εἶπον, ὅποι θέλεις, εἰ καὶ Κλεινίᾳ τοῦτο δοκεῖ· μόνον ὅπως τὸ γύναιόν μοι μὴ παρέχῃ πράγματα, ἐπείγουσα πρὸς τὸ ἔργον, ἐς τ᾽ ἂν εἰς Ἔφεσον ἀφικώμεθα. Φθάνω γὰρ ἐπομοσάμενος ἐνταῦθα μὴ συνελθεῖν, ἔνθα Λευκίππην ἀπολώλεκα. Ταῦτα ἀκούσας ὁ Σάτυρος, προστρέχει πρὸς τὴν Μελίττην εὐαγγέλια φέρων. καὶ μικρὸν αὖθις διαλιπὼν ἐπανέρχεται, λέγων, ἀκούσασαν τὴν γυναῖκα ὑφ᾽ ἡδονῆς

XII. Tum Clinia: Recte, inquit, Satyrus loqui mihi videtur. Quid enim cunctatione opus ſit, ubi pulchritudo, divitiae, amor tibi ſeſe offerant? ex quibus ad voluptates perfruendas, ad vitam laute peragendam, atque ad exiſtimationem tibi parandam, abunde omnia ſuppetant. Illud autem in poſtremis reputandum non eſt, ſuperbos Deo inviſos eſſe. Ego Satyro fidem habendam cenſeo, teque Deorum voluntati ut permittas, ſuadeo. Tum ego ſuſpirans: Agedum, inquam, duc me, quo lubet, ſiquidem ita Cliniae quoque videtur. Tantum, ne muliercula haec moleſta mihi ſit, rem ante perfici poſtulans, quam Epheſum pervenerimus. Iuravi enim, nemini me unquam hic mei copiam facturum, ubi Leucippen amiſi. Quibus auditis, Satyrus e veſtigio ad Meliten evangelia ferens cucurrit: atque haud ita multo poſt reverſus, ea re cognita, prae nimia voluptate exanimatam paene concidiſſe

1 Οὐχ ἕδρας) E Bacchylide haec ducta. Anal. Brunck. T. I, p. 152, fr. XIV:
Οὐχ ἕδρας ἔργον, οὐδ᾽ ἀμβολᾶς.

2 Ἵδρυσαι) Neſcio quam commode. Forte: χάρησαι, vel χαρίσαι, vel ſimile quid.

παρὰ μικρὸν τὴν ψυχὴν ἀφεῖναι. δεῖσθαι δὲ ἥκειν ὡς αὐτὴν δειπνήσοντα τὴν ἡμέραν γάμων προοίμιον. ἐπείσθην καὶ ᾠχόμην.

ιγʹ. Ἡ δὲ ὡς εἶδέ με, ἀναθοροῦσα περιβάλλει, καὶ πᾶν μου τὸ πρόσωπον ἐμπίπλησι φιλημάτων. ἦν δὲ τῷ ὄντι καλὴ, καὶ γάλακτι μὲν ἂν εἶπες αὐτῆς τὸ πρόσωπον κεχρίσθαι, ῥόδον δὲ ἐμπεφυτεῦσθαι ταῖς παρειαῖς. ἐμάρμαιρεν δὲ αὐτῇ τὸ βλέμμα μαρμαρυγὴν Ἀφροδίσιον. κόμη πολλὴ καὶ βαθεῖα καὶ κατάχρυσος τῇ χροιᾷ, ὥστε ἔδοξα οὐκ ἀηδῶς ἰδεῖν τὴν γυναῖκα. Τὸ μὲν οὖν δεῖπνον ἦν πολυτελές· ἡ δὲ ἐφαπτομένη τῶν παρακειμένων, ὡς δοκεῖν ἐσθίειν, οὐκ ἠδύνατο τυχεῖν ὁλοκλήρου τροφῆς, πάντα δὲ ἔβλεπε ἐμέ. οὐδὲν γὰρ ἡδὺ τοῖς ἐρῶσι πλὴν τὸ ἐρώμενον. τὴν γὰρ ψυχὴν πᾶσαν ὁ ἔρως καταλαβὼν, οὐδὲ αὐτῇ χώραν δί-

retulit: meque ad illam eo ipſo die coenatum ire oportere, ut nuptiarum initium faceremus. Itaque viam ingreſſus, ad mulierem me contuli.

XIII. Quae ſimulac me conſpexit, obviam progreſſa, complexu, innumeriſque diſſuaviationibus accepit. Nec erat ſane illa non formoſa. Nam & adſpectus miram quandam ac propemodum Veneri convenientem prae ſe ferebat dignitatem: & color in vultu is erat, ut non quidem fuco illitum, ſed roſis diſtinctum, ac lacte diffuſum diceres. Capillus ipſe denſus, auroque non abſimilis pendebat: itaque non inſuaviter illam contemplari mihi videbar. Interea menſis ſplendidiſſimis exſtructis, coenaturi accubuimus. Melite vero, tametſi ex iis, quae appoſita fuerant, nonnunquam ſibi aliquid aſſumeret, tamen nihil prorſus comedebat; ſed me unum tantummodo intentis oculis obſervabat. Amantibus enim nihil aeque ſuave eſt, atque amatam rem intueri. Animam enim totam occupans

δῶσι τῇ τροφῇ. ἡ δὲ τῆς θέας ἡδονὴ διὰ τῶν ὀμμάτων εἰσρέουσα, τοῖς στέρνοις ἐγκάθηται· ἕλκουσα δὲ τοῦ ἐρωμένου τὸ εἴδωλον ἀεὶ, ἐναπομάσσεται τῷ τῆς ψυχῆς κατόπτρῳ, καὶ ἀναπλάττει τὴν μορφήν. ἡ δὲ τοῦ κάλλους ἀπορροὴ δι' ἀφανῶν ἀκτίνων ἐπὶ τὴν ἐρωτικὴν ἑλκομένη καρδίαν, ἐναποσφραγίζει κάτω τὴν σκιάν. Λέγω δὴ πρὸς αὐτὴν συνείς· Ἀλλὰ σύ γε οὐδενὸς μετέχεις σῶν αὐτῆς; ἀλλ' ἔοικας τοῖς ἐν γραφαῖς ἐσθίουσιν. Ἡ δέ· Ποῖον γὰρ ὄψον, ἔφη, μοι πολυτελές; ἢ ποῖος οἶνος τιμιώτερος τῆς σῆς ὄψεως; Καὶ ἅμα λέγουσα κατεφίλει με, προσιέμενον οὐκ ἀηδῶς τὰ φιλήματα. εἶτα διασχοῦσα, εἶπεν· Αὕτη μοι τροφή.

ιδ'. Τότε μὲν οὖν ἐν τούτοις ἦμεν. ἑσπέρας δὲ γενομένης, ἡ μὲν ἐπεχείρει με κρατεῖν ἐκεῖ κοιμηθησόμενον· ἐγὼ δὲ παρῃτούμην, εἰπὼν ἃ καὶ πρὸς τὸν Σά-

amor ipſis etiam alimentis aditum obſtruit. Voluptas autem, quae in videndo percipitur, per oculos illapſa menti inſidet, reique viſae imaginem ſecum raptam animi ſpeculo continenter imprimit, atque effingit: pulchritudinisque fluxio ipſa per occultos radios in amantis pectus dimanans, amatae rei formam inſculpit. Illud igitur cum animadvertiſſem: Quid cauſae, inquam, eſt, quamobrem te nihil eorum, quae imperaſti, edentem cerno? nae tu pictis convivis mihi ſimilis videris. Tum illa: Quodnam mihi lautius, inquit, obſonium, quod vinum pretioſius tuo eſſe adſpectu poſſe putas? Protinuſque his dictis, me iam non ſine voluptate oſcula admittente, diſſuaviata eſt; dein retrocedens: Tu meum, inquit, oblectamentum es.

XIV. Ac tum quidem hoc modo res habuit. Poſtea vero quam nox adventavit, mulier ſecum me nocte illa retinere conata eſt. Sed cum eadem fere, quae Satyro dixe-

τυρον ἔτυχον προσαγορεύσας. μόλις οὖν ἀφίησιν ἀνιωμένη. τῇ δ' ὑστεραίᾳ συνέκειτο ἡμῖν εἰς τὸ τῆς Ἴσιδος ἱερὸν ἀπαντῆσαι, διαλεξομένοις τε ἀλλήλοις καὶ πιστωσομένοις ἐπὶ μάρτυρι τῇ θεῷ. συμπαρῆσαν δὲ ἡμῖν ὅ, τε Μενέλαος καὶ ὁ Κλεινίας. ὀμνύομεν, ἐγὼ μὲν ἀγαπήσειν ἀδόλως, ἡ δὲ ἄνδρα ποιήσασθαι, καὶ πάντων ἀποφῆναι δεσπότην. Ἄρξει δὲ, εἶπον ἐγὼ, τῶν συνθηκῶν ἡ εἰς Ἔφεσον ἡμῶν ἄφιξις· ἐνταῦθα γὰρ, ὡς ἔφην, Λευκίππης παραχωρήσεις. δεῖπνον οὖν ἡμῖν ηὐτρεπίζετο πολυτελές. καὶ ὄνομα μὲν ἦν τῷ δείπνῳ γάμοι· τὸ δὲ ἔργον συνέκειτο ταμιεύεσθαι. Καί τι μέμνημαι καὶ γελοῖον παρὰ τὴν ἑστίαν τῆς Μελίττης. ὡς γὰρ ἐπευφήμουν τοῖς γάμοις οἱ παρόντες, νεύσασα πρός με ἡσυχῇ Κενὸν, εἶπεν, ἐγὼ μόνη πέπονθα,

ram, repetendo aſſentiri nollem, quamquam aegre ac difficulter, dimiſſus ſum tamen: ac ea lege, ut poſtridie in Iſidis conveniremus, ibique, teſte Dea, tota de re, inter nos quid futurum eſſet, conſtabiliremus. Adfuimus itaque, Menelao etiam Cliniaque me comitantibus: iuravimuſque, ego quidem, perquam ſancte me illam amaturum; illa vero, me ſibi coniugem adſcituram, rerumque ſuarum omnium dominum habituram. Quae quidem inter nos firmata ſunt, ut non ante promiſſa fierent, quam Epheſum applicuiſſemus. Illic enim, uti antea teſtatus fueram, Melitae Leucippen cedere volebam. Deinceps menſae conquiſitiſſimis ex cibis cumulatae accumbentes coenavimus: coenaeque illi nuptiale nihil, niſi nomen, fuit: nam reliqua in aliud tempus differre pacti eramus. Porro autem mihi nunc etiam riſu dignum neſcio quid a Melite inter coenandum dictum fuiſſe, in mentem venit. Nam ſimulac nuptiis, qui aderant, bene precati ſunt, Melite clam mihi annuens: Ego, inquit, inane quiddam ſola paſſa ſum.

καὶ οἷον ἐπὶ τοῖς ἀφανέσι ποιοῦσι νεκροῖς. κενοτάφιον μὲν γὰρ εἶδον, κενογάμιον δὲ οὔ. Ταῦτα μὲν οὖν ἔπαιζε σπουδῇ.

ιέ. Τῇ δὲ ἐπιούσῃ στελλόμεθα πρὸς ἀποδημίαν· κατὰ τύχην δὲ καὶ τὸ πνεῦμα ἐκάλει ἡμᾶς. καὶ ὁ Μενέλαος μέχρι τοῦ λιμένος ἐλθὼν, καὶ ἀσπασάμενος, εὐτυχεστέρας εἰπὼν νῦν ἡμᾶς τυχεῖν τῆς θαλάσσης, ἀπετράπετο αὖθις, νεανίσκος πάνυ χρηστὸς καὶ θεῶν ἄξιος, καὶ ἅμα δακρύων ἐμπεπλησμένος, καὶ ἡμῖν δὲ πᾶσι κατεφέρετο δάκρυα. τῷ δὲ Κλεινίᾳ ἐδόκει μή με καταλιπεῖν, ἀλλὰ μέχρις Ἐφέσου συμπλεύσαντα, καί τινα χρόνον διατρίψαντα τῇ πόλει, ἐπανελθεῖν, εἰ τὰ ἐμὰ ἐν καλῷ κείμενα καταμάθοι. Γίνεται δὴ κατ᾽ οὐρὰν ἡμῶν ὁ ἄνεμος· ἑσπέρα τε ἦν, καὶ δειπνήσαντες ἐκείμεθα κοιμησόμενοι. ἰδίᾳ δὲ ἐμοὶ καὶ τῇ Μελίττῃ καλύβη τις ἦν ἐπὶ τοῦ σκάφους πε-

Ut enim iis, quorum cadavera humanda nufquam reperiuntur, inanes tumuli exftrui folent: fic inanes mihi nuptias effe animadverto. Atque hoc quidem pacto mulier callide iocabatur.

XV. Poftridie vento fecundo invitati Alexandria folvimus: Menelaufque ad litus nos ufque fecutus, & data acceptaque falute, profperam nobis navigationem precatus, difceffit, adolefcens probus fane, ac paene divinus: qui, cum lacrimarum plenus recederet, nobis omnibus pariter lacrimas excuffit. Clinia, me deferere indignum ratus, Ephefum una mecum proficifci voluit, ut ibi tantifper moraretur, dum res meas in tuto effe profpiceret. Sed cum iam profpero curfu navis noftra ferretur, noxque appropinquaffet, ac cibo fumto, vix cubiculum, quod utrique noftrûm commune in navi adornatum fuerat, dor-

ριπεφραγμένη. βαλοῦσα οὖν με κατεφίλει καὶ ἀπῄτει τὸν γάμον· Νῦν μὲν, λέγουσα, Λευκίππης τοὺς ὅρους ἐξήλθομεν, καὶ τῶν σῶν συνθηκῶν τοὺς ὅρους ἀπειλήφαμεν· ἐντεῦθεν ἡ προθεσμία. Τί δεῖ με νῦν εἰς Ἔφεσον περιμένειν; ἄδηλοι τῆς θαλάσσης αἱ τύχαι, ἄπιστοι τῶν ἀνέμων αἱ μεταβολαί. πίστευσόν μοι, Κλειτοφῶν, καίομαι. ὄφελον ἠδυνάμην δεῖξαι τὸ πῦρ. ὄφελον εἶχον τὴν αὐτὴν φύσιν τῷ κοινῷ τοῦ ἔρωτος πυρὶ, ἵνα σοι περιχυθεῖσα κατέφλεξα. νῦν δὲ πρὸς τοῖς ἄλλοις τοῦτο μόνον τὸ πῦρ ἰδίαν ὕλην ἔχει, καὶ ἐν ταῖς περὶ τοὺς ἐραστὰς συμπλοκαῖς ἀνακαιόμενον λάβρον τῶν συμπλεκομένων φείδεται. ὢ πυρὸς μυστικοῦ· πυρὸς ἐν ἀποῤῥήτῳ δᾳδουχουμένου· πυρὸς τοὺς ὅρους αὐτοῦ φυγεῖν μὴ θέλοντος. μυηθῶμεν οὖν, ὦ φίλτατε, τὰ τῆς Ἀφροδίτης μυστήρια.

mitum intravissemus, Melite me complexa suaviari, nuptiasque repetere coepit: Nunc quidem certe, inquiens, extra Leucippes fines egressi sumus, ac pactos iam terminos tenemus: haec praestituta dies est. Quid nunc, donec Ephesum pervenerimus, differre oportet? An nescis, dubios maris eventus, infidasque ventorum mutationes esse? uror, mihi crede, Clitophon, uror: atque utinam ardoris magnitudinem palam facere liceret: utinam ea in me, quae in amoris igne, vis esset, ut complexuum meorum contactu flammam in te immittere valerem. Sed meus hic ignis diversam quandam ab aliis vim sortitus est. Nam cum inter amantium complexus vehementissime alii fervere soleant, meus hic nobis mutuo in complexu iacentibus parcit. O ignem arcanum! o ignem in abdito relucentem! o ignem suas ipsius leges transgredi nolentem! at nos, o carissime Clitophon, cur non tandem Veneris sacris initiamur?

ιϛʹ. Κἀγὼ εἶπον· Μή με βιάσῃ λῦσαι [1] θεσμὸν ὁσίας νεκρῶν. οὔπω τῆς ἀθλίας ἐκείνης τοὺς ὅρους παρήλθομεν, ἕως ἂν γῆς ἐπιβῶμεν ἑτέρας. οὐκ ἤκουσας ὡς ἐν θαλάσσῃ τέθνηκεν; ἔτι πλέω Λευκίππης τὸν τάφον. τάχα που περὶ τὴν ναῦν αὐτῆς εἱλεῖται τὸ εἴδωλον. λέγουσι δὲ τὰς ἐν ὕδατι ψυχὰς ἀνῃρημένας, μηδὲ εἰς ᾅδου καταβαίνειν ὅλως, ἀλλ' αὐτοῦ περὶ τὸ ὕδωρ ἔχειν τὴν πλάνην, καὶ ἐπιστήσεται τάχα ἡμῖν συμπλεκομένοις. ἐπιτήδειον δέ σοι δοκεῖ καὶ τὸ χωρίον εἶναι πρὸς γάμον; γάμος ἐπὶ κύματος, γάμος ὑπὸ θαλάσσης φερόμενος; θάλαμον ἡμῖν θέλεις γενέσθαι μὴ μένοντα; Σὺ μὲν, ἔφη, σοφίζῃ, φίλτατε· πᾶς δὲ τόπος τοῖς ἐρῶσι θάλαμος, οὐδὲν γὰρ ἄβατον τῷ

XVI. Tum ego: Ne me, inquam, mortuorum iusta intervertere adigas: neque enim miserae illius puellae fines praetervectos nos esse dicendum est, nisi cum alias tenuerimus terras. An non eam in mari vitam reliquisse audidivisti? Leucippes sepulcrum est maris amplitudo haec, per quam ferimur. Quid vero scis? an non fieri posse putas, ut circum navim hanc simulacrum illius erret? Animas enim eorum, qui in aquis pereunt, non omnino quidem ad inferos descendere, sed propter aquas circumferri aiunt. Ac fortasse nobis hic complicatis imminebit. Ceterum idoneusne tibi ad nuptias conficiendas locus hic videtur? rectene tu illas inter fluctus, marisque iactationes fieri arbitraris? an tu ab instabili nuptias nostras toro auspicari nos debere censes? Tum Melite: Scite mecastor, inquit, argutaris: verumtamen locum ego quemlibet pro thalamo amantibus esse arbitror. Amori enim Deo nullus prae-

1 Μή με βιάσῃ λῦσαι) In Anglicano: μή με βίᾳ συλῆσαι. Ita videtur legisse interpres, qui, *iusta intervertere mortuorum*, vertit. Et paulo post idem Anglicanus, cum editione Palatina habet: ὡς ἐν πελάγει τέθνηκεν.

θεῷ [1]. ἐν θαλάσσῃ δὲ μὴ καὶ οἰκειότερόν [2] ἐστιν ἔρωτι καὶ Ἀφροδισίοις μυστηρίοις; θυγάτηρ Ἀφροδίτη θαλάσσης· χαριζώμεθα τῇ γαμηλίῳ θεῷ, τιμήσωμεν αὐτῆς γάμῳ τὴν μητέρα. ἐμοὶ μὲν γὰρ δοκεῖ τὰ παρόντα γάμων εἶναι σύμβολα. ζυγὸς μὲν οὗτος ὑπὲρ κεφαλῆς κρεμάμενος, δεσμοὶ δὲ περὶ τὴν κεραίαν τεταμένοι. καλά γε, ὦ δέσποτα, τὰ μαντεύματα· ὑπὸ ζυγὸν ὁ θάλαμος, καὶ κάλοι δεδεμένοι· ἀλλὰ καὶ πηδάλιον τοῦ θαλάμου πλησίον. ἰδοὺ τοὺς γάμους ἡμῶν ἡ τύχη κυβερνᾷ· νυμφοστολήσουσι δὲ ἡμᾶς Ποσειδῶν καὶ Νηρεΐδων χορός. ἐνταῦθα γὰρ καὶ αὐτὸς Ἀμφιτρίτην γαμεῖ. λιγυρῶς δὲ συρίζει περὶ τοὺς κά-

clusus locus est. Quin etiam arcanis eius familiarissimam sedem esse mare accipimus. Quid quod Maris Venus est filia, ut non ingratam nuptiarum Deae rem facturos nos existimem, si matri eius hoc honoris habuerimus, ut, quae ad perficiendas nuptias restant, hic consummemus. Nam & iugum, & quae circum antennam posita vincula sunt, nuptiarum praesentiae mihi omnino signa videntur esse. An non optimum, o here, auspicium putandum est, sub iugo thalamum inire, rudentibus inter se colligatis, & gubernaculo prope collocato? argumento est id quidem, nuptias a fortuna nostras gubernari. Ecce autem & Neptunus, is Amphitriten in mari uxorem duxit, & Nereïdum chori nos comitabuntur; ipsaque ventorum, tam suaviter

1 Ἄβατον τῷ θεῷ) Ita Longus sub init. L. III Poemen. Ἔρωτι δὲ ἄρα πάντα βάσιμα, καὶ πῦρ, καὶ ὕδωρ, καὶ Σκυθικὴ χιών.

2 Ἐν θαλάσσῃ δὲ μὴ καὶ οἰκειότερον) Ita omnes libri. Distinctione iuvandus atque allevandus locus, qui sic iacet: Ἐν θαλάσσῃ δέ; μὴ καὶ οἰκειότερόν ἐστιν ἔρωτι καὶ Ἀφροδισίοις μυστηρίοις; *In mari vero? Num locus aliquis magis idoneus amori ac Veneris sacris?* Salm. Sanus etiam sensus est, omissis illis *μὴ καὶ*, quae Bavaricus Codex non habet. Tunc autem signa interrogationis delenda.

λους καὶ τὸ πνεῦμα. ἐμοὶ μὲν ὑμέναιον ἄγειν δοκεῖ τὰ τῶν ἀνέμων αὐλήματα·[1] ὁρᾷς δὲ καὶ τὴν ὀθόνην κεκυρτωμένην, ὥσπερ ἐγκύμονα γαστέρα. δεξιόν μοι καὶ τοῦτο τῶν οἰωνισμάτων. ἔσῃ μοι ταχὺ καὶ πατήρ. Ἰδὼν οὖν αὐτὴν σφόδρα ἐγκειμένην· Φιλοσοφήσωμεν, εἶπον, ὦ γύναι, μέχρι λαβώμεθα γῆς. ὄμνυμι γάρ σοι τὴν θάλατταν αὐτὴν, καὶ τὴν τοῦ πλοῦ τύχην, ὡς ἐσπούδακα καὶ αὐτός. ἀλλ' εἰσὶ καὶ θαλάσσης νόμοι. πολλάκις ἤκουσα παρὰ τῶν ναυτικωτέρων, καθαρὰ δεῖν Ἀφροδισίων εἶναι τὰ σκάφη, τάχα μὲν, ὡς ἱερὰ, τάχα δὲ, ἵνα μή τις ἐν τηλικούτῳ κινδύνῳ τρυφᾷ. μὴ ἐνυβρίσωμεν, ὦ φιλτάτη, τῇ θαλάσσῃ, μηδὲ συμμίξωμεν γάμον ὁμοῦ καὶ φόβον, τηρήσωμεν ἑαυτοῖς κα-

circa rudentes obſtrepentium, murmura hymenaeum canere mihi videntur. An non tu quoque velum illud, quaſi praegnantem uterum, intumeſcere cernis? quod ego ſane boni ominis loco mihi duco, hinc futurum coniectans, ut iamiam pater futurus ſis. Itaque cum illam ad id tam propenſam viderem, Philoſophemur, inquam, o mulier, tantiſper, dum terram attingamus. Illud autem tibi ego per mare ipſum, & per navigationis huius eventum iuro, non alio me, quam te, deſiderio teneri. Sed ſunt ſuae ipſius maris leges: de nautis enim perſaepe audivi, naves a venereis congreſſibus puras eſſe oportere, ſive quod ſacrae ſint, ſive quod minime deceat inter ea, quae mari ſemper impendent, pericula quemquam laſcivius oblectari. Ne igitur mari maculam hanc inuramus, neu nuptiis terrorem immiſceamus, aut, quo minus harum nobis ſolidum gaudium ſit, noſmet in cauſa ſimus. Quae cum dixiſ-

1 Theocr. XXVII, 57:
Ἀλλήλαις λαλέοντι τεὸν γάμον αἱ κυπάρισσοι.

θαρὰν τὴν ἡδονήν. Ταῦτα λέγων καὶ μειλισσόμενος τοῖς φιλήμασιν ἔπειθον, καὶ τὸ λοιπὸν οὕτως ἐκαθεύδομεν.

ιζʹ. Πέντε δὲ τῶν ἑξῆς ἡμερῶν διανύσαντες τὸν πλοῦν ἥκομεν εἰς τὴν Ἔφεσον. Οἰκία μεγάλη καὶ πρώτη τῶν ἐκεῖ· θεραπεία πολλὴ, καὶ ἄλλη παρασκευὴ πολυτελής. κελεύει δὴ δεῖπνον ὡς ὅτι εὐπρεπέστατον ἑτοιμάζειν. Ἡμεῖς δὲ τέως, ἔφη, χωρήσωμεν εἰς τοὺς ἀγρούς. ἀπεῖχον δὲ τῆς πόλεως σταδίους τέτταρας. ἐπικαθίσαντες οὖν ὀχήματι, ἐξήλθομεν. καὶ ἐπεὶ τάχιστα παρεγενόμεθα, διεβαδίζομεν τοὺς ὀρχάτους τῶν φυτῶν, καὶ ἐξαίφνης προσπίπτει τοῖς γόνασιν ἡμῶν γυνὴ, σχοίνοισι παχείαις δεδεμένη, δίκελλαν κρατοῦσα, τὴν κεφαλὴν κεκαρμένη, ἐῤῥυπωμένη τὸ σῶμα, χιτῶνα ἀνεζωσμένη ἄθλιον πάνυ, καί· Ἐλέησόν με, ἔφη, δέ-

ſem, oſculis idemtidem ſubblandiens, mulierem in meam ſententiam pertraxi: atque ita, quod noctis reliquum erat, ſomno dedimus.

XVII. Quinto autem, poſtquam diſceſſeramus, die Epheſum navim appulimus: ubi Melites domum amplam, & earum, quae illa in urbe eſſent, facile primam, ſervorum praeterea numerum non exiguum, aliam poſtremo ſupellectilem ſane quam lautiſſimam comperi. Mulier interea dum coenae, quam ſplendidiſſimam imperaverat, tempus adventaret, una ſecum me rus, ab urbe non amplius paſſus D diſtans, pergere voluit: quo ſimulac curru vecti ſumus, arborumque in quincuncem directarum ordines perambulare coepimus; e veſtigio mulier quaedam, gravioribus catenis vincta, ligonem geſtans, capillo detonſo, corpore ſqualido, amictu lacero atque diſcincto, ad genua nobis proſtrata: Miſerere, inquit, mei, o hera, mulieris

σποινα, γυνὴ γυναῖκα, ἐλευθέραν μὲν, ὡς ἔφην [1], δούλην δὲ νῦν, ὡς δοκεῖ τῇ τύχῃ. καὶ ἅμα ἐσιώπησεν. λέγει οὖν ἡ Μελίττη· Ἀνάστηθι νῦν, ὦ γύναι· λέγε, τίς εἶ, καὶ πόθεν, καὶ τίς σοι τοῦτον περιέθηκε τὸν σίδηρον· κέκραγεν γάρ σου καὶ ἐν κακοῖσιν ἡ μορφὴ τὴν εὐγένειαν. Ὁ σὸς, εἶπεν, οἰκέτης, ὅτι αὐτῷ μὴ πρὸς εὐνὴν ἐδούλευον. ὄνομα Λάκαινα, τὸ γένος Θετταλὴ, καὶ σοὶ προσφέρω μου ταύτην τὴν τύχην ἱκετηρίαν· ἀπόλυσόν με τῆς καθεστώσης συμφορᾶς· παρασχοῦ δέ μοι τὴν ἀσφάλειαν, ἔστ' ἂν ἀποτίσω τὰς δισχιλίας. τοσούτου γάρ με ὁ Σωσθένης ἀπὸ τῶν λῃστῶν ἐωνήσατο. ποριοῦμεν δὲ εὖ ἴσθι τὴν ταχίστην· εἰ δὲ μὴ, σοὶ δουλεύσομεν. ὁρᾷς δὲ πληγαῖς ὡς κατέξανέ με πολλαῖς; καὶ ἅμα διανοίξασα τὸν χιτῶνα, δείκνυσι τὰ νῶτα δια-

mulier, & liberae quidem olim, ut vere affirmare poſſum; ſervae autem nunc, ſicuti fortunae viſum eſt. Vocemque hic repreſſit. Tum Melite: Surge, inquit, mulier, & quae ſis, & cuias, quiſve has tibi catenas iniecerit, eloquere. Adſpectus enim tuus, etiamſi adverſa fortuna premaris, nobilitatem tuam praedicat. Tum illa: Familiae, inquit, tuae procurator, quod impuris eius cupiditatibus obtemperare nolui. Genere Theſſala ſum, Lacaenae mihi eſt nomen. Hanc ego tibi fortunam meam ſupplex commendo. Tu ex iis me miſeriis, quibus oppreſſam vides, eripe, fidemque mihi tantiſper habe, dum tibi drachmarum duo millia, tanti enim me a piratis Soſthenes emit, diſſolvero. Quae, mihi crede, quam ociſſime conficiam. Sin minus, tibi ſervire pergam. Ceterum quam me ille foede excruciatam habuerit, vide. Protinuſque diducta veſte ter-

1 Ἐλευθέραν μὲν, ὡς ἔφην) Interpres legiſſe videtur: ἐλευθέραν μὲν τὸ πρίν. Rectius tamen videtur, quod & Bergero in mentem venit, ὡς ἔφυν, ex oppoſ. ὡς δοκεῖ τῇ τύχῃ.

γεγραμμένα ἔτι οἰκτρότερον. Ὡς οὖν ταῦτα ἠκούσαμεν, ἐγὼ μὲν συνεχύθην· καὶ γάρ τι ἐδόκει Λευκίππης ἔχειν. Ἡ δὲ Μελίττη ἔφη· Θάῤῥει, γύναι· τούτων γάρ σε λύσομεν, εἴς τε τὴν οἰκίαν προῖκα ἀποπέμψομεν. τὸν Σωσθένην καλεσάτω τὶς ἡμῖν. Ἡ μὲν οὖν εὐθὺς τῶν δεσμῶν ἠλευθεροῦτο· ὁ δὲ παρῆν τεταραγμένος. λέγει οὖν ἡ Μελίττη· Ὦ κακὴ κεφαλή· τοιαῦτά ποτε κἂν τῶν ἀγρειοτάτων οἰκετῶν τεθέασαι παρ' ἡμῖν οὕτως ᾐκισμένον; τίς αὕτη, λέγε μηδὲν ψευσάμενος. Οὐκ οἶδα, εἶπεν, ὦ δέσποινα, πλὴν ἔμπορός τις ὄνομα Καλλισθένης, ταύτην μοι πέπρακεν, φάσκων ἐωνῆσθαι μὲν αὐτὴν ἀπὸ λῃστῶν, εἶναι καὶ ἐλευθέραν. ὄνομα δὲ αὐτὴν ὁ ἔμπορος ἐκάλει Λάκαιναν. Ἡ δὲ τὸν μὲν τῆς διοικήσεως, ἧς εἶχεν, ἀπέσπασεν [1], αὐτὴν δὲ παραδίδωσι θεραπαίναις, κελεύσασα λοῦσαι, καὶ

ga oſtendit miſerum in modum conſcribillata. Quae cum audiviſſemus, ego quidem ſtupore oppreſſus ſum. Leucippes enim ſimilitudinem quandam habere mihi viſa eſt. Melite vero, Bono, inquit, animo eſto. Ab iis enim malis te liberabo, domumque gratis remittam. Mox Soſthenem vocari, eamque e vinculis eximi iuſſit. Sane autem perterritus Soſthenes adfuit ſtatim. Cui Melite: Quando, inquit, ſceleſtum caput, e vilioribus etiam famulis noſtris aliquem tam immaniter a nobis acceptum vidiſti? Sed quaenam haec ſit, age, fallaciis omiſſis, effare actutum. Nihil aliud hercule, inquit ille, o hera, ſcio, praeterquam quod mercator, Calliſthenes ei nomen erat, eam mihi vendidit, a piratis emtam affirmans: eſſe autem liberam, Lacaenamque appellari, aiebat. Melite hominem ab adminiſtratione, cui praeerat, abdicavit, mulierem ancillis commendavit,

1 Ἀπέσπασεν) Sic meliores Codices. In aliis exemplaribus, & quae, ut videtur, ex prima editione deſcripta ſunt: ἡ δὲ τὸν μὲν τῆς διοικήσεως, ἧς εἶχεν, ἀπέπαυσεν. Quod & ipſum ferri poteſt.

ἐσθῆτα ἀμφιᾶσαι καθαρὰν, καὶ εἰς ἄστυ ἀγαγεῖν. διοικήσασα δέ τινα τῶν κατὰ τοὺς ἀγροὺς, ὧν ἕνεκεν παρῆν, ἐπιβᾶσα τοῦ ὀχήματος ἅμα ἐμοὶ, ἐπανήειμεν εἰς τὴν πόλιν, καὶ περὶ τὸ δεῖπνον ἦμεν.

ιή. Ἑστιωμένῳ δέ μοι μεταξὺ σημαίνει νεύσας ὁ Σάτυρος προσανίστασθαι, καὶ ἦν τὸ πρόσωπον ἐσπουδακώς. σκηψάμενος γοῦν ἐπί τινι τῶν κατὰ τὴν γαστέρα ἐπείγειν, διανίσταμαι. καὶ ἐπεὶ προῆλθεν, λέγει μὲν οὐδὲν, ἐπιστολὴν δὲ ὀρέγει. λαβὼν δὲ, πρὶν ἀναγνῶναί με, κατεπλάγην εὐθύς· ἐγνώρισα γὰρ Λευκίππης τὰ γράμματα. ἐγέγραπτο δὲ τάδε.

ΛΕΥΚΙΠΠΗ ΚΛΕΙΤΟΦΩΝΤΙ ΤΩ ΔΕΣΠΟΤΗ ΜΟΥ.

Οὕτω γάρ σε δεῖ καλεῖν, ἐπεὶ καὶ τῆς δεσποίνης ἀνὴρ εἶ τῆς ἐμῆς. Ὅσα μὲν διὰ σὲ πέπονθα, οἶδας.

lotamque ac munda palla indutam in urbem duci iuſſit. Deinceps nonnullis ad agrorum rationem pertinentibus, quorum gratia illo ſe contulerat, imperatis, pilento ad urbem reverſi ſumus, coenaturique accubuimus ibi.

XVIII. Tum Satyrus, vultu neſcio quid ſerium admodum ſubindicante, clam mihi, ut exſurgerem, ſignificavit. Quamobrem purgandae alvi gratia ſecedere me ſimulans, exivi. Tum Satyrus, qui progreſſus erat, nullis omnino prolatis verbis, epiſtolam mihi reddidit: qua reſignata, protinus, antequam legere inciperem, animo conſternatus ſum: Leucippes enim erant manu exaratae hoc exemplo literae.

LEUCIPPE CLITOPHONTI HERO S.

Herum te a me appellari, non eſt ſane quod admirere: quo enim alio te nomine vocem, qui herae meae maritus factus ſis? Quamquam autem, quaecunque tua cauſa pertuli, minime igno-

ἀνάγκη δὲ νῦν ὑπομνῆσαί σε. διὰ σὲ τὴν μητέρα κατέλιπον, καὶ πλάνην εἱλόμην· διὰ σὲ πέπονθα ναυαγίαν, καὶ λῃστῶν ἠνεσχόμην· διὰ σὲ ἱερεῖον γέγονα, καὶ καθαρμὸς, καὶ τέθνηκα ἤδη δεύτερον· διὰ σὲ πέπραμαι, καὶ ἐδέθην σιδήρῳ, καὶ δίκελλαν ἐβάστασα, καὶ ἔσκαψα γῆν, καὶ ἐμαστιγώθην· ἵνα σὺ, ὃ γέγονας, ἄλλῃ γυναικὶ, καὶ ἐγὼ τῶν ἑτέρων ἀνδρῶν γένωμαι; μὴ γένοιτο. ἀλλ' ἐγὼ μὲν ἐπὶ τοσαύταις ἀνάγκαις διεκαρτέρησα. σὺ δὲ ἄπρατος, ἀμαστίγωτος γαμεῖς. εἴ τις οὖν τῶν πεπονημένων διὰ σὲ κεῖται χάρις, δεήθητί σου τῆς γυναικὸς, ἀποπέμψαι, ὡς ἐπηγγείλατο. τὰς δὲ δισχιλίας, ἃς ὁ Σωσθένης ὑπὲρ ἐμοῦ κατεβάλετο, πίστευσον ἡμῖν, καὶ ἐγγύησαι πρὸς τὴν Μελίττην, ὅτι πέμψομαι. ἐγγὺς γὰρ τὸ Βυζάντιον. ἐὰν δὲ καὶ ἀποτίσῃς, νόμιζε μισθόν μοι δεδωκέναι τῶν

ras, commonefaciendum te tamen in praesentia pernecessarium duxi. Tua causa matrem reliqui, errationemque mihi elegi: tua causa naufragium feci, moxque in piratarum manus deveni: tua causa hostia & expiatio facta sum, aliamque iterum mortem oppetii: tua causa venivi, ferreisque catenis fui constricta, ligonem gestavi, terram effodi, vapulavi: ut tu scilicet alterius mulieris coniux, ego alterius viri uxor essem? at hoc Dii prohibeant. Ego quidem certe hasce omnes aerumnas forti animo sustinui: tu vero illaesus, verberumque immunis, novis te nuptiis oblectas. Verum si mihi ullam pro iis incommodis, quae tua causa pertuli, gratiam habendam censes, uxorem tuam obtestare, ut me, sicuti pollicita est, missam faciat, eique drachmarum duo millia, quae pro me Sosthenes exsolvit, sponde: ac, quoniam Byzantio non longe absumus, curaturam me quamprimum, in te recipe. Aut si fidem mihi non habes, omnium tua causa perpessorum gratiam hac ipsa re a te mihi abunde relatam esse ar-

ὑπὲρ σου πόνων. Ἔῤῥωσο, καὶ ὄναιο τῶν καινῶν γάμων. ἐγὼ δὲ ἔτι σοι ταῦτα γράφω παρθένος.

ιθ΄. Τούτοις ἐντυχὼν πάντα ἐγινόμην ὁμοῦ, ἀνεφλεγόμην, ὠχρίων, ἐθαύμαζον, ἠπίστουν, ἔχαιρον, ἠχθόμην. λέγω οὖν πρὸς τὸν Σάτυρον· Πότερον ἐξ ᾅδου ἥκεις φέρων ἐπιστολήν; ἤ τι ταῦτα θέλει; Λευκίππη πάλιν ἀνεβίω; Μάλιστα, ἔφη· καὶ ἔστιν, ἣν εἶδες ἐν τοῖς ἀγροῖς· τότε μὲν οὖν οὐδ' ἂν ἄλλος ἰδὼν αὐτὴν γνωρίσειεν, ἔφηβον οὕτω γενομένην· τοῦτο γὰρ ἡ τῶν τριχῶν αὐτῆς κουρὰ μόνον ἐνήλλαξεν. Εἶτα ἕστηκας, ἔφην, ἐπὶ τηλικούτοις ἀγαθοῖς, καὶ μέχρι τῶν ὤτων μόνον εὐφραίνεις, ἀλλ' οὐ δεικνύεις καὶ τοῖς ὄμμασι τἀγαθά; Μὴ σύ γε, εἶπεν ὁ Σάτυρος· ἀλλ' ἔν σοι κατάσχε· μὴ πάντας ἀπολέσεις, ἕως περὶ τούτων ἀσφαλέστερον βουλευσόμεθα. γυναῖκα ὁρᾷς πρώτην

bitrare. Vale, harumque tibi nuptiarum felicitatem diuturnam habe. Ipſa tibi haec virgo adhuc ſcribo.

XIX. Haec cum legerem, varias in partes animo diſtrahebar: amore incendebar, expalleſcebam, mirabar interdum, interdum fidem literis nullam habebam: ita metu gaudioque confliƈtabar. Tandem Satyro inquam: Mihine hanc ab inferis epiſtolam reddis? aut quid ſibi haec volunt? revixitne iterum Leucippe? Maxime, inquit Satyrus: atque illa eſt, quam in agro ruri vidiſti, ſed eam ſola adeo capillorum commutavit abſciſſio, vix ut a quoquam dignoſci queat. Quid tu igitur tot mihi bonorum, inquam ego, auƈtor meas tantum nunc aures obleƈtas, neque ob oculos felicitatem meam ponis? Tace ſis, inquit Satyrus, remque diſſimula, ne prius nos omnes perdas, quam de tota re ſecurius aliquod a nobis conſilium ineatur. Mulierem hanc vides civitatis huius primariam,

Ἐφεσίων μαινομένην ἐπί σοι· ἡμᾶς δὲ ἐρήμους ἐν μέσοις ἄρκυσιν. Ἀλλ' οὐ δύναμαι, ἔφην. ἐπέρχεται γὰρ διὰ πασῶν τῶν τοῦ σώματος ὁδῶν ἡ χαρά. ἀλλ' ἰδού μοι διὰ γραμμάτων ἐγκαλεῖ. Καὶ ἅμα αὖθις ἐντυγχάνων τοῖς γράμμασιν, ὡς ἐκείνην δι' αὐτῶν βλέπων καὶ ἀναγινώσκων καθ' ἓν, ἔλεγον· Δίκαια ἐγκαλεῖς, Φιλτάτη. πάντα δι' ἐμὲ ἔπαθες, πολλῶν σοι γέγονα κακῶν αἴτιος. Ὡς δὲ εἰς τὰς μάστιγας καὶ εἰς τὰς βασάνους ἐγενόμην, ἃς ὁ Σωσθένης αὐτῇ παρετρίψατο, ἔκλαιον ὥσπερ αὐτὰς τὰς βασάνους βλέπων αὐτῆς. ὁ γὰρ λογισμὸς πέμπων τῆς ψυχῆς τὰ ὄμματα πρὸς τὴν ἐπαγγελίαν τῶν γραμμάτων, ἐδείκνυε τὰ ὁρώμενα ὡς δρώμενα. πάνυ δὲ ἠρυθρίων ἐφ' οἷς μοι τὸν γάμον ὠνείδιζεν, ὥσπερ ἐπ' αὐτοφώρῳ μοιχὸς κατειλημμένος· οὕτως ᾐσχυνόμην καὶ τὰ γράμματα.

tuique amore insanientem: nos autem media intra retia omni ope destitutos versari. Nequeo, inquam ego: totum enim per venas voluptas in corpus diffunditur. Quid, quod etiam mecum per literas expostulat? Lectaque iterum epistola, hunc fere in modum absenti illi, quasi adesset, singulatim respondi: Iusta loqueris, iucundissima Leucippe: verum tu quidem causa mea, quae scribis, omnia pertulisti: vere ipse tibi malorum omnium auctor fui. Cumque ad eam literarum partem venissem, quae contumelias & verbera a Sosthene inflicta continebat, ita collacrimavi, ut si eis interfuissem. Cogitatio enim mentis aciem ad ea, quae literis significantur, convertens, quae leguntur, animo repraesentat, non aliter, quam si res oculis essent subiectae. Illa vero, quibus mihi nuptias obiiciebat, rubore me perfuderunt ita, ut si manifesto in adulterio deprehensus fuissem: adeo me literarum etiam ipsarum verecundia commoverat.

κ΄. Οἴμοι, πῶς ἀπολογήσομαι, Σάτυρε; ἔφην· ἑαλώκαμεν· Λευκίππη κατέγνωκεν ἡμῶν· τάχα δὲ καὶ μεμισήμεθα. ἀλλὰ πῶς ἐσώθη, φράσον σύ· καὶ τίνος σῶμα ἐθάψαμεν; Αὐτή σοι κατὰ καιρὸν φράσει. τὸ δὲ νῦν, ὁ Σάτυρος ἔφη, ἀντιγράψαί σε δεῖ, καὶ ἱλάσασθαι τὴν κόρην. κἀγὼ γὰρ αὐτῇ διωμοσάμην, ὡς ἄκων αὐτὴν ἔγημας. Εἶπας γὰρ, ἔφην, ὅτι καὶ ἔγημα; ἀπολώλεκάς με· τῆς εὐηθείας·[1] ὅλη γὰρ ἡ πόλις οὐκ οἶδε τὸν γάμον. ἀλλ᾽ οὐκ ἔγημα, μὰ τὸν Ἡρακλέα, Σάτυρε, καὶ τὴν παροῦσαν τύχην. Παί-

XX. Ac tum ad Satyrum converſus: Hei mihi, qua excuſatione, inquam, Satyre, utar? Manifeſto nunc quidem certe tenemur. Leucippe nos cognovit: atque utinam ne odio etiam perſequi coeperit. Sed iam quomodo incolumis evaſerit, aut cuius eſſet cadaver illud, quod a nobis ſepultura affectum fuit, pervelim ſcire. Tum Satyrus: Puella rem tibi omnem, inquit, per ocium explicabit. Nunc te reſcribere, illamque placare opus eſt. Ego enim hanc te, contra, quam tibi in animo erat, duxiſſe iureiurando affirmavi. Etiamne igitur, inquam, me illam duxiſſe narraſti? Tu quidem perdidiſti me. O ſtultitiam! nuptiarum enim civitas univerſa adhuc ignara eſt. Quin immo Deum Herculem, meamque praeſentem fortunam teſtor, nullas mihi dum factas eſſe nuptias. Tum Satyrus: Ludis

1 Ἀπολώλεκάς με· τῆς εὐηθείας) Haec verba, una cum antecedentibus ὅτι καὶ ἔγημα, & ſubſequentibus ὅλη γὰρ, in editione prima deſiderantur. Habuit tamen vetus interpres Latinus. Aliter tamen mihi quidem videtur legiſſe, nimirum ἀπολώλεκάς με τῆς εὐθείας. Vertit enim: *recta* (εὐθείας) *tu quidem perdidiſti me*. Sed τῆς εὐηθείας eſt exclamatio elliptica, optime decens animum Clitophontis perturbatum, omiſſa particula exclamandi ὦ vel οἴμοι, & ἕνεκα vel χρῆμα, unde pendeat genitivus. Sic apud Ariſtophanem Eccleſ. v. 782: Τῆς μωρίας, *quaenam haec eſt ſtultitia!* Interpretandus igitur hic Tatii locus: *Tu quidem perdidiſti me. Hem ſapientiam!* ironice; vel *o ſtultitiam!* Εὐήθεια enim utrumque notat.

ζεις, ὦ γαθέ· συγκαθεύδεις. Οἶδα μὲν, ἄπιστα λέγων, ἀλλ' οὔπω πέπρακται. καθαρὸς εἰς ταύτην τὴν ἡμέραν Μελίττης Κλειτοφῶν. Ἀλλὰ τί γράφω, λέγε· σφόδρα γάρ με ἐξέπληξε τὸ συμβὰν, ὥστε ἀπόρως ἔχω. Οὐκ εἰμί σου σοφώτερος, Σάτυρος εἶπεν. ἀλλὰ καὶ αὐτός σοι ὁ ἔρως ὑπαγορεύσει. μόνον διὰ ταχέων. Ἄρχομαι δὴ γράφειν.

Χαῖρέ μοι, ὦ δέσποινα Λευκίππη. Δυστυχῶ μὲν, ἐν οἷς εὐτυχῶ, ὅτι σὲ παρὼν παροῦσαν ὡς ἀποδημοῦσαν ὁρῶ διὰ γραμμάτων. εἰ μὲν οὖν τὴν ἀλήθειαν περιμένεις, μηδὲν προκαταγινώσκουσά μου, μαθήσῃ τὴν σήν με παρθενίαν μεμιμημένον, εἴ τις ἐστὶ καὶ ἐν τοῖς ἀνδράσι παρθενία· εἰ δέ με χωρὶς ἀπολογίας ἤδη μεμίσηκας, ὄμνυμί σοι τοὺς σώσαντάς σε θεοὺς, ὡς ἐν

me, inquit, bone vir, quaſi ſimul cum ea cubare te manifeſtum non ſit. Atqui fide maiora, inquam, loqui me intelligo: ſed hactenus tamen ex ſententia ſua mei nondum Melite potita eſt. Verum, quid ſcripturus ſim, doce. Hic enim eventus me vehementer commovit, atque adeo, ut, quid agam, prorſus ignorem. Ego te, inquit Satyrus, non ſum ſapientior. Tu modo initium ſcribendi fac: amor cetera dictabit. Id autem ut quam primum fiat, etiam atque etiam cura. Tum ego literas conſcripſi hoc exemplo.

CLITOPHON LEUCIPPAE S.

Hera mea, Leucippe, ſalve. Me quidem una eadem res beatum ac miſerum effecit: praeſens enim praeſentem te, ſed tamen ex literis quaſi abſentem cerno. Ceterum ſi rebus iis omiſſis, omnium veritatem inſpicere volueris, nullo interim de me facto praeiudicio, virginitatem profecto meam, ſi qua virorum eſt virginitas, exemplum tuae ſecutam eſſe intelliges. Sin autem indicta me cauſa odiſſe iam coepiſti; polliceor, ita me Dii tui ſer-

βραχεῖ σοι τὸ ἔργον ἀπολογήσομαι. Ἔῤῥωσό, μοι Φιλτάτη, καὶ ἵλεως γένοιο.

κα΄. Δίδωμι δὴ τῷ Σατύρῳ τὴν ἐπιστολὴν, καὶ δέομαι τὰ εἰκότα εἰπεῖν περὶ ἐμοῦ πρὸς αὐτήν. ἐγὼ δὲ αὖθις ἐπὶ τὸ συμπόσιον ἀπῄειν, ἡδονῆς ἅμα καὶ λύπης γεγεμισμένος. ᾔδειν γὰρ τὴν Μελίττην ὡς οὐκ ἀνήσουσάν με τῆς νυκτὸς τὸ μὴ συγγενέσθαι τοὺς γάμους ἡμῖν. ἐμοὶ δὲ ἀδύνατον ἦν Λευκίππην ἀπολαβόντι γυναῖκα ἑτέραν κἂν ἰδεῖν. τὸ μὲν οὖν πρόσωπον ἐβιαζόμην, μηδὲν ἀλλοῖον παρέχειν ἢ πρὶν ἦν· οὐ πάντη δὲ κρατεῖν ἠδυνάμην. ὡς δὲ ἐνικώμην, σκήπτομαι Φρίκην μοι ὑποδραμεῖν. ἡ δὲ συνῆκε μὲν ὅτι κατὰ τῆς ὑποσχέσεως προοιμιάζομαι· ἐλέγχειν δὲ οὐκ ἠδύνατο τὸ προοίμιον. ἐγὼ μὲν δὴ ἄδειπνος ἀνίσταμαι κοιμησόμενος. ἡ δὲ κατὰ πόδας, ὡς εἶχεν, ἐφ' ἡμιτελεῖ τῷ δείπνῳ

vatores ament, futurum, ut iamiam me nulla in culpa esse, haud dubie cognoscas. Vale, teque mihi ut propitiam esse intelligam, cura.

XXI. Conscriptas literas Satyro perferendas trado: atque ut ne quidquam contra, ac deceat, de me loquatur, obtestor. Voluptatis deinde ac moeroris plenus coenatum revertor. Veniebat enim mihi in mentem, non permissuram Meliten, ut ea nocte abirem, propterea quod nuptiae inter nos haud dum perfectae fuerant. Neque tum fieri poterat, ut ipse, Leucippe adinventa, mulierem aliam vel intuerer. Quamobrem vultum ita componere conatus sum, ut ne animo commutato esse iudicarer. Verum cum id a me frustra tentaretur, ingressus, frigore cohorrere me simulavi. Melite tametsi intelligeret, a me causam quaeri, quamobrem promissa non facerem; convincere me tamen palam nequibat. Incoenatus itaque, ut cubitum irem, surrexi: mulierque iisdem vestigiis, media in coena mensa

συνανίσταται. ὡς δὲ εἰς τὸν θάλαμον παρήλθομεν, ἐγὼ μὲν ἔτι μᾶλλον ὑπέτεινον τῆς νόσου τὴν ὑπόκρισιν· ἡ δὲ ἐλιπάρει, καὶ ἔλεγεν· Τί ταῦτα ποιεῖς; μέχρι τίνος με ἀπολλύεις; ἰδοὺ καὶ τὴν θάλατταν διεπλεύσαμεν· ἰδοὺ καὶ Ἔφεσος ἡ προθεσμία τῶν γάμων· ποίαν ἔτι περιμένομεν; μέχρι τίνος ὡς ἐν ἱερῷ συγκαθεύδομεν; ποταμὸν παρατίθης πολὺν, καὶ κωλύεις πίνειν. τοσοῦτον χρόνον ὕδωρ ἔχουσα διψῶ, ἐν αὐτῇ καθεύδουσα τῇ πηγῇ. τοιαύτην ἔχω τὴν εὐνὴν, οἵαν ὁ Τάνταλος τὴν τροφήν. Τοιαῦτα ἔλεγεν καὶ ἔκλαιεν, ἐπιθεῖσά μου τοῖς στερνοῖς τὴν κεφαλὴν, οὕτως ἐλεεινῶς, ὥστε συμπαθεῖν μέ τι τὴν ψυχήν. οὐκ εἶχον δὲ ὅς τις γένωμαι. καὶ γὰρ ἐδόκει δίκαια ἐγκαλεῖν. λέγω οὖν πρὸς αὐτήν· Ὄμνυμί σοι, Φιλτάτη, τοὺς πατρῴους θεοὺς, ἦ μὲν σφόδρα καὶ αὐτὸς ἐπείγομαί σου τὴν

relicta, me consecuta est. Simulac vero cubiculum ingressi essemus, morbum etiam invaluisse prae me ferebam. Illa me obtestans: Quam, inquit, ob causam id agis? quem spernendi finem facturus es? Nos quidem certe maritimis e fluctibus evasimus, atque Ephesum, qui nuptiis constitutus est locus, pervenimus. Ecquem adhuc diem exspectamus? Quamdiu eorum, qui aliquo in sacrario cubant, morem imitabimur? Largam tu quidem aquae mihi copiam offers, verum hauriendam vetas. Tantone tempore aquam habens, & propter ipsum fontem dormiens, sitim explere non possim? Nae ego Tantali mensae haud dissimilem torum sortita sum. Quae cum dixisset, flens meum in pectus miserandum in modum caput demisit, atque adeo, ut ipse quoque vehementer conturbatus, quid facerem, nescirem, quoniam iuste conqueri mihi videbatur. Attamen ita respondi: Patrios equidem Deos testor, o carissima Melite, me id enixe agere, tuae ut morem

σπουδὴν ἀμείψασθαι. ἀλλ' οὐκ οἶδα, ἔφην, τί πέπονθα. νόσος γάρ μοι ἐξαίφνης ἐνέπεσεν. οἶσθα δ' ὅτι ὑγείας χωρὶς οὐδέν ἐστιν Ἀφροδίτη. Καὶ ἅμα λέγων ἀπέψων αὐτῆς τὰ δάκρυα, καὶ ὅρκοις ἑτέροις ἐπιστούμην, ὡς οὐκ εἰς μακρὰν, ὧν θέλει, τεύξεται. τότε μὲν οὖν καὶ μάλα μόλις ἠνέσχετο.

κβ'. Τῇ δ' ὑστεραίᾳ καλέσασα τὰς θεραπαινίδας, αἷς τὴν ἐπιμέλειαν τῆς Λευκίππης ἐνεχείρισεν, ἐπηρώτα μὲν τὸ πρῶτον, εἰ δεξιῶς αὐτῇ κέχρηνται. Φασκουσῶν δὲ μηδὲν τῶν δεόντων παραλιπεῖν αὐτῇ, ἄγειν ἐκέλευσε τὴν ἄνθρωπον πρὸς αὐτήν. ὡς δὲ ἦλθεν· Τὰ μὲν ἐμὰ ὅπως ἔσχεν, ἔφη, πρὸς σὲ φιλανθρωπίας, περισσὸν εἰδυίῃ σοι λέγειν, δίκαια τυγχάνειν [1].

geram voluntati: ſed quid me male habeat, neſcio. Repente enim in morbum incidi. Scis autem tu, incommoda valetudine operam Veneri fruſtra dari. Atque inter loquendum manantes lacrimis oculos eius deterſi, graviſſimumque iusiurandum iuravi, non multo poſt, quae voluiſſet, me facturum eſſe. Hoc pacto incenſum mulieris animum, quamquam non ſine multo labore, placavi.

XXII. Poſtera die Melite, arceſſitis iis, quibus Leucippen commendaverat, ancillis, eiuſne opera recte uterentur, interrogavit: a quibus cum reſponſum accepiſſet, ab ea nihil eorum, quae oporteret, praetermiſſum fuiſſe, illam ad ſe duci iuſſit. Quae poſteaquam adfuit: Quanta erga te, inquit, humanitate uſa ſim, tibi commemorare, ſcienti praeſertim, ſupervacaneum puto. Tantum a te

1 Περισσὸν εἰδυίῃ σοι λέγειν, δίκαια τυγχάνειν) Haec verba, δίκαια τυγχάνειν, ſenſum turbant ac ſyntaxin. Nec habent, quo referantur, nec ſcio, quid velint. Sine his mens auctoris integra eſt. Sed nec Graeca ſatis ſunt. Δικαίων τυγχάνειν is dicitur, qui ius ſuum obtinet. At ne hoc quidem hic locum haberet. Quod amplius eſt, interpres ea non agnoſcit. In Anglicano notata ſunt linea ſubiecta; quo indicio, abeſſe debere, aut in aliis Co-

ἀλλ' ἐν οἷς ἂν δύνῃ, τὴν ἴσην ἀπότισαί μοι χάριν. ἀκούω τὰς Θετταλὰς ὑμᾶς, ὧν ἂν ἐρασθῆτε, μαγεύειν οὕτως, ὥστε μὴ πρὸς ἑτέραν ἔτι τὸν ἄνθρωπον ἀποκλίνειν γυναῖκα, πρός γε τὴν μαγεύουσαν οὕτως ἔχειν, ὡς πάντα νομίζειν ἐκείνην αὐτῷ. ἐμοὶ τοῦτο, ὦ φιλτάτη, φλεγομένῃ παράσχε φάρμακον. τὸν νεανίσκον οἶδας, τὸν ἅμα μοι χθὲς βαδίζοντα; Τὸν ἄνδρα, ἔφη, λέγεις τὸν σόν; ὑπολαβοῦσα πάνυ κακοήθως ἡ Λευκίππη. τοῦτο γὰρ ἀκήκοα παρὰ τῶν κατὰ τὴν οἰκίαν. Ποῖον ἄνδρα; Μελίττη εἶπεν· οὐδὲν κοινόν ἐστιν ἢ τοῖς λίθοις. ἀλλ' ἐμὲ παρευδοκιμεῖ τις νεκρά. οὔτε γὰρ ἐσθίων, οὔτε κοιμώμενος ἐπιλαθέσθαι δύναται τοῦ Λευκίππης ὀνόματος. οὕτω γὰρ αὐτὴν καλεῖ. ἐγὼ δέ,

peto, ut iis in rebus, quas in tua poteſtate ſitas eſſe non ignoro, parem mihi gratiam referas. Audio, Theſſalas veſtras, quos ament, ita cantionibus veneficiiſque percellere, ut ad aliam mulierem nullo animum pacto adiicere queant: quin immo ſui deſiderio ita inflammare, ut illas omnia ſibi eſſe arbitrentur. Hac in re mihi, amore flagranti, a te, ſiquidem Theſſala es, opem ferri velim. Noſtine adoleſcentem, quem heri mecum gradientem vidiſti? Maritum ais tuum? inquit tum callida Leucippe. Sic enim de familiari quodam didici. Quem maritum? inquit Melite: mihi quidem certe nihil amplius cum illo rei eſt, quam cum lapide aliquo: ſed mihi Leucippe quaedam mortua praeponitur; hoc enim nomine illam vocat, cuius neque edens, neque bibens, neque vero etiam dormiens oblivifci poteſt: ſed neque huius unquam fecit, quod ego

dicibus deeſſe, ſignificavit, qui eam lineam duxit, ut in aliis ſolitus. Me auctore igitur delenda. *Salmaſ.* Ed. pr. εἰ δύνῃ. *Boden.*

Forte hic ſenſus: *iuſta tamen, quae tu a me conſequaris*; ſuppleto σε poſt τυγχάνειν.

φίλη, μηνῶν τεσσάρων ἐν Ἀλεξανδρείᾳ δι᾽ αὐτὸν διέτριψα, δεομένη, λιπαροῦσα. τί γὰρ οὐ λέγουσα; τί δὲ οὐ ποιοῦσα τῶν ἀρέσαι δυναμένων; ὁ δὲ σίδηρός τις, ἢ ξύλον, ἤ τι τῶν ἀναισθήτων ἦν ἄρα πρὸς τὰς δεήσεις τὰς ἐμὰς, μόλις δὲ τῷ χρόνῳ πείθεται, ἐπείσθη δὲ μέχρι τῶν ὀμμάτων. ὄμνυμι δή σοι τὴν Ἀφροδίτην αὐτὴν, ὡς ἤδη πέμπτην ἡμέραν αὐτῷ συγκαθεύδουσα, οὕτως ἀνέστην ὡς ἀπὸ εὐνούχου. ἔοικα δὲ εἰκόνος ἐρᾷν· μέχρι γὰρ τῶν ὀμμάτων ἔχω τὸν ἐρωμένον. δέομαι δέ σου γυναικὸς γυνὴ τὴν αὐτὴν δέησιν, ἣν καὶ σύ μοι χθὲς ἐδεήθης· [1] δός μοί τι ἐπὶ τοῦτον τὸν ὑπερήφανον. σώσεις γάρ μου τὴν ψυχὴν διαῤῥεύσασαν ἤδη. Ὡς οὖν ἤκουσεν ἡ Λευκίππη, ἥσθηναι μὲν ἐδόκει τῷ μηδὲν πρὸς τὴν ἄνθρωπόν μοι πεπρᾶχθαι· φήσασα δὲ ἀνερευνήσειν, εἰ συγχωρήσειεν αὐτῇ, βοτάνας, γενομένη κατὰ τοὺς

Alexandriae illius cauſa menſes IV morata ſum, rogans, obteſtans, pollicens, nihil praeterea rerum, quibus allici poſſet, praetermittens; ſed tanquam ferrum, ſtipeſve, aut huiuſmodi quiddam aliud ſenſu carens, preces meas non curat; vixque tempori paret, id unum prope concedens, ut videndo tantum ſe fruar. Teſtor autem Venerem ipſam, noctes me quinque cum eo cubuiſſe, ſurrexiſſeque non aliter, quam ſi cum eunucho aliquo iacuiſſem: ut ſtatuam diligere me videar, cui non, niſi oculis, amato frui datum ſit. Itaque, quod tu heri mecum egiſti, te mulierem mulier rogo, ut aliquid mihi contra ſuperbum iſtum auxilii feras: quo iam paene fugientem mihi animum reddas. His cognitis, Leucippe incredibilem voluptatem cepit, quod Meliten a me ſpe ſua fruſtratam cognoviſſet; herbaſque ſe conquiſituram, dum modo quaerendi ſibi

1 Σύ μοι χθὲς ἐδεήθης) Locus depravatus. Editio prima: σοὶ μοι (ſic) χθὲς ἐδεήθης. Legendum opinor: ἣν καὶ σύ μου χθὲς ἐδεήθης.

ἀγροὺς, ἀπιοῦσα ᾤχετο. ἀρνουμένη γὰρ οὐκ ᾤετο πίστιν ἕξειν. ὅθεν οἶμαι καὶ ἐπηγγείλατο. Ἡ μὲν δὴ Μελίττη ῥάων ἐγεγόνει, μόνον ἐλπίσασα. τὰ γὰρ ἡδέα τῶν πραγμάτων, κἂν μή πω παρῇ, τέρπει ταῖς ἐλπίσιν.

κγ΄. Ἐγὼ δὲ τούτων ἐπιστάμενος οὐδὲν, ἠθύμουν μὲν, σκοπῶν, πῶς ἂν διακρουσαίμην καὶ τὴν ἐπιοῦσαν νύκτα τὴν γυναῖκα, καὶ πῶς ἂν συντυχεῖν Λευκίππῃ δυναίμην. Ἐδόκει μοι δὲ [1] κἀκείνη τὴν ἴσην σπουδὴν ποιεῖσθαι τοῦ ἀπελθεῖν δι' αὐτὴν εἰς τοὺς ἀγροὺς, καὶ περὶ τὴν ἑσπέραν αὖθις ἥκειν. Ἔμελλεν τῇ Λευκίππῃ παρέχειν ὄχημα, καὶ ἡμεῖς δὲ ἐπὶ τὸν τόπον ἦμεν· [2] ἄρτι δὲ κατακλιθέντων ἡμῶν θόρυβος

potestas fieret, inquiens, rus profecta est. Negare autem noluisse crediderim, quod fidem sibi a Melite habitum non iri existimaret. Hac spe sibi ostentata, Melite animi curam remisit. Iucundarum enim rerum exspectatio, nedum praesentia, voluptatem affert.

XXIII. At vero ego horum omnium ignarus animi pendebam: cogitabamque, qua ratione futura etiam nocte Meliten frustrari, ac Leucippen convenire possem: nec enim mihi aliam ob causam elaborare videbatur, ut rus se conferret, vesperique reverteretur. Interea dum in Leucippes abitum currus adornaretur, vixque coenaturi ipsi accubuissemus, tumultus ingens concursusque repentinus

1 Ἐδόκει μοι δὲ &c.) Locus vexatissimus, in quo expediendo frustra laboravit Salmasius legendo: ἐδόκει μηδὲ κἀκείνη — αὖθις ἥκειν ἔμελλε, καὶ ἡ Μελίττη Λευκίππῃ παρέξειν ὄχημα. Aliam rationem iniit Abresch. Lectt. Aristaen. p. 253, scribendo: ἐδόκει μοι κἀκείνη (Leucippe) — αὖθις ἥκειν ἔμελλε, καὶ αὐτῇ Μελίττη παρέχειν ὄχημα. Sensus videtur esse hic: *Et ipsa* (Leucippe) *id sedulo agere videbatur, ut, itinere confecto, vesperi reverteretur*, nimirum ut mecum colloqui posset. Reliqua ἔμελλεν — ὄχημα nexu omni destituta sunt.

2 Ἐπὶ τὸν τόπον ἦμεν) Ἐπὶ τὸν πότον ἦμεν e coniectura dedit Salmasius, ut πότος omnino *convivium*, *prandium* denotet.

πολὺς κατὰ τὸν ἀνδρῶνα ἀκούεται καὶ συνδρομὴ, καὶ εἰστρέχει τις τῶν θεραπόντων, ἀσθμαίνων ἅμα καὶ λέγων· Θέρσανδρος ζῇ καὶ πάρεστιν. Ἦν δὲ Θέρσανδρος οὗτος ὁ τῆς Μελίττης ἀνὴρ, ὃν ἐνόμιζεν τεθνηκέναι κατὰ θάλασσαν. τῶν γὰρ συνόντων αὐτῷ τινες οἰκετῶν, ὡς περιετράπη τὸ σκάφος σωθέντες καὶ νομίσαντες ἀπολωλέναι, τοῦτο ἀπαγγείλαντες ἔτυχον. ἅμα οὖν ὁ οἰκέτης εἶπεν, καὶ ὁ Θέρσανδρος κατὰ ποδῶν εἰστρέχει. πάντα γὰρ τὰ περὶ ἐμοῦ πυθόμενος κατὰ τὴν ὁδὸν, ἔσπευσε φθάσας καταλαβεῖν με. ἡ μὲν δὴ Μελίττη ἀνέθορεν ὑπ᾽ ἐκπλήξεως τοῦ παραλόγου, καὶ περιβάλλειν ἐπεχείρει τὸν ἄνδρα. ὁ δὲ τὴν μὲν ὡς εἶχεν ὤθει μάλα ἐῤῥωμένως· ἐμὲ δὲ ἰδὼν καὶ εἰπών· Ὁ μοῖχος οὗτος; ἐμπηδᾷ, καὶ ῥαπίζει με κατὰ κόῤῥης πληγὴν θυμοῦ γέμουσαν. ἑλκύσας δὲ τῶν τριχῶν, ἀράσσει πρὸς τοὔδαφος, καὶ προσπίπτων κατακόπτει

iuxta aedium partem illam, in qua viri degebant, exauditus eſt: e veſtigioque ſervorum unus, prae curſus feſtinatione ſpiritum aegre ducens, introivit, Therſandrumque vivere atque adeſſe nuntiavit. Erat is Melites coniux, quem naufragio periiſſe putabant. Atque haec a nonnullis illius domeſticis, qui cum eo navigaverant, fracta navi ſemotis, eumque diem obiiſſe arbitrantibus, fama dimanaverat. Vix autem ſervus ea locutus fuerat, cum Therſander illum ſubſecutus, coenaculum ſubito intravit: accelerabat enim, ut me, de quo ſub ipſum ſtatim adventum ſuum omnia cognoverat, deprehenderet. Melite, quamquam repentino caſu turbata eſt, maritum tamen amplecti voluit; ſed eam ille magna vi repulit, in meque oculos convertens: Hiccine, inquit, adulter eſt? Protinuſque facto in me impetu, iracundia exardens, plagam maxillae intulit: mox capillis abreptum atque ad terram

με πληγαῖς. ἐγὼ δὲ ὥσπερ ἐν μυστηρίῳ μηδὲν, μήθ' ὅς τις ὁ ἄνθρωπος ἦν, μήθ' οὗ χάριν ἔτυπτεν, ὑποπτεύσας δή τι κακὸν εἶναι, ἐδεδοίκειν ἀμύνασθαι, καί τοι δυνάμενος. ἐπεὶ δὲ ἔκαμεν, ὁ μὲν τύπτων, ἐγὼ δὲ φιλοσοφῶν, λέγω πρὸς αὐτὸν ἀναστάς· Τίς εἶ ποτε, ὦ ἄνθρωπε; καὶ τί με οὕτως ᾐκίσω; Ὁ δὲ ἔτι μᾶλλον ὀργισθεὶς ὅτι καὶ φωνὴν ἀφῆκα, ῥαπίζει πάλιν, καὶ καλεῖ δεσμὰ καὶ πέδας. δεσμεύουσιν οὖν με καὶ ἄγουσιν εἴς τι δωμάτιον.

κδ'. Ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, λανθάνει μου διαῤῥυεῖσα ἡ τῆς Λευκίππης ἐπιστολή· ἔτυχον γὰρ αὐτὴν εἴσω τοῦ χιτωνίσκου προσδεδεμένην ἐκ τῶν τῆς ὀθόνης θυσάνων ἔχων. καὶ ἡ Μελίττη ἀναιρεῖται λαθοῦσα· ἐδεδίει γὰρ μή τινα τῶν πρός με αὐτῆς γραμμάτων ἦν. ὡς δὲ ἀνέγνω καθ' ἑαυτὴν γενομένη, καὶ τὸ τῆς Λευ-

proiectum totum verberibus confecit. Ego, quasi seclusis sacris interessem, non modo quis esset, aut quamobrem me caederet, non rogavi, sed ne verbum quidem proferre ausus sum. Verum id, quod res erat, mecum reputans, etsi maxime contra niti poteram, tamen id facere veritus fui. Tandem cum ille verberando, ego ratiocinando fessi essemus, surgens, Quis tu, inquam, es? cur me tam contumeliose caedis? At ille, propterea quod vocem misissem, iratior multo factus, manus iterum mihi iniecit, vinculaque & compedes poposcit: quibus constrictum me in cubiculum quoddam coniecit.

XXIV. Interea factum est, ut Leucippes epistola, quam forte tunicae adalligatam habebam cirris interulae, imprudenti mihi exciderit, eamque Melite clam susceperit, verita, ne qua ex suis esset ad me literis: sed non multo post, cum sola esset, tota de re, Leucippes nomine in-

κίππης εὗρεν ὄνομα, βάλλεται [1] μὲν τὴν καρδίαν, εὐθέως γνωρίσασα τοὔνομα· οὐ μὲν αὐτὴν ἐνόμιζεν εἶναι, τῷ πολλάκις αὐτὴν ἀκοῦσαι τετελευτηκέναι. ὡς δὲ προϊοῦσα, καὶ τοῖς λοιποῖς τῶν γεγραμμένων ἐνέτυχε, πᾶσαν μαθοῦσα τὴν ἀλήθειαν, ἐμεμέριστο πολλοῖς ἅμα τὴν ψυχήν, αἰδοῖ, καὶ ὀργῇ, καὶ ἔρωτι, καὶ ζηλοτυπίᾳ. ᾐσχύνετο τὸν ἄνδρα, ὠργίζετο τοῖς γράμμασιν. ὁ ἔρως ἐμάραινε τὴν ὀργήν, ἐξῆπτε τὸν ἔρωτα ἡ ζηλοτυπία, καὶ τέλος ἐκράτησεν ὁ ἔρως.

κε΄. Ἦν δὲ πρὸς ἑσπέραν, καὶ ἔτυχεν ὁ Θέρσανδρος ἐκ τῆς πρώτης ὀργῆς πρὸς ἑταῖρόν τινα τῶν ἐγχωρίων ἐκθορών. ἡ δὲ διαλεχθεῖσα τῷ τὴν φυλακὴν τὴν ἐμὴν πεπιστευμένῳ, εἰσέρχεται πρός με λαθοῦσα τοὺς ἄλλους θεράποντας, δύο τοῦ δωματίου προκαθίσασα, καὶ καταλαμβάνει χαμαὶ καταβεβλημένον. Παρα-

vento, certior facta, prorsus exanimata est: non tamen eam esse credidit, quam ruri compereramus; propterea quod sublatam e vivis fuisse non semel audiverat. Tandem vero tota epistola perlecta, veritateque iam clarius cognita, cum verecundia atque obtrectatione oppressa, varias in partes distrahi coepit. Nam & maritum verebatur, & literis non poterat non irasci: sed irae alioqui opponebatur amor, qui, obtrectatione auxilium sibi afferente, victor tandem evasit.

XXV. Quamobrem cum advesperasset, ac primo illo ab impetu ad familiarem quendam suum Thersander se contulisset; Melite hominem, cui mei custodia credita fuerat, allocuta, ad me, clam aliis servis, e quorum numero duos ante cubiculi fores collocaverat, ingressa est: quem humi proiectum cum offendisset, propius accedens,

1 Βάλλεται) Forte: πάλλεται, quod poëtis inprimis frequentatur hac de re; e. g. Aesch. Suppl. 792.

στᾶσα οὖν, πάντα ἤθελεν εἰπεῖν· ὁμοῦ τὸ σχῆμα τοῦ προσώπου τοσαῦτα εἶχεν, ὅσα εἰπεῖν ἤθελεν. Ὦ δυστυχὴς ἐγὼ, καὶ ἐπὶ τῷ ἐμαυτῆς κακῷ τεθεαμένη σε τὸ μὲν πρῶτον, ἀτέλεστα ἐρασθεῖσα καὶ μετὰ πάσης ἀνοίας, ἣ καὶ μισουμένη τὸν μισοῦντα φιλῶ, καὶ ὀδυνωμένη τὸν ὀδυνῶντα ἐλεῶ, καὶ οὐδὲ ὕβρις τὸν ἔρωτα παύει. ὦ ζεῦγος κατ᾽ ἐμοῦ γοήτων, ἀνδρὸς καὶ γυναικός. ὁ μὲν τοσοῦτόν μου χρόνον κατεγέλα· ἡ δὲ ἀπῆλθεν κομιοῦσά μοι φίλτρον. ἐγὼ δὲ ἡ κακοδαίμων, ἠγνόουν αἰτοῦσα παρὰ τῶν ἐχθίστων κατ᾽ ἐμαυτῆς φάρμακον. Καὶ ἅμα τὴν ἐπιστολὴν τῆς Λευκίππης μοι προσέρριψεν. Ἰδὼν οὖν καὶ γνωρίσας, ἔφριξα, καὶ ἔβλεπον εἰς γῆν ὡς ἐληλεγμένος. Ἡ δὲ ἐτραγῴδει πάλιν· Οἴμοι δειλαία τῶν κακῶν. καὶ γὰρ τὸν ἄνδρα ἀπώλεσα διά σε. οὔτε γὰρ ἂν ἔχοιμί σε τοῦ λοιποῦ

eodem omnia momento proferre volebat, ipſo nihilominus vultu, quaecunque dictura erat, prae ſe ferente. Igitur: O me, inquit, infelicem, meamque in perniciem te primum conſpicatam, quae, quod aſſequi non poſſim, tantopere appetam! o penitus dementem, quae mei contemtorem amore proſequar! quae doloribus excruciata excrucianti miſericordiam tribuam: neque ipſa contumelia amorem debilitat! o viri & mulieris par adverſus me conſpirans: quorum alter ludibrio me iamdiu habet, altera herbas conquiſitum abiit! mene igitur ab infenſiſſimis hoſtibus opem quaerere, hactenus non intellexiſſe? Haec locuta Melite, Leucippes literas in me proiecit. Quibus agnitis, cohorrui ſtatim, vultumque, tanquam magni alicuius flagitii reus, deieci. Illa vero amplius etiam flere ac conqueri perrexit: Heu me tot malis afflictam! Tua ego cauſa maritum amiſi, nec tamen te frui poſthac mihi licebit:

χρόνου, κἂν μέχρι τῶν ὀμμάτων τῶν κενῶν, ἐπεὶ μὴ δεδύνημαι τούτων πλέον. οἶδα ὅτι ὁ ἀνήρ με μισεῖ, καὶ μοιχείαν κατέγνωκεν ἐπί σοι, μοιχείαν ἄκαρπον, μοιχείαν ἀναφρόδιτον, ἧς μόνον τὴν λοιδορίαν κεκέρδακα. αἱ μὲν γὰρ ἄλλαι γυναῖκες, μισθὸν τῆς αἰσχύνης ἔχουσι τὴν τῆς ἐπιθυμίας ἡδονήν· ἐγὼ δὲ ἡ δυστυχὴς, τὴν μὲν αἰσχύνην ἐκαρπωσάμην, τὸ δὲ τῆς ἡδονῆς οὐδαμοῦ. ἄπιστε καὶ βάρβαρε· ἐτόλμησας οὕτως ἐρῶσαν γυναῖκα κατατῆξαι, καὶ ταῦτα ἔρωτος καὶ σὺ δοῦλος ὤν; οὐκ ἐφοβήθης αὐτοῦ τὰ μηνίματα; οὐκ ᾐδέσθης αὐτοῦ τὸ πῦρ; οὐκ ἐτίμησας αὐτοῦ τὰ μυστήρια; οὐ κατέκλασέν σε ταῦτα τὰ ὄμματα δακρύοντα; ὦ καὶ λῃστῶν ἀγριώτερε. δάκρυα γὰρ καὶ λῃστὴς αἰσχύνεται. οὐδέν σε ἠρέθισεν εἰς ἀφροδίτην κἂν μίαν, οὐ δέη-

quin immo adſpeƈtu etiam tuo, quo uno tantum a te dignata ſum, brevi mihi carendum eſſe intelligo. Atque ad haec mala illud etiam accedit. Tua enim cauſa me coniux odio proſequitur, atque adulterii ream facit, & eius quidem, ex quo fruƈtus ac voluptatis nihil, infamiae autem plurimum, ad me redundavit. Sane aliae mulieres ex turpitudine voluptatem conſequuntur: at miſerae mihi ſola ſine voluptate turpitudo parata eſt. O infidum, o barbarum, o piratis immaniorem Clitophontem! Tene, mulierem tam impotenti tui amore deflagrantem, tam miſerum in modum excruciari, aequo animo ferre poſſe, cum amori tu quoque deſervias? neque te divinam Cupidinis iram timere? non faces eius, non arcana vereri? non lacrimis, quas oculi iſti ubertim profunderunt, commoveri? O piratis immaniorem! lacrimas enim vel ipſe praedo veretur. Quid, quod animum tuum non modo non pellexerunt preces meae, ut ſemel ſaltem mihi morem gereres; ſed ne ullum quidem idonei temporis opportunitas,

σις, οὐ χρόνος, οὐχ ἡ τῶν σωμάτων συμπλοκή· ἀλλὰ, τὸ πάντων ὑβριστικώτατον, προσαπτόμενος, καταφιλῶν, οὕτως ἀνέστης ὡς ἄλλη γυνή. τίς αὕτη τῶν γάμων ἡ σκιά; οὐ μὲν δὴ γεγηρακυίᾳ συνεκάθευδες, οὐδὲ ἀποστρεφομένῃ σου τὰς περιπλοκὰς, ἀλλὰ καὶ νέᾳ καὶ φιλούσῃ, εἴποι δ᾽ ἂν ἄλλος ὅτι καὶ καλῇ. εὐνοῦχε, καὶ ἀνδρόγυνε, καὶ κάλλευς καλοῦ βάσκανε. ἐπαρῶμαί σοι δικαιοτάτην ἀρὰν, οὕτως σε ἀμύναιτο ὁ ἔρως εἰς τὰς σάς. Ταῦτα ἔλεγεν, καὶ ἅμα ἔκλαιεν.

κϛ΄. Ὡς δὲ ἐσιώπων ἐγὼ κάτω νενευκὼς, μικρὸν διαλιποῦσα, λέγει μεταβαλοῦσα· Ἃ μὲν εἶπον, ὦ φίλτατε, θυμὸς ἔλεγεν καὶ λύπη· ἃ δὲ νῦν μέλλω λέγειν, ἔρως λέγει. κἂν ὀργίζωμαι, καίομαι· κἂν

aut mutuus complexus, aut aliud quidpiam apud te pondus habuerunt. Quin immo, quod omnium contumeliosissimum est, e complexu meo, ex ipsis dissuaviationibus aeque discedis atque alia mulier. Et quid hoc est, nisi nuptiarum umbra? Tu quidem certe non cum effoeta aliqua, tuosve amplexus aversante cubuisti; sed & cum adolescente & cum amante, addiderit vero aliquis etiam, & cum formosa. Eunuche, evirate, pulchritudinis perditor, nunc ego immortales Deos precor, tuis ut desideriis contraria omnia evenire velint: quo in te, quae in me moliris, cuncta experiare. Haec non sine lacrimis locuta Melite, parumper conticuit.

XXVI. Deinde ut me tacentem, atque oculos humi defigentem animadvertit, animo penitus commutato, rursum: Quae hactenus locuta sum, inquit, suavissime adolescens, ira & moeror suggessit: nunc ad dicendum me amor impellit. Qui vero potui non irasci, & convicia in te ingerere, cum tota arderem, intimasque corporis partes miserrimum in modum ignis popularetur? Ah saltem

ὑβρίζωμαι, Φιλῶ. πεῖσαι, κἂν νῦν ἐλέησον· οὐκ ἔτι δέομαι πολλῶν ἡμερῶν καὶ γάμου μακροῦ, ὃν ἡ δυστυχὴς ὀνειροπόλουν. ἐπὶ σοὶ ἀρκεῖ μοι κἂν μία συμπλοκή. μικροῦ δέομαι φαρμάκου πρὸς τηλικαύτην νόσον. σβέσον μοι ὀλίγον τοῦ πυρός. εἰ δέ τι σοὶ προπετῶς ἐθρασυνάμην, σύγγνωθι, φίλτατε· ἔρως ἀτυχῶν καὶ μαίνεται. ἀσχημονοῦσα, οἶδα, ἀλλ' οὐκ αἰσχύνομαι τὰ τοῦ ἔρωτος ἐξαγορεύουσα μυστήρια. πρὸς ἄνδρα λαλῶ μεμυημένον. οἶδας τί πάσχω. τοῖς δὲ ἄλλοις ἀνθρώποις ἀθέατα τὰ βέλη τοῦ θεοῦ, καὶ οὐκ ἄν τις ἐπιδεῖξαι δύναιτο τὰ τοξεύματα, μόνοι δὲ οἴδασιν οἱ ἐρῶντες τὰ τῶν ὁμοίων τραύματα. ἔτι μόνον ἔχω ταύτην τὴν ἡμέραν· τὴν ὑπόσχεσιν ἀπαιτῶ. ἅμα μνήσθητι τῆς Ἴσιδος, αἰδέσθητι τοὺς ὅρκους τοὺς ἐκεῖ. εἰ μὲν γὰρ καὶ συνοικεῖν ἤθελες, ὥσπερ ἐπηγγείλω, οὐκ

nunc mihi morem gere. Non ego dies multos, aut nuptias diuturnas peto, quarum ſpe miſeram me hactenus produxiſti. Unicus mihi ſatis erit congreſſus, vel tantula ope mihi ad tanti morbi vim depellendam opus eſt. Agedum, ignem hunc mihi aliquantum reſtingue: ac, ſi quid in te aſperius antea locuta ſum, ignoſce, obſecro, gratiſſime adoleſcens. Non enim poteſt, qui infeliciter amat, non inſanire. Nec vero me fugit, quam turpem cauſam agam: verumtamen amoris arcana palam facere haud quaquam pudet. Hominem, Amoris ſacris initiatum, quoque pacto affecta ſim intelligentem, alloqui me ſcio. Aliis Dei huius tela ignota ſunt. Solis enim amantibus, praeterea nullis, amantium vulnera innoteſcunt. Haec mihi adhuc ſupereſt dies, qua ut promiſſa facias, obteſtor. Iſidis tibi veniat in mentem; neque, quod in illius templo iuraſti, flocciſeceris. Quod ſi, ut inter nos iureiurando firmatum eſt, promiſſis ſtare voluiſſes, non equidem Therſandros

ἂν ἐφρόντισα Θερσάνδρων μυρίων. ἐπεὶ δὲ Λευκίππην εὑρόντι σοι γάμος ἀδύνατος ἄλλης γυναικός· ἑκοῦσά σοι κἀγὼ τοῦτο παραχωρῶ. οἶδα νικωμένη· οὐκ αἰτῶ πλέον ἢ δύναμαι τυχεῖν. κατ' ἐμοῦ γὰρ πάντα καινά· ἀναβιοῦσι καὶ νεκροί. ὦ θάλασσα, πλέουσαν μέν με διέσωσας, σώσασα δὲ μᾶλλον ἀπολώλεκας, δύο ἀποστείλασα κατ' ἐμοῦ νεκρούς. οὐκ ἤρκει γὰρ Λευκίππη μόνη ζήσασα, ἵνα μηκέτι λυπῆται Κλειτοφῶν. νῦν δὲ καὶ ὁ ἄγριος Θέρσανδρος ἡμῖν πάρεστιν. τετύπτησαι βλεπούσης μου, καὶ βοηθεῖν ἡ δυστυχὴς οὐκ ἠδυνάμην. ἐπὶ τοῦτο τὸ πρόσωπον πληγαὶ κατηνέχθησαν. ὦ θεοί· δοκῶ, τυφλὸς Θέρσανδρος ἦν. ἀλλὰ δέομαι, Κλειτοφῶν δέσποτα· δεσπότης γὰρ εἶ ψυχῆς τῆς ἐμῆς· ἀπόδος σεαυτὸν τήμερον πρῶτα καὶ ὕστατα. ἐμοὶ δὲ ἡμέραι τὸ βραχὺ τοῦτο πολλαί. οὕτω μηκέτι

millê curaverim. Ceterum quoniam, Leucippe inventa, nullo fieri pacto poteſt, aliam ut ducas, per me quidem fac, ut lubet. Mihi enim cedendum eſſe intelligo: iamque amplius nihil, niſi quod me conſequi poſſe arbitror, peto: quandoquidem mihi omnia bellum indicunt, ac mortui etiam ipſi ab inferis excitantur. O mare, tu certe navigantem ſervaſti, verum ſervando maiores in aerumnas conieciſti, duobus mortuis meam in perniciem advectis, quaſi non una Leucippe ſatis eſſet. Sed vivat ſane illa, ne Clitophon in moerore iaceat. Illud vero quis ferat, ferum Therſandrum nunc rediiſſe? me vidente hominem percuſſiſſe, miſeramque opis nihil ferre potuiſſe? Adhuc quidem, Dii boni, facies tota livoribus foedata conſpicitur. Caecus tum, puto, Therſander fuit. Sed te, o here Clitophon, tu enim animae imperium meae ſolus obtines, id unum rogo, hodie ſaltem ut mihi te primum & ultimum concedas. Parva haec mora multorum apud me dierum lo-

Λευκίππην ἀπολέσῃς, οὕτω μηκέτι μήτε ψευδῶς ἀποθάνοι. μὴ ἀτιμάσῃς τὸν ἔρωτα τὸν ἐμὸν, δι᾽ ὃν τὰ μέγιστα εὐτυχεῖς. οὗτός σοι Λευκίππην ἀποδέδωκεν. εἰ γάρ σου μὴ ἠράσθην ἐγὼ, εἰ γάρ σε μὴ ἐνταῦθα ἤγαγον, ἦν ἂν ἔτι σοι Λευκίππη νεκρά. εἰσὶν, ὦ Κλειτοφῶν, καὶ τύχης δωρεαί. ἤδη τις θησαυρῷ περιτυχὼν, τὸν τόπον τῆς εὑρήσεως ὡς ἐτίμησεν, βωμὸν ἤγειρεν, θυσίαν προσήνεγκεν, ἐστεφάνωσε τὴν γῆν· σὺ δὲ παρ᾽ ἐμοὶ θησαυρὸν ἔρωτος εὑρὼν, ἀτιμάζεις τὰ εὐεργετήματα. νόμιζέ σοι τὸν ἔρωτα δι᾽ ἐμοῦ λέγειν· ἐμοὶ χαρίσαι τοῦτο, Κλειτοφῶν, τῷ μυσταγωγῷ. μὴ ἀμύητον τὴν Μελίττην ἀπέλθῃς καταλιπών· καὶ τὸ ταύτης ἐμόν ἐστι πῦρ. ἄκουσον δὲ, ὡς καὶ τ᾽ ἄλλα μοι μέλει περί σου. λυθήσῃ μὲν γὰρ ἄρτι τῶν δεσμῶν, κᾂν Θερσάνδρῳ μὴ δοκῇ· καταγωγῆς δὲ τεύξῃ τοσου-

co erit. Sic neque tu Leucippen amiſeris: neque illa vel falſam mortem obierit. Ne meum amorem neglexeris: cuius cauſa cum alia commoda plurima, tum Leucippen ipſam, es conſecutus. Niſi enim ego te amaſſem, hucque perduxiſſem, mortuam utique Leucippen adhuc arbitrareris. Fortunae vero etiam benignitati aliquid eſt, quod acceptum ferri deceat. Cum theſaurum, neſcio quis, inveniſſet, locum, in quo invenit, in honore habuit, aram conſecravit, libamina obtulit, telluremque coronavit. Tu vero amatorio theſauro apud me reperto, non modo gratiam non refers, verum etiam beneficii auctorem ſpernis. Haec autem mea cauſa tecum Amorem loqui exiſtima. Id mihi tuae militiae anteſignano concede, Clitophon, ut ne hinc Melite intacta diſcedat. Meus ignis eſt, qui eam urit. Itaque Deo pare, Clitophon, ſi quidem cetera tua mihi curae eſſe cupis. A vinculis, medius fidius, tametſi Therſandro id minime videatur, te nunc ſolvam:

των ἡμερῶν, ὅσων ἐὰν θέλῃς, πρὸς ἐμὸν σύντροφον. ἕωθεν δὲ καὶ Λευκίππην παρέσεσθαι προσδόκα. διανυκτερεύσειν γὰρ ἔλεγεν εἰς τὸν ἀγρὸν, βοτανῶν ἕνεκεν χάριν, ὡς ἐν ὄψει τῆς σελήνης αὐτὰς ἀναλάβοι. οὕτως γάρ μου κατεγέλα. ᾔτησα γὰρ φάρμακον παρ' αὐτῆς ὡς Θετταλῆς κατά σου. τί γὰρ ἠδυνάμην ἔτι ποιεῖν ἀποτυγχάνουσα, ἢ βοτάνας ζητεῖν καὶ φάρμακα; αὕτη γὰρ τῶν ἐν ἔρωτι δυστυχούντων καταφυγή. ὁ Θέρσανδρος δὲ, ὡς καὶ περὶ τούτον θαῤῥήσῃς, ἐξεπήδησεν πρὸς ἑταῖρον αὑτοῦ, ἐξανιστάμενος ἐμοὶ τῆς οἰκίας ὑπὸ ὀργῆς· δοκεῖ δέ μοί γε θεός τις αὐτὸν ἐντεῦθεν ἐξεληλακέναι, ἵνα σου τὰ τελευταῖα ταῦτα δυνηθῶ τυχεῖν. ἀλλά μοι σαυτὸν ἀπόδος.

κζ'. Ταῦτα φιλοσοφήσασα· διδάσκει γὰρ ὁ ἔρως καὶ λόγους· ἔλυε τὰ δεσμὰ, καὶ τὰς χεῖρας κατεφί-

cubiculumque, in quo tamdiu cum eo, qui mecum una lac hausit, degas, quamdiu voles, tibi adornatum dabo. Leucippen vero cras prima luce tibi adfuturam exspecta. Ruri enim pernoctare velle dixit, ut herbas ad Lunae adspectum colligeret. Ita de me ludi facti sunt. Ab ea enim tanquam Thessala opem contra te imploravi. Nam spe frustrata quid facere amplius potui, quam ad herbas & medicamenta, quae miserorum amantium solatia sunt, confugere? Nunc, ut istum etiam timorem deponas, Thersander iratus domo ad familiarem quendam suum se contulit, ut Deus aliquis hinc illum eiecisse mihi videatur, quo postrema haec a te libere consequi possim. Agedum, tandem igitur tui mihi copiam fac.

XXVII. Haec Melite cum disseruisset, Amor enim eloqui etiam docet, vincula solvit: manusque meas exoscu-

λει, καὶ τοῖς ὀφθαλμοῖς, καὶ τῇ καρδίᾳ προσέφερε, καὶ εἶπεν· Ὁρᾷς, πῶς πηδᾷ, καὶ πάλλει πυκνὸν παλμὸν ἀγωνίας γέμοντα καὶ ἐλπίδος. γένοιτο δὲ καὶ ἡδονῆς· καὶ ἔοικεν ἱκετεύειν σε τῷ πηδήματι. Ὡς οὖν με ἔλυσε, καὶ περιέβαλεν κλαίουσα, ἔπαθόν τι ἀνθρώπινον, καὶ ἀληθῶς ἐφοβήθην τὸν Ἔρωτα, μή μοι γένηται μήνιμα ἐκ τοῦ θεοῦ, καὶ ἄλλως ὅτι Λευκίππην ἀπειλήφειν, καὶ ὅτι μετὰ ταῦτα τῆς Μελίττης ἀπαλλάττεσθαι ἔμελλον, καὶ ὅτι οὐδὲ γάμος ἔτι τὸ πραττόμενον ἦν, ἀλλὰ φάρμακον ὥσπερ ψυχῆς νοσούσης. περιβαλούσης οὖν ἠνειχόμην, καὶ περιπλεκομένης πρὸς τὰς περιπλοκὰς οὐκ ἀντέλεγον, καὶ ἐγένετο ὅσα ὁ ἔρως ἤθελεν, οὔτε στρωμνῆς ἡμῶν δεηθέντων, οὔτε ἄλλου τινὸς τῶν εἰς παρασκευὴν ἀφροδισίων. αὐτουργὸς γὰρ ὁ ἔρως, καὶ αὐτοσχέδιος σοφιστὴς, καὶ

lata, oculis primum ſuis, deinde cordi admovit, ac: Videſne, inquit, ut ſalit, ac ſemet vibrans aſſidue palpitat, metus & ſpei ſimul, utinam vero etiam voluptatis, plenum, ut trepidatione huiuſmodi orare te videatur? Poſteaquam vinculis ſolutus ſum, mulierque flens me complexa eſt, humani quiddam perpeſſus ſum: atque, ut ingenue fatear, ne mihi Amor iraſceretur, extimui: praeſertim quod, recuperata Leucippe, Meliten paulo poſt dimiſſurus eſſem, &, quae factae fuerant, nuptiae non eſſent, ſed tantum aegrotantis animi quaſi medicina quaedam. Amplexantem igitur deoſculantemque pari amplexu deoſculationeque accepi: atque haud ita multo poſt deſiderii eius exſpectationem omnem explevi, nobis neque ſtratum, neque alium ullum ad venerem apparatum, requirentibus. Amor enim ſui ipſius artifex eſt, & quae opus ſunt ex tempore afferens, ad ſua ipſius arcana quemvis accom-

πάντα τόπον αὐτῷ τιθέμενος μυστήριον. τὸ δ' ἀπερίεργον εἰς ἀφροδίτην ἥδιον μᾶλλον τοῦ πολυπράγμονος. αὐτοφυῆ γὰρ ἔχει τὴν ἡδονήν.

modat locum. Illud porro certiſſimum eſt, imparatam venerem parata longe ſuaviorem eſſe, utpote quae germanam ſecum ferat voluptatem.

ΛΟΓΟΣ ΕΚΤΟΣ.

Επει οὖν τὴν Μελίττην ἰασάμην, λέγω πρὸς αὐτήν· Ἀλλ' ὅπως μοι τῆς φυγῆς παράσχοις τὴν ἀσφάλειαν, καὶ ἄλλα ὡς ὑπέσχου περὶ Λευκίππης; Μὴ φροντίσῃς, εἶπεν, τοῦγε κατ' ἐκείνην μέρους, ἀλλ' ἤδη νόμιζε Λευκίππην ἔχειν. σὺ δὲ ἔνδυθι τὴν ἐσθῆτα τὴν ἐμὴν, καὶ κλέπτε τὸ πρόσωπον πέπλῳ. ἡγήσεται δέ σοι τῆς ἐπὶ θύρας Μελανθὼ ὁδοῦ, περιμένει δέ σε καὶ νεανίσκος ἐπ' αὐτὰς τὰς θύρας, ᾧ προστεταγμένον ἐστὶν ἐξ ἐμοῦ, κομίσαι σε εἰς τὴν οἰκίαν, οὗ καὶ Κλεινίαν καὶ Σάτυρον εὑρήσεις, καὶ Λευκίππη σοι παρέσται. Ταῦθ' ἅμα λέγουσα, ἐσκεύασέν με ὡς ἑαυτήν· καὶ καταφιλοῦσα· Ὡς εὐμορφότερος, ἔφη, παρὰ πολὺ γέγονας τῇ στολῇ; τοιοῦτον Ἀχιλλέα ποτὲ ἐθεασάμην ἐν γραφῇ. ἀλλά μοι, φίλτατε, σώζοιο, καὶ

LIBER SEXTUS.

Posteaquam Melites aegrimoniam ſublevavi: Quonam modo, inquam, tutam mihi ad abeundum viam, & cetera, quae de Leucippe pollicita es, praebebis? Tum illa: Ne vereare, inquit, quod quidem ad Leucippen attinet, ſed eam te iam recepiſſe puta. Ornatum hunc meum indue, faciemque velo obvolve. Melantho ad oſtium, qua in viam patet egreſſus, te comitabitur. Illic adoleſcens tibi praeſto erit, qui, ſicut ei praeſcripſi, ad Cliniam te Satyrumque perducat. Leucippe autem non multo poſt tibi aderit. Quae cum dixiſſet, eo me, quo ſe ipſam conſueverat, modo adornavit, diſſuavianſque: Quanto, inquit, formoſior es in ſtola? Talem ego quidem in pictura olim Achillem vidi. Ceterum, anime mi, Clitophon, ut

τὴν ἐσθῆτα ταύτην φύλαττε μνήμην· ἐμοὶ δὲ τὴν σὴν κατάλιπε, ὡς ἂν ἔχοιμι ἐνδυομένη σοι περικεχύσθαι. Δίδωσι δέ μοι καὶ χρυσοῦς ἑκατόν. καὶ καλεῖ τὴν Μελανθῶ. θεράπαινα δὲ ἦν αὐτῇ τῶν πιστῶν, καὶ ἐφήδρευεν ταῖς θύραις. ὡς δὲ εἰσῆλθεν, λέγει περὶ ἐμοῦ τὰ συγκείμενα· καὶ κελεύει πάλιν ἀναστρέφειν πρὸς αὐτὴν, ἐπειδ' ἂν ἔξω γένωμαι θυρῶν.

β'. Ἐγὼ μὲν δὴ τοῦτον τὸν τρόπον ὑπεκδύομαι. καὶ ὁ φύλαξ τοῦ οἰκήματος ἀνεχώρησε, νομίσας τὴν δέσποιναν εἶναι, νευσάσης αὐτῷ τῆς Μελανθοῦς· καὶ διὰ τῶν ἐρήμων τῆς οἰκίας, ἐπί τινα θύραν οὐκ ἐν ὁδῷ κειμένην ἔρχομαι· καί με ὁ πρὸς τῆς Μελίττης ταύτῃ προστεταγμένος ἀπολαμβάνει· ἀπελεύθερος δὲ αὐτὸς τῶν συμπεπλευκότων ἦν ἡμῖν, καὶ ἄλλως ἐμοὶ κεχαρισμένος. Ὡς δὲ ἀνέστρεψεν ἡ Μελανθὼ, καταλαμβάνει τὸν φρουρὸν, ἄρτι ἐπικλείσαντα τὸ οἴκημα, καὶ ἀνοίγειν ἐκέλευεν αὖθις. ὡς δὲ ἤνοιξεν, καὶ παρελθοῦ-

valeas, etiam atque etiam cura: & pallam hanc apud te mei monumentum ſerva, tuo viciſſim mihi pallio relicto, quo induta tuis quaſi amplexibus detineri videar. Tum mihi aureos nummos centum dedit: arceſſitaque Melanthone, erat haec ancillarum omnium fidiſſima, cui uni ianuarum cuſtodia credebatur, quid me fieri velit, docet: deinceps ad ſe reverti iubet.

II. Ego ſimulatque, muliebri ornatu amictus, cubiculo exivi, cuſtoſque heram me eſſe ratus, id ei annuente Melanthone, ſeceſſit, per remotiorem domus partem iter faciens, ad portam quandam deſuefactam perveni: ubi me deſtinatus a Melite adoleſcens libertinus ex iis, qui nobiſcum navigaverant, mihi alioqui etiam gratus, accepit. Poſtea vero quam reverſa Melantho cubiculum, quod vixdum clauſum fuerat, aperiri iuſſit, meumque abitum

σα ἐμήνυσεν τῇ Μελίττῃ τὴν ἔξοδον τὴν ἐμὴν, καλεῖ τὸν Φύλακα. κἀκεῖνος ὡς τὸ εἰκὸς θέαμα ἰδὼν παραδοξότατον, τῆς κατὰ τὴν ἔλαφον ἀντὶ παρθένου [1] παροιμίας, ἐξεπλάγη καὶ ἔστη σιωπῇ. λέγει οὖν πρὸς αὐτόν· Οὐκ ἀπιστοῦσά σοι μὴ οὐκ ἐθελήσῃς ἀφεῖναι Κλειτοφῶντα, ταύτης ἐδεήθην τῆς κλοπῆς, ἀλλ' ἵνα σοι πρὸς Θέρσανδρον ἡ τῆς αἰτίας ἀπόλυσις ᾖ, ὡς οὐ συνεγνωκότι. χρυσοῖ δέ σοι οὗτοι δῶρον δέκα, δῶρον μὲν, ἂν ἐνταῦθα μείνῃς, παρὰ Κλειτοφῶντος. ἐὰν δὲ νομίσῃς φυγεῖν, βέλτιον ἐφόδιον. Καὶ ὁ Πασίων· τοῦτο γὰρ ἦν ὄνομα τῷ Φύλακι· Πάνυ, ἔφη, δέσποινα, τὸ σοὶ δοκοῦν, κἀμοὶ δοκεῖ καλῶς ἔχειν. Ἔδοξεν οὖν τῇ Μελίττῃ τὸ νῦν ἀναχωρεῖν· ὅταν δὲ ἐν καλῷ θῇ τὰ πρὸς τὸν ἄνδρα, καὶ γένηται τὰ τῆς ὀργῆς ἐν γαλήνῃ, τότε μετιέναι. Καὶ ὁ μὲν οὕτως ἔπραξεν.

herae nuntiavit, illa cuſtode ad ſe vocato, qui, ſicuti credibile eſt, re maxime praeter opinionem perſpecta, iuxta adagium, *pro virgine cerva*, ſtupore oppreſſus obmutuerat: Mihi quidem, inquit, dubium non erat, ne non Clitophontem dimitteres. Sed eo artificium iſtud excogitavi, quo eſſet tibi apud Therſandrum excuſationi locus, utpote qui non cognoveris. Aureos autem nummos decem tibi Clitophon, ſi hic exſpectaveris, muneri mittet: quamquam, ſi de fuga cogites, viaticum habebis maioris pretii. Tum vero Paſion, id erat cuſtodi nomen, Atqui, o hera, inquit, nihil mihi magis probabitur, quam quod tu ſuaſeris. Itaque mulieri placuit, ut aliquo profugeret; nec ante reverteretur, quam turba illa & mariti ira ſedata eſſet. Atque ita quidem ille abiit.

1 Ἔλαφον ἀντὶ παρθένου) Proverbium *pro virgine cerva* ponitur de eo, qui vel magna ſpe excidens exiguum quid refert; vel, ubi quis criminis purus, reus tamen accuſatus, liberatur, auctore ſceleris deprehenſo; vel cum aliud pro alio fraudulenter ſubſtituitur. Vid. Hadr. Iun. Adag. Cent. VI, n. 2.

γʹ. Ἐμοὶ δὲ ἡ συνήθης τύχη πάλιν ἐπιτίθεται, καὶ συντίθεται κατ' ἐμοῦ δρᾶμα καινόν. ἐπάγει γάρ μοι τὸν Θέρσανδρον εὐθὺς παρελθόντα. μεταπεισθεὶς γὰρ ὑπὸ τοῦ Φίλου πρὸς ὃν ᾤχετο μὴ ἀπόκοιτος γενέσθαι, δειπνήσας πάλιν ἀνέστρεφεν ἐπὶ τὴν οἰκίαν. ἦν δὲ τῆς Ἀρτέμιδος ἱερομηνία, καὶ μεθυόντων πάντα μεστά· ὥστε καὶ δι' ὅλης νυκτὸς τὴν ἀγορὰν ἅπασαν κατεῖχε πλῆθος ἀνθρώπων. κἀγὼ μὲν ἐδόκουν τοῦτο μόνον εἶναι δεινόν· ἐληλύθει δὲ καὶ ἄλλο τεχθέν μοι χαλεπώτερον. ὁ γὰρ Σωσθένης ὁ τὴν Λευκίππην ὠνησάμενος, ὃν ἡ Μελίττη τῆς τῶν ἀγρῶν ἐκέλευσεν ἀποστῆναι διοικήσεως, μαθὼν παρεῖναι τὸν δεσπότην, τούς τε ἀγροὺς οὐκέτι ἀφῆκεν, τὴν δὲ Μελίττην ἤθελεν ἀμύνασθαι. καὶ πρῶτον μὲν φθάσας, καταμηνύει μου πρὸς τὸν Θέρσανδρον· ὁ γὰρ διαβαλὼν αὐτὸς ἦν· ἔπειτα καὶ περὶ Λευκίππης λέγει πάνυ τι πιθανῶς πλα-

III. Mihi vero iterum iniqua fortuna insidiata est, novumque periculum creavit. Therfandrum enim, qui ab amico, ad quem diverterat, ne procul ab uxore cubaret suasus, a coena domum revertebatur, abeunti mihi obviam misit. Celebrabantur forte fortuna Dianae festi dies, & ebriorum plena erant omnia, integramque noctem mortalium ingens multitudo forum totum percursabat: quod unum ego rationibus meis maxime obstare arbitrabar, nesciens aliud mihi longe gravius infortunium imminere. Nam Softhenes, qui Leucippen emerat, ab agrorum administratione abstinere iussus, herum adesse intelligens, non modo ab ea non abstinuit, verum etiam de Melite vindictam sumere cupiens, me primum Therfandro prodidit, utpote qui delator esset: deinde alia complura de Leucippe apposite admodum ementitus est. Eius enim potiun-

σάμενος. ἐπεὶ γὰρ αὐτὸς αὐτῆς ἀπεγνώκει τυχεῖν, μαστρωπεύει πρὸς τὸν δεσπότην, ὡς ἂν αὐτὸν τῆς Μελίττης ἀπαγάγοι· Κόρην ὠνησάμην, ὦ δέσποτα, καλὴν, ἀλλὰ χρῆμά τι κάλλους ἄπιστον. οὕτως αὐτὴν πιστεύσειας ἀκούων, ὡς ἰδών. ταύτην ἐφύλαττόν σοι. καὶ γὰρ ἀκηκόειν ζῶντά σε. καὶ ἐπίστευον, ὅπερ ἤθελον. ἀλλ' οὐκ ἐξέφαινον, ἵνα τὴν δέσποιναν ἐπ' αὐτοφώρῳ καταλάβοις, μή σου καταγελᾷ μοιχὸς ἄτιμος καὶ ξένος. ἀφήρηται δὲ ταύτην χθὲς ἡ δέσποινα, καὶ ἔμελλεν ἀποπέμψειν· ἡ τύχη δὲ ἐτήρησέν σοι, ὥστε τοσοῦτον κάλλος λαβεῖν. ἔστι δὲ νῦν ἐν τοῖς ἀγροῖς, οὐκ οἶδ', ὅπως πρὸς αὐτῆς ἀπεσταλμένη. πρὶν οὖν αὖθις ἐπανελθεῖν, εἰ θέλεις, κατακλείσας φυλάξω, ὡς ὑπὸ σοὶ γένοιτο.

δ'. Ἐπῄνεσεν ὁ Θέρσανδρος, καὶ ἐκέλευσεν τοῦτο

dae ſimulatque ſpem ſibi ereptam vidit, hero lenonis operam praeſtare aggreſſus eſt, ut eum a Melite abalienaret. Itaque, Puellam, o here, inquit, emi forma bona ſic, ut cogitatione comprehendi nequeat: de qua narranti mihi aeque ac cernenti tibi credas velim. Hanc ego tibi aſſervabam, quem vivere audiviſſem: id quod, tametſi credere me iuvabat, cuiquam tamen palam facere nolui, eo videlicet conſilio, ut herae turpitudinem manifeſto cognoſceres, ac ut ne tibi peregrinus impudenſque adulter illuderet. Heri autem ſolum eam Melite a me vindicavit, ac miſſam facere cogitat. Sed tantam pulchritudinem tibi fortuna ſervat, quo ea ſolus potiare: illa enim ruri etiam nunc degit, nec, quamobrem eo miſſa ſit, ſatis intelligo. Igitur ſi tu ita cenſes, illam prius, quam ad heram revertatur, alicubi clauſam tibi dabo.

IV. Quod cum probaſſet, fierique iuſſiſſet Therſander,

ποιεῖν. ἔρχεται δὴ σπουδῇ μάλα ὁ Σωσθένης εἰς τοὺς ἀγροὺς, καὶ τὴν καλύβην ἑωρακὼς, ἔνθα ἡ Λευκίππη διανυκτερεύειν ἔμελλεν, δύο τῶν ἐργατῶν παραλαβὼν, τοὺς μὲν κελεύει τὰς θεραπαινίδας, αἵ περ ἦσαν ἅμα τῇ Λευκίππῃ παροῦσαι, περιελεῖν δόλῳ, καὶ καλεσαμένους ὅτι πορρωτάτω διατρίβειν ἔχοντας ἐφ' ὁμιλίᾳ· δύο δὲ ἄλλους διάγων, ὡς εἶδεν τὴν Λευκίππην μόνην, εἰσπηδήσας, καὶ τὸ στόμα ἐπισχὼν ἁρπάζει, καὶ κατὰ θάτερα τῆς τῶν θεραπαινίδων ἐκτροπῆς χωρεῖ, φέρων εἴς τι δωμάτιον ἀπόῤῥητον· καὶ καταθέμενος λέγει πρὸς αὐτήν· Ἥκω σοι φέρων σωρὸν ἀγαθῶν, ἀλλ' ὅπως εὐτυχοῦσα μὴ ἐπιλήσῃ μου. μὴ γὰρ φοβηθῇς ταύτην τὴν ἁρπαγὴν, μηδὲ ἐπὶ κακῷ τῷ σῷ γεγονέναι δόξῃς. αὕτη γὰρ τὸν δεσπότην τὸν ἐμὸν ἐραστήν σοι προξενεῖ. Ἡ μὲν δὴ τῷ παραλόγῳ τῆς συμφορᾶς ἐκπλαγεῖσα, ἐσιώπησεν. ὁ δὲ ἐπὶ τὸν Θέρσανδρον ἔρχεται, καὶ λέγει τὰ πεπραγμένα. ἔτυχεν δὲ ὁ Θέρ-

Soſthenes quamprimum rus abiit: viſoque tugurio, in quo puella erat pernoctatura, duobus arceſſitis operariis, ancillas, quae cum illa erant, circumvenire, & quam longiſſime, quaſi colloqui cuperent, demorari iubet. Ipſe aliis duobus ſecum ductis, ſtatim ut ſolam conſpicatus eſt, impetu facto, manibuſque ori eius admotis, mediam comprehendit: ſeorſumque ab ancillis aſportans occultam quandam in domum concluſit, Magnum ad te, inquiens, bonorum cumulum affero. Te autem illud ſpectare par eſt, ut ne, poſteaquam fueris aſſecuta, mei oblivifcaris. Nec vero raptum hunc extimeſcas, neve in perniciem tuam factum putes: quoniam quidem hic tui amantem herum meum tecum familiaritate coniunget. Leucippe, inſperata calamitate hac perculſa, obmutuit. Soſthenes Therſandrum, qui tum forte domum revertebatur, conveniens,

σανδρος ἐπανιὼν εἰς τὴν οἰκίαν. τοῦ δὲ Σωσθένους αὐτῷ μηνύσαντος τὰ περὶ τῆς Λευκίππης, καὶ καταπραγῳδοῦντος αὐτῆς τὸ κάλλος, μεστὸς γενόμενος ἐκ τῶν εἰρημένων, ὡσεὶ κάλλους Φαντάσματος, Φύσει παννυχίδος οὔσης [1], *καὶ ὄντων μεταξὺ τῶν τεττάρων σταδίων, ἐπὶ τοὺς ἀγροὺς, ἡγεῖσθαι κελεύσας, ἐπ' αὐτὴν χωρεῖν ἤθελεν.*

ε'. Ἐν τούτῳ δὲ ἐγὼ τὴν ἐσθῆτα τῆς Μελίττης εἶχον ἠμφιεσμένος, καὶ ἀπερισκέπτως ἐμπίπτω κατὰ πρόσωπον αὐτοῖς, καί με ὁ Σωσθένης πρῶτος γνωρίσας· Ἀλλ' ἰδού, φησιν, οὗτος ὁ μοιχὸς, βακχεύων ἡμῖν ἔπεισι καὶ τῆς γυναικὸς ἔχων λάφυρα. Ὁ μὲν οὖν νεανίσκος ἔτυχε προηγούμενος, καὶ προϊδὼν ἀπο-

quid egiſſet renuntiavit: ac Leucippes formam laudibus in coelum tulit. Quo factum eſt, ut Therſander ex eo ſermone ſummae cuiuſdam pulchritudinis ſpeciem animo concipiens, cum nocturnis ludis finis impoſitus nondum eſſet, ruſque illud ab urbe non amplius 10 paſſus diſtaret, praeire illum iubens, ad puellam profecturus eſſet.

V. Interea Melitae veſtitu ornatus ipſe, imprudenter euntibus illis occurri: meque ſtatim agnito, primus Soſthenes: En, inquit, bacchantem adulterum, & tuae uxoris ornamentis indutum. Ac tunc adoleſcens, qui forte praecedebat, re cognita, nec ullo, prae timore, ad me com-

1 *Φύσει παννυχίδος οὔσης*) Haud ſcio, quid hic velit illud *φύσει*. Ita tamen omnes libri. Anglicanus habet, *ὡς εἰ κάλλους φαντάσματα*. Sed ſupra correctum ex alio Codice, *φαντάσματος*. Locus manifeſte corruptus. Puto ſcribendum ac diſtinguendum: *μεστὸς γενόμενος ἐκ τῶν εἰρημένων, ὡσεὶ κάλλους φάντασμά τι ἔφυσεν, παννυχίδος οὔσης, καὶ ὄντων μεταξὺ τῶν τεττάρων σταδίων, ἐπὶ τοὺς ἀγροὺς ἡγεῖσθαι κελεύσας. Plenus eorum, quae ibi dixerat* Soſthenes, *& ex his quaſi concepta & formata quadam pulchritudinis imagine, cum pervigilium eſſet, & quatuor ſtadiorum ſpatio rus ab urbe abeſſet, iuſſo pracire* Soſthene, *ad iter ſe accinxit.*

φεύγει, μὴ καιρὸν λαβὼν ὑπὸ δέους κἀμοὶ προμηνῦσαι. ἐμὲ δὲ ἰδόντες, συλλαμβάνουσι. καὶ ὁ Θέρσανδρος βοᾷ, καὶ πλῆθος τῶν παννυχιζόντων συνέῤῥεεν. ἔτι μᾶλλον οὖν ὁ Θέρσανδρος ἐδεινοπάθει, ῥητὰ μὲν καὶ ἄῤῥητα βοῶν, τὸν μοιχὸν, τὸν λωποδύτην. ἄγει δέ με εἰς τὸ δεσμωτήριον, καὶ παραδίδωσιν ἔγκλημα τῆς μοιχείας ἐπιφέρων. ἐμὲ δὲ ἐλύπει τούτων μὲν οὐδὲν, οὔθ' ἡ τῶν δεσμῶν ὕβρις, οὔθ' ἡ τῶν λόγων αἰτία [1]. καὶ γὰρ ἐθάῤῥουν τῷ λόγῳ περιέσεσθαι μὴ μοιχὸς εἶναι, γῆμαι δὲ ἐμφανῶς. Δέος δέ με περὶ τῆς Λευκίππης εἶχεν οὔπω σαφῶς αὐτὴν ἀπολαβόντα. ψυχαὶ δὲ πεφύκασι μάντεις τῶν κακῶν, ἐπεὶ τῶν τε ἀγαθῶν ἥκιστα ἐκ μαντείας εὐτυχοῦμεν. οὐδὲν οὖν ὑγιὲς ἐνενόουν περὶ τῆς Λευκίππης, ἀλλ' ἦν ὕποπτα

monefaciendum tempore ſumto, in fugam ſe dedit. Ego ſtatim ab illis comprehenſus ſum: Therſanderque clamorem attollere coepit. Quapropter vigilum multitudo affluere, ille magis magiſque crimen augere, dicenda tacendaque pariter inculcare, adulterum ac furem identidem appellare. Tandem me in carcerem contrudit: nomenque meum de adulterio defert. Sed horum nihil me penitus commovit, non vinculorum ignominiae, non verborum iniuria: confidebam enim, argumentis convicturum, me adulterum nequaquam eſſe, propterea quod nuptiae palam factae fuerant. Illud me magnopere angebat, quod Leucippen revera nondum recuperaram. Porro malorum praeſagus animus eſt, bonorum nequaquam. Itaque nihil mihi tum ſani de Leucippe in mentem venire poterat: ſed erant ſuſpecta omnia, omnia pavoris plena:

1 Οὔθ' ἡ τῶν λόγων αἰτία) Melius fortaſſe legatur *αἰκία*, verborum iniuria. Nam & moechum appellaverat & λωποδύτην. *Salm.* In hanc coniecturam induxit Salmaſium interpres Lat. vertendo: *non verborum iniuria*, quod & vulgatae lectioni ſubeſt. Nam ſub v. *αἰτία λόγων* criminationes ſtupri admiſſi intelligendae.

μοι πάντα καὶ μεστὰ δείματος. ἐγὼ μὲν οὖν οὕτως εἶχον τὴν ψυχὴν κακῶς.

στ΄. Ὁ δὲ Θέρσανδρος ἐμβαλών με εἰς τὸ δεσμωτήριον, ὡς εἶχεν ὁρμῆς ἐπὶ τὴν Λευκίππην ἵεται. ὡς δὲ παρῆσαν ἐπὶ τὸ δωμάτιον, καταλαμβάνουσιν αὐτὴν χαμαὶ κειμένην, ἐν νῷ καθεστηκυῖαν, ὡς ἔτυχεν ὁ Σωσθένης εἰπών, ἐμφαίνουσαν τοῖς προσώποις λύπην ὁμοῦ καὶ δέος. ὁ γὰρ νοῦς οὔ μοι δοκεῖ λελέχθαι καλῶς ἀόρατος εἶναι τὸ παράπαν. φαίνεται γὰρ ἀκριβῶς ὡς ἐν κατόπτρῳ τῷ προσώπῳ. ἡσθείς τε γὰρ, ἐξέλαμψεν τοῖς ὀφθαλμοῖς εἰκόνα χαρᾶς· καὶ ἀνιαθεὶς, συνέστειλεν τὸ πρόσωπον εἰς τὴν ὄψιν τῆς συμφορᾶς. Ὡς οὖν ἤκουσε ἡ Λευκίππη ἀνοιγομένων τῶν θυρῶν, ἦν δὲ ἔνδον λύχνος, ἀνανεύσασα μικρὸν, αὖθις τοὺς ὀφθαλμοὺς κατέβαλεν. ἰδὼν δὲ ὁ Θέρσανδρος τὸ κάλλος ἐκ παραδρομῆς, ὡς ἁρπαζομένης ἀστραπῆς,

ipſeque animo perculſo & penitus abiecto, maximo in moerore verſabar.

VI. Therſander ſimulac me in cuſtodiam tradidit, ad Leucippen cum Soſthene alacriter admodum profectus eſt; domumque ingreſſus, humi iacentem, ac Soſthenis dicta mente agitantem invenit, nec minus animi aegritudinem, & pavorem vultu prae ſe ferentem: ut illud mihi non recte dictum videatur, Mentem omnino cerni non poſſe: in vultu enim tanquam in ſpeculo, perfecte cernitur. Nam ſi laeta fuerit, ipſa procul dubio laetitia in oculis relucet: ſin vero triſtis, contrahitur frons, aegrimoniamque ipſam refert. Ceterum Leucippe, cum primum valvas aperiri ſenſit, vixdum oculis in eos coniectis, aderat autem lucerna, vultum ſtatim demiſit. At Therſander, viſa pulchritudine, quae ex oculis eius, tanquam flamma nubium conflictu expreſſa, repente affulſerat, (ſunt enim oculi

μάλιστα γὰρ ἐν τοῖς ὀφθαλμοῖς κάθηται τὸ κάλλος, ἀφῆκε τὴν ψυχὴν ἐπ᾽ αὐτὴν, καὶ εἱστήκει τῇ θέᾳ δεδεμένος, ἐπιτηρῶν πότε αὖθις ἀναβλέψει πρὸς αὐτόν. Ὡς δὲ ἔνευσεν εἰς τὴν γῆν, λέγει· Τί κάτω βλέπεις, γύναι; τί δέ σου τὸ κάλλος τῶν ὀφθαλμῶν εἰς γῆν καταῤῥεῖ; ἐπὶ τοὺς ὀφθαλμοὺς μᾶλλον ῥεέτω τοὺς ἐμούς.

ζ΄. Ἡ δὲ ὡς ἤκουσεν, ἐπλήσθη δακρύων, καὶ εἶχεν αὐτῆς ἴδιον κάλλος καὶ τὰ δάκρυα· δάκρυον γὰρ ὀφθαλμὸν ἀνίστησι καὶ ποιεῖ προπετέστερον· κἂν μὲν ἄμορφος ᾖ καὶ ἄγροικος, προστίθησιν εἰς δυσμορφίαν· ἐὰν δὲ ἡδὺς, καὶ τοῦ μέλανος ἔχων τὴν βαφὴν ἠρέμα τῷ λευκῷ στεφανούμενος, ὅταν τοῖς δάκρυσιν ὑγρανθῇ, ἔοικε πηγῆς ἐγκύμονι μαζῷ. καιομένης [1] δὲ τῆς τῶν δακρύων ἅλμης περὶ τὸν κύκλον, τὸ μὲν πιαίνεται, τὸ

praecipua pulchritudinis ſedes) confeſtim exarſit, obtutuque illo victus, mulierem, an rurſus oculos in ſe conii- ceret, obſervare coepit. Verum cum illam nihil aliud, quam terram, intueri videret: Quouſque, inquit, lumina humi tua defixa erunt? quoſque tantam oris tui pulchritudinem ad terram referre perges? quin hanc potius ad oculos meos refers?

VII. Tum Leucippe, his auditis, lacrimas profudit, peculiari ſane ac germano quodam ſuo decore cumulatas. Lacrima enim oculos excitat, ac proterviores efficit: & ſi deformes atque agreſtes fuerint, eorum deformitatem auget; ſin contra iucundi, nigramque aciem candore ſenſim conveſtiti, cum lacrimis humeſcunt, tumidulae mammae fonti aſſimilantur. Manante quin etiam circa ſinum ſalſo earum humore, pars candida pingueſcit, nigra vero

1 Καιομένης) Corruptelam in h. v. facile ſentias. Boden coni. χεομένης, quod parum arridet. Senſus poſtulare videtur: εἱλουμένης — περὶ τὸν κύκλον, vel ſimile v.

δὲ μέλαν πορφύρεται, καὶ ἔστιν ὅμοιον, τὸ μὲν ἴῳ, τὸ δὲ ναρκίσσῳ. τὰ δὲ δάκρυα τῶν ὀφθαλμῶν ἔνδον εἰλούμενα γελᾷ. τοιαῦτα Λευκίππης ἦν τὰ δάκρυα, αὐτὴν τὴν λύπην εἰς κάλλος νενικηκότα. εἰ δὲ ἠδύνατο παγῆναι πεσόντα, καινὸν ἂν εἶχεν ἤλεκτρον ἡ γῆ. ὁ δὲ Θέρσανδρος ἰδὼν, πρὸς μὲν τὸ κάλλος ἐκεχήνει, πρὸς δὲ τὴν λύπην ἐξεμήνει, καὶ τοὺς ὀφθαλμοὺς δακρύων ἐγκύους εἶχεν. ἔστι μὲν γὰρ φύσει δάκρυον ἐπαγωγὸν ἐλέους τοῖς ὁρῶσιν. τὸ δὲ τῶν γυναικῶν μᾶλλον, ὅσῳ θαλερώτερον, τοσούτῳ καὶ γοητότερον. ἐὰν δὲ ἡ δακρύουσα ᾖ καὶ καλὴ, καὶ ὁ θεατὴς ἐραστὴς, οὐδ' ὀφθαλμὸς ἀτρεμεῖ, ἀλλὰ τὸ δάκρυον ἐμιμήσατο. ἐπειδὴ γὰρ εἰς τὰ ὄμματα τῶν καλῶν τὸ κάλλος κάθηται, ῥέον δὲ ἐκεῖθεν ἐπὶ τοὺς ὀφθαλμοὺς τῶν ὁρώντων [1] ἵσταται,

purpurascit: atque haec violae, illa narcisso, similis efficitur. Quod si oculorum intra orbes lacrimae contineantur, risum prae se ferunt. Eiusmodi ergo Leucippes lacrimae cum essent, facile moerorem decore suo vincere potuerunt: quin immo si postea, quam exciderant, conglaciassent, electri novum procul dubio genus habuissemus. Thersander igitur, dum virginis pulchritudinem tristitiamque contemplatur, altera in admirationem raptus, altera ira cumulatus est, eiusque oculi lacrimis repleti sunt. Ita enim natura comparatum est, ut lacrimae, muliebres praesertim, videntes ad misericordiam moveant: eoque vehementius, quo recentiores fuerint. Quod si mulierem formosam, & eum, qui spectet, amatorem esse contingat; tunc videntis oculi nequaquam quiescunt, sed lacrimas ipsi quoque profundunt. Pulchritudo enim, quae in formosarum mulierum oculis praecipuum locum obtinet, ab

1 Ὁρώντων) Vix dubito, quin Tatius scripserit ἐρώντων, nam agitur de amatoribus, pulchrae puellae lacrimis ad easdem fundendas proclivibus. Vide antecedentia, & quae mox sequuntur.

καὶ τῶν δακρύων τὴν πηγὴν συνεφέλκεται. ὁ δὲ ἐραστὴς δεξάμενος ἄμφω, τὸ μὲν κάλλος εἰς τὴν ψυχὴν ἥρπασεν, τὸ δὲ δάκρυον εἰς τοὺς ὀφθαλμοὺς ἐτήρησεν, ὁραθῆναι δὲ εὔχεται, καὶ ἀποψήσασθαι δυνάμενος, οὐκ ἐθέλει, ἀλλὰ τὸ δάκρυον ὡς δύναται κατέχει, καὶ φοβεῖται μὴ πρὸ καιροῦ φύγῃ. ὁ δὲ καὶ τῶν ὀφθαλμῶν τὴν κίνησιν ἐπέχει, μὴ πρὶν τὸν ἐρώμενον ἰδεῖν ταχὺ θελήσῃ πεσεῖν. μαρτυρίαν γὰρ ταύτην νενόμικεν ὅτι καὶ φιλεῖ. Τοιοῦτόν τι τῷ Θερσάνδρῳ συμβέβηκεν. ἐδάκρυε γὰρ πρὸς ἐπίδειξιν, παθὼν μέν τι, κατὰ τὸ εἰκὸς, ἀνθρώπινον, καλλωπιζόμενος δὲ πρὸς τὴν Λευκίππην, ὡς διὰ τοῦτο δακρυόμενος, ὅτι κἀκείνη δακρύει. λέγει οὖν πρὸς τὸν Σωσθένην προσκύψας· Νῦν μὲν αὐτὴν θεράπευσον. ὁρᾷς γὰρ ὡς ἔχει λύπης. ὥστε ὑπεκστήσομαι καὶ μάλα ἄκων, ὡς μὴ ὀχληρὸς εἴην. ὅταν δὲ ἡμερώτερον διατεθῇ, τότε αὐτῇ διαλεχθήσομαι.

iis in ſpectantis oculos dimanat, lacrimarumque vim educit: atque ita fit, ut amator, utrumque excipiens, illam animo hauriat, has oculis ſervet, quas dein conſpici optat, nec eas, tametſi poſſit, abſtergere curat: immo luminum motus inhibet; lacrimaſque intra ſinum, quamdiu poteſt, continet: illud videlicet timens, ne ante delabantur, quam ab amata viſae fuerint: id enim capti amore animi ſignum eſſe arbitratur. Huiuſmodi quiddam Therſandro quoque accidit. Flevit enim, tum ut oſtenderet, humano quodam, uti credibile eſt, ſe deſiderio moveri, tum, ut erga Leucippen ſe ſimularet, tanquam ſcilicet idcirco fleret, quia flentem ipſam vidiſſet. Itaque ad Soſthenem converſus: Tu nunc puellae huic aliquam, inquit, conſolationem affer. Quanto enim in moerore iaceat, vides. Ego, tametſi invitus, hinc tamen recedam, ne illi moleſtus ſim. Poſt, ubi mitiorem factam eſſe audivero,

σὺ δὲ, ὦ γύναι, θάρσει. ταχὺ γάρ σου ταῦτα τὰ δάκρυα ἰάσομαι. Εἶτα πρὸς τὸν Σωσθένην πάλιν, ἐξιών· Ὅπως εἴπῃς τὰ εἰκότα περὶ ἐμοῦ· ἕωθεν δὲ ἥκειν πρός με κατορθώσας, ἔφη. Ἐπὶ τούτοις ἀπηλλάττετο.

η΄. Ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, ἔτυχεν, ἐπὶ τὴν Λευκίππην μετὰ τὴν πρός με ὁμιλίαν εὐθὺς εἰς τοὺς ἀγροὺς τὴν Μελίττην νεανίσκον ἀποστείλασαν, ἐπείγειν αὐτὴν εἰς τὴν ἐπάνοδον, μηδὲν ἔτι δεομένην φαρμάκων. Ὡς οὖν ἧκεν οὗτος εἰς τοὺς ἀγροὺς, καταλαμβάνει τὰς θεραπαινίδας ζητούσας τὴν Λευκίππην, καὶ πάνυ τεταραγμένας. ὡς δὲ οὐκ ἦν οὐδαμοῦ, δρόμῳ φθάσας ἀπήγγειλε τὸ συμβάν. Ἡ δὲ ὡς ἤκουσεν τὰ περὶ ἐμοῦ, ὡς εἴην εἰς τὸ δεσμωτήριον ἐμβληθείς· εἶτα περὶ τῆς Λευκίππης, ὡς ἀφανὴς ἐγένετο, νέφος αὐτῇ κατεχύθη λύπης. καὶ τὸ μὲν ἀληθὲς οὐκ εἶχεν εὑρεῖν· ὑπενόει δὲ τὸν Σωσθένην. βουλομένη δὲ φανερὰν αὐτῆς τὴν

eam alloquar. Tu interea bono animo ſis, mulier: dolorem enim iſtum tuum quamprimum abſtergam. Deinde egreſſus, Soſtheni rurſum: Cave, inquit, ne, niſi quod deceat, de me loquaris; atque ut cras prima luce ad me, re bene geſta, redeas, cura.

VIII. Interea Melite continuo poſt, quam a me diſceſſit, adoleſcentem rus ad Leucippen miſit, qui eam ad reverſionem urgeret, nullis amplius pharmacis opus eſſe nuntians. Ille ſtatim profectus, cum ancillas puellam quaerentes, ac propterea, quod nuſquam apparebat, valde perturbatas offendiſſet, maxima cum feſtinatione reverſus, herae factum renuntiavit. Quae me in carcerem concluſum, Leucippen vero abductam intelligens, curarum mole obruta eſt. Ac quamquam rem, uti ſe haberet, certo ſcire non poterat, culpam tamen omnem in Soſthenem reiiciebat. Leucippen itaque palam perquiri voluit: atque

ζήτησιν ποιήσασθαι διὰ τοῦ Θερσάνδρου, τέχνην λόγων ἐπενόησεν, ἥτις μεμιγμένην εἶχε τῷ σοφίσματι τὴν ἀλήθειαν.

θ′. Ἐπεὶ δὲ ὁ Θέρσανδρος εἰσελθὼν εἰς τὴν οἰκίαν ἐβόα πάλιν· Τὸν μοιχὸν ἐξέκλεψας, σὺ τῶν δεσμῶν ἐξέλυσας, καὶ τῆς οἰκίας ἐξαπέστειλας, σὸν τὸ ἔργον· τί οὖν οὐκ ἠκολούθεις αὐτῷ; τί δὲ ἐνταῦθα μένεις; ἀλλ᾽ οὐκ ἄπει πρὸς τὸν ἐρώμενον, ἵνα αὐτὸν ἴδοις στεῤῥωτέροις δεσμοῖς δεδεμένον; Καὶ ἡ Μελίττη· Ποῖον μοιχόν; ἔφη. τί πάσχεις; εἰ γὰρ θέλεις, τὴν μανίαν ἀφεὶς, ἀκοῦσαι τὸ πᾶν, μαθήσῃ ῥᾳδίως τὴν ἀλήθειαν. ἓν οὖν σου δέομαι, γενοῦ μοι δικαστὴς ἴσος, καὶ καθάρας μέν σου τὰ ὦτα τῆς διαβολῆς, ἐκβαλὼν δὲ τῆς καρδίας τὴν ὀργὴν, τὸν δὲ λογισμὸν ἐπιστήσας κριτὴν ἀκέραιον, ἄκουσον. Ὁ νεανίσκος οὗτος, οὔτε μοιχὸς ἦν ἐμὸς, οὔτ᾽ ἀνήρ· ἀλλὰ τὸ μὲν γένος ἀπὸ Φοινίκης, Τυρίων οὐδενὸς δεύτερος. ἔπλευσεν δὲ καὶ αὐτὸς οὐκ

ut Therſandro, culpa carere ſe, perſuaderet, ſermonem, qui ambagibus involutam veritatem continebat, artificioſe admodum excogitavit.

IX. Nam cum ille domum reverſus, iterum exclamaret: Tu moechum eripuiſti, tu e vinculis exemiſti, tu domo emiſiſti: cur non igitur illum ſequeris? Quid hic moraris? quin ad amatorem tuum proficiſceris, ut arctioribus eum catenis conſtrictum videas? Tum Melite: Quemnam, inquit, mihi adulterum nominas? Sanuſne es, qui haec dicas? Tu ſi rem omnem, furore poſthabito, audire volueris, veritatem facile cognoſces. Unum tantum te rogo, aequum te mihi iudicem praebe: auribuſque calumnia vacuis, ac ratione irae loco adhibita, audi. Adoleſcens hic neque adulter, neque coniux meus eſt; ſed genere Phoenix, Tyriorum nulli ſecundus. Is cum navi-

εὐτυχῶς, ἀλλὰ πᾶς ὁ φόρτος αὐτοῦ γέγονε τῆς θαλάσσης. ἀκούσασα τὴν τύχην ἠλέησα, καὶ ἀνεμνήσθην σου, καὶ παρέσχον ἑστίαν· Τάχα, λέγουσα, καὶ Θέρσανδρος οὕτω που πλανᾶται, Τάχα, λέγουσα, τις κἀκεῖνον ἐλεήσει γυνή. εἰ δὲ τῷ ὄντι τέθνηκε κατὰ θάλατταν, ὡς ἡ φήμη λέγει, φέρε πάντα τιμῶμεν αὐτοῦ τὰ ναυάγια. πόσους καὶ ἄλλους ἔθρεψα νεναυαγηκότας; πόσους ἔθαψα τῆς θαλάσσης νεκρούς; εἰ ξύλον ἐκ ναυαγίας τῇ γῇ προσπεσὸν ἐλάμβανον· Τάχα, λέγουσα, Θέρσανδρος ἐπὶ ταύτης τῆς νηὸς ἔπλει. εἷς δὴ καὶ οὗτος ἦν τῶν ἐκ τῆς θαλάσσης σωζομένων ἔσχατος. ἐχαριζόμην σοι τιμῶσα τοῦτον. ἔπλευσεν ὥσπερ σὺ, ἐτίμων, φίλτατε, τῆς συμφορᾶς τὴν εἰκόνα. πῶς οὖν ἐνταῦθα συνηπειγόμην, ὁ λό-

garet, adverfa admodum fortuna ufus eft: quippe omnes eius merces naufragio confumtae perierunt. Quod ego cum audiviffem, calamitate hominis commota fum. Interim tui memor, eum hofpitio accepi, mecum illud cogitans, fieri potuiffe, ut tu quoque fic errares, tuamque calamitatem mulier aliqua fublevaret: aut fi revera in undis, ut fama fuit, diem obiiffes, non impie me facturam, fi naufragis omnibus mifericordiam tribuiffem. Nam quot alios me naufragos fublevaffe putas? quot undis fubmerfos fepulturae mandaffe? fi modo lignum e naufragio ad terram delatum nancifci potui, mecum inquiens: Forte hac navi Therfander vehebatur. Ex iis autem, qui pelagi vim effugerunt, unus hic, & quidem poftremus fuit: quem dum ego honore affeci, quid aliud, quam in te officiofa fui? Navigavit ille, quemadmodum etiam tu: idcirco eius calamitatem tanquam tuae imaginem, cariffime coniux, miferata fum. Habes, quo pacto illum huc

γος ἀληθής. ἔτυχε μὲν πενθῶν γυναῖκα· ἡ δ᾽ ἄρα ἐλάνθανεν οὐκ ἀποθανοῦσα· τοῦτό τις αὐτῷ καταγορεύει, καὶ ὡς ἐνταῦθα εἴη, παρά τινι τῶν ἡμετέρων ἐπιτρόπων· Σωσθένει, ἔλεγεν. καὶ οὕτως εἶχεν· τὴν γὰρ ἄνθρωπον ἥκοντες εὕρομεν. διὰ τοῦτο ἠκολούθησέ μοι. ἔχεις τὸν Σωσθένην, πάρεστιν ἡ γυνὴ κατὰ τοὺς ἀγρούς. ἐξέτασον τῶν λεχθέντων ἕκαστον. εἴ τι ἐψευσάμην, μεμοίχευμαι.

ι'. Ταῦτα δὲ ἔλεγεν, προσποιησαμένη, τὸν ἀφανισμὸν τῆς Λευκίππης μὴ ἐγνωκέναι· ταμιευσομένη αὖθις, εἰ ζητήσει ὁ Θέρσανδρος εὑρεῖν τὴν ἀλήθειαν, τὰς θεραπαινίδας ἀγαγεῖν, αἷς συναπελθοῦσα ἔτυχεν, ἂν παραγένηται περὶ τὴν ἕω, λεγούσας, ὅπερ ἦν, οὐδαμοῦ φαίνεσθαι τὴν κόρην· οὕτω γὰρ αὐτὴν ἐγκεῖσθαι πρὸς τὴν ζήτησιν φανερῶς, ὡς καὶ τὸν Θέρ-

mecum perduxerim. Porro autem is uxorem ſuam lugebat, quae tamen inter vivos adhuc, quamvis latenter, verſabatur; cum tandem, neſcio quis, eam vivere, atque apud unum e procuratoribus noſtris, Soſthenem autem nominabat, diverſari nobis retulit: remque ita ſe habere compertum eſt. Rus enim profecti, mulierem invenimus: atque hac de cauſa me ille ſecutus eſt. Habes Soſthenem: mulier ruri eſt. De iis omnibus tuo arbitratu percontare. Si quid mentitam eſſe me compereris, adulterii ream agas licet.

X. Haec Melite dicebat, Leucippes raptum ſcire ſe diſſimulans, atque in animo habens, ſi quidem facti veritatem indagare Therſander ſtuduiſſet, ancillas, quibuſcum Leucippe abierat, poſtridie mane reverſura, teſtes dare, puellam nuſquam reperiri dicturas. Nec enim aliam illam ob cauſam perquirendae puellae operam dabat, quam ut Therſandrum ad credendum, quae locuta fuerat, induce-

σανδρον ἐπαναγκάσαι. Ταῦτα οὖν ὑποκριναμένη, πειθανῶς κἀκεῖνα προσετίθει· Πίστευσον, ἄνερ, οὐδέν μοι φίλτατε παρὰ τὸν τῆς συμβιώσεως κατέγνωκας χρόνον, μηδὲ νῦν τοιοῦτον ὑπολάβοις. ἡ δὲ Φήμη διαπεφοίτηκεν, ἐκ τῆς εἰς τὸν νεανίσκον τιμῆς, οὐκ εἰδότων τῶν πολλῶν τὴν αἰτίαν τῆς κοινωνίας. καὶ γὰρ σὺ Φήμῃ τέθνηκας. Φήμη δὲ καὶ διαβολὴ, δύο συγγενῆ κακά. θυγάτηρ ἡ Φήμη τῆς διαβολῆς. καὶ ἔστι μὲν ἡ διαβολὴ μαχαίρας ὀξυτέρα, πυρὸς σφοδροτέρα, Σειρήνων πειθανωτέρα· ἡ δὲ Φήμη ὕδατος ὑγροτέρα, πνεύματος δρομικωτέρα, πτερῶν ταχυτέρα. ὅταν οὖν ἡ διαβολὴ τοξεύσῃ τὸν λόγον, ὁ μὲν δίκην βέλους ἐξίπταται, καὶ τιτρώσκει μὴ παρόντα καθ' οὗ πέμπεται· ὁ δὲ ἀκούων ταχὺ πείθεται, καὶ ὀργῆς αὐτῷ πῦρ ἐξάπτεται, καὶ ἐπὶ τὸν βληθέντα μαίνεται. τεχθεῖσα δὲ

ret. Quin immo, quamquam ſatis appoſite reſpondiſſe videbatur, tamen illud etiam addidit: Neque vero, coniux, quae dixi, falſa eſſe putes: meminiſſe enim potes, quam incorrupte antea, dum ſimul aetatem egimus, vitam duxerim: quamobrem, probri me nunc a te inſimulari, periniquum eſt. Fama autem haec ex honore adoleſcenti habito exorta eſt, eo quod multos lateret cauſa, quamobrem meam illum in familiaritatem receperim. Quod ſi famae credendum ſit, an non tu quoque naufragio ſubmerſus obiiſſe putandus eſſes? Calumnia enim & fama duo ſunt ſibi cognata mala, nimirum quia haec illius filia eſt. Atque illa quidem gladio acutior, igne ardentior, & ad perſuadendum Sirenibus aptior eſt: haec vero aqua fluxior, vento celerior, & pernicior alis. Quamobrem ſermo, cum a calumnia emiſſus fuerit, ſagittae in morem evolat, abſentemque, in quem mittitur, vulnerat: qui vero audit, facile admodum credit, iraque accenſus in vul-

ἡ Φήμη τῷ τοξεύματι, ῥεῖ μὲν εὐθὺς πολλὴ, καὶ ἐπικλύζει τὰ ὦτα τῶν ἐντυχόντων, διαπνεῖ δὲ ἐπὶ πλεῖστον καταιγίζουσα τῷ τοῦ λόγου πνεύματι, καὶ ἐξίπταται κουφιζομένη τῷ τῆς γλώσσης πτερῷ. ταῦτά με τὰ δύο πολεμεῖ, ταῦτά σου τὴν ψυχὴν κατέβαλεν, καὶ ἀπέκλεισέ μου τοῖς λόγοις τῶν ὤτων σου τὰς θύρας.

ια΄. Ἅμα λέγουσα, χειρός τε ἔθιγεν, καὶ καταφιλεῖν ἤθελεν. ἐγεγόνει δὲ ἡμερώτερος, καὶ αὐτὸν ἔσαινεν τῶν λεγομένων τὸ πιθανὸν, καὶ τὸ τῆς Λευκίππης σύμφωνον τῷ λόγῳ τοῦ Σωσθένους, μέρος τῆς ὑπονοίας μετέφερεν. οὐ μέν τοι τέλεον ἐπίστευσεν. ζηλοτυπία γὰρ ἅπαξ ἐμπεσοῦσα ψυχῇ δυσέκλειπτός ἐστιν. Ἐθορυβεῖτο οὖν ὅτε τὴν κόρην ἤκουεν εἶναί μου γυναῖκα· ὥστε ἐμίσει με μᾶλλον. Τότε μὲν οὖν εἰπὼν ἐξετά-

neratum furit. At fama ex vulnere huiusmodi multiplex quidem statim diffunditur: & sermonis vento acta, linguaeque pennis interim sustentata, omnes in partes circumfertur, in obvii cuiusque aures illabens. Hae contra me duae pestes conspiraverunt: eaedem animum nunc tuum occupant, meosque ab auribus tuis sermones arcent.

XI. Quae cum Melite dixisset, apprehensam Thersandri manum dissuaviari voluit. Ille quoque dictorum verisimilitudine motus, de concepta ira aliquantum remisit, utpote cui, quae de Leucippe narrata erant, a Sosthenis oratione non aliena, suspicionis partem ademissent. Non enim omnia prorsus credere voluit: propterea quod obtrectatio, ubi semel in animum alicuius incidit, non nisi difficulter extrudi potest. Ceterum Thersander puellam, quam deperibat, uxorem meam esse audiens, mirum in modum perturbatus est: maiusque in me odium concepit. Sed tamen percontaturum se affirmans, itane, uti audi-

σειν περὶ τῶν εἰρημένων, κοιμησόμενος ᾤχετο καθ' αὐτόν. ἡ δὲ Μελίττη κακῶς εἶχε τὴν ψυχὴν, ὡς ἐκπεσοῦσα πρός με τῆς ὑποσχέσεως. Ὁ δὲ Σωσθένης παραπέμψας μέχρι τινὸς τὸν Θέρσανδρον, καθυποσχόμενος περὶ τῆς Λευκίππης, αὖθις ἀναστρέφει πρὸς αὐτὴν, καὶ σχηματίσας τὸ πρόσωπον εἰς ἡδονὴν, Κατορθώσαμεν, εἶπεν, ὦ Λάκαινα. Θέρσανδρος ἐρᾷ σου, καὶ μαίνεται· ὥστε τάχα καὶ γυναῖκα ποιήσεταί σε. τὸ δὲ κατόρθωμα τοῦτο ἐμόν· ἐγὼ γάρ σου πρὸς αὐτὸν περὶ τοῦ κάλλους πολλὰ ἐτερατευσάμην, καὶ τὴν ψυχὴν αὐτοῦ φαντασίας ἐγέμισα. Τί κλαίεις; ἀνάστηθι, καὶ θῦε ἐπὶ τοῖς εὐτυχήμασιν Ἀφροδίτῃ. μνημόνευε δὲ κᾀμοῦ.

ιβ'. Καὶ ἡ Λευκίππη· Τοιαῦτά σοι, ἔφη, γένοιτο εὐτυχήματα, οἷά μοι κομίζων πάρει. Ὁ δὲ Σωσθένης τὴν εἰρωνείαν οὐ συνιεὶς, ἀλλὰ νομίζων αὐτὴν

verat, res haberet, cubitum ſolus abiit. Melite interea moerore conficiebatur, quod, quae mihi promiſerat, facere ſe non poſſe intelligeret. At Soſthenes, Therſandro, ut aliquantiſper abeſſet, dimiſſo, multa de Leucippe pollicens, ad eam rurſum profectus eſt: vultuque hilaritatem prae ſe ferente, Proſpere omnia, inquit, o Lacaena, ſuccedent. Therſander enim eouſque te diligit, ut inſaniat: forte vero etiam in uxorem ducet. Id autem mea unius opera fieri credas velim, qui tuam illi pulchritudinem, ſupra quam cogitari poſſit, commendavi, teque in medullis eius penitus infixi. Flere itaque deſine, ac bono animo eſto, Venerique hanc ob felicitatem ſacra facere perge. Sed, ut mei quoque tibi veniat in mentem, cura.

XII. Tum Leucippe: Talis, inquit, faxint Dii, ut felicitas tibi eveniat, qualem mihi nuntiatum venis. Soſthenes irrideri ſe minime ratus, ſed illam ex animo loqui

τῷ ὄντι λέγειν, φιλοφρονούμενος προσετίθει· Βούλομαι δέ σοι καὶ τὸν Θέρσανδρον, ὅς τις ἐστὶν, εἰπεῖν, ὡς ἂν μᾶλλον ἡσθείης· Μελίττης μὲν ἀνὴρ, ἣν εἶδες ἐν τοῖς ἀγροῖς· γένει δὲ πρῶτος ἁπάντων τῶν Ἰώνων, πλοῦτος μείζων τοῦ γένους, ὑπὲρ τὸν πλοῦτον ἡ χρηστότης. τὴν δὲ ἡλικίαν, οἷός ἐστιν, εἶδες, ὅτι νέος καὶ καλὸς, ὃ μάλιστα τέρπει γυναῖκα. Πρὸς τοῦτο οὐχ ὑπήνεγκεν ἡ Λευκίππη ληροῦντα τὸν Σωσθένην. ἀλλ' Ὦ κακὸν σὺ θηρίον· μέχρι τίνος μιαίνεις τὰ ὦτα; τί ἐμοὶ καὶ Θερσάνδρῳ κοινόν; καλὸς ἔστω Μελίττῃ, καὶ πλούσιος τῇ πόλει, χρηστός τε καὶ μεγαλόψυχος τοῖς δεομένοις· ἐμοὶ δὲ οὐδὲν μέλει τούτων. εἴτε ἐστὶ καὶ Κόδρου εὐγενέστερος, εἴτε Κροίσου πλουσιώτερος· τί μοι καταλέγεις σωρὸν ἀλλοτρίων ἐγκωμίων; τότε ἐπαινέ-

existimans: Atqui nunc, inquit, Therſandri conditionem fortunamque, quo magis etiam tibi laetandum ſcias, commemorare volo. Itaque hoc pro certo habe, Melites, eius, quam ruri allocuta es, maritum illum eſſe, Ionum omnium genere primum; ſed cuius genus divitiae, divitias benignitas vincat. Nam quid ego de eius aetate loquar? tu enim iuvenem, praetereaque formoſum eſſe vidiſti: quae duae res a mulieribus quam maxime expetuntur. Hic tum Leucippe nugatorem Soſthenem diutius non tulit, ſed, Quouſque tandem, inquit, belluarum omnium peſſima, aures meas impura tua oratione foedare perges? Quid mihi cum Therſandro? Formoſus ſit Melitae, dives ſit patriae, manſuetus & magnanimus ſit iis, qui eius opera eguerint. Nihil enim mea refert, ſive Codro nobilior, ſive Croeſo ditior exſiſtat. Quid mihi alienarum laudum cumulum recenſes? Sane Therſandrum uti

σω Θέρσανδρον ὡς ἄνδρα ἀγαθὸν, ὅταν ἐς τὰς ἀλλοτρίας μὴ ἐνυβρίζῃ γυναῖκας.

ιγ'. Καὶ ὁ Σωσθένης σπουδάσας εἶπεν· Παίζεις; Ποῖ παίζω; ἔφη. ἔα με, ἄνθρωπε, μετὰ τῆς ἐμαυτῆς συντρίβεσθαι τύχης, καὶ τοῦ κατέχοντός με δαίμονος. οἶδα γὰρ οὖσα ἐν πειρατηρίῳ. Δοκεῖς μοι, ἔφη, μαίνεσθαι μανίαν ἀνήκεστον. πειρατήριον ταῦτ' εἶναί σοι δοκεῖ, πλοῦτος καὶ γάμος καὶ τρυφή; ἄνδρα τοιοῦτον λαβοῦσα παρὰ τῆς τύχης, ὃν οὕτω φιλοῦσι οἱ θεοὶ, ὡς αὐτὸν καὶ ἐκ μέσων τῶν τοῦ θανάτου πυλῶν ἀναγαγεῖν; Εἶτα κατέλεγεν τὴν ναυαγίαν, ἐκθειάζων, ὡς ἐσώθη, καὶ τερατευόμενος ὑπὲρ τὸν δελφῖνα τὸν Ἀρίωνος. Ὡς δ' οὐδὲν ἡ Λευκίππη οὐκ ἔτι μυθολογοῦντα πρὸς αὐτὸν εἶπεν· Σκέψαι, ἔφη, κατὰ σοῦ, τί ἄμεινον, καὶ ὅπως μηδὲν τούτων πρὸς Θέρσανδρον ἐρεῖς, καὶ μὴ παροξύνῃς χρηστὸν ἄνδρα. ὀργι-

probum virum tunc laudabo, cum alienis uxoribus iniuriam afferre desinet.

XIII. Tum serio loquens Softhenes: Igitur, inquit, iocaris? At illa: Quid, inquit, iocer? sine mea me fortuna, & me trahente me fato frui: scio enim, me inter piratas esse. Ille autem: Immedicabili mihi videris, inquit, insania detineri. Piratarumne tibi locus hic videtur, ubi coniugem, divitias, oblectamenta nanciscaris? eumque praeterea virum, quem adeo diligunt Dii, ut ex ipsis mortis faucibus eripuerint? Atque sumta hinc dicendi occasione naufragium recensuit, divina ope factum inquiens, quod evaserit, ac non dissimilia propemodum iis, quae de Arionis delphine narrantur, comminiscens. Quibus cum nihil Leucippe respondisset, Softhenes iterum: Quid tua e re sit, inquit, mente circumspice, & huiusmodi quidquam Thersandro respondeas, cave, ne hominem mansuetum

σθεὶς γὰρ ἀφόρητός ἐστιν· χρηστότης γὰρ τυγχάνουσα μὲν χάριτος, ἔτι μᾶλλον αὔξεται· προπηλακισθεῖσα δὲ, εἰς ὀργὴν ἐρεθίζεται. τὸ γὰρ περιττὸν εἰς φιλανθρωπίαν, ἴσον ἔχει τὸν θυμὸν εἰς τιμωρίαν. Τὰ μὲν δὴ κατὰ Λευκίππην εἶχεν οὕτως.

ιδ'. Κλεινίας δὲ καὶ ὁ Σάτυρος πυθόμενοί, με ἐν τῷ δεσμωτηρίῳ καθεῖρχθαι· διηγγέλκει γὰρ αὐτοῖς ἡ Μελίττη· τῆς νυκτὸς εὐθὺς ἐπὶ τὸ οἴκημα σπουδῇ παρῆσαν. καὶ ἤθελον μὲν αὐτοῦ καταμεῖναι σὺν ἐμοί· ὁ δὲ ἐπὶ τῶν δεσμῶν οὐκ ἐπέτρεπεν, ἀλλ' ἐκέλευεν ἀπαλλάττεσθαι τὴν ταχίστην. ὁ μὲν δὴ τούτους ἀπήλασεν ἄκοντας, ἐγὼ δὲ ἐντειλάμενος αὐτοῖς περὶ τῆς Λευκίππης, εἰ παραγένοιτο, περὶ τὴν ἕω σπουδῇ πρός με ἥκειν, καὶ τὰς τῆς Μελίττης διηγησάμενος ὑποσχέσεις, τὴν ψυχὴν εἶχον ἐπὶ τρυτάνης ἐλπίδος καὶ φόβου, καὶ ἐφοβεῖτό μου τὸ ἐλπίζον, καὶ ἤλπιζε τὸ φοβούμενον.

irrites: qui cum ira permovetur, ferri nequit. Is enim, cui manſuetudo ineſt, ſi in mite ingenium incidat, manſuetiorem etiam ſe praeſtat: ſin vero cum inhumano congrediatur, implacabili effervеſcit iracundia. Natura enim ita comparatum eſt, ut, in quo ad bene merendum vigeat alacritas, ei ad ulciſcendum acerbitas non deſit. Ac de Leucippe quidem hactenus.

XIV. Clinia Satyruſque, ſimulac me in cuſtodiam datum eſſe audiverunt, omnem enim rem eis Melite narraverat, noctu ad me in carcerem ſtatim ſe contulerunt, una mecum illic degere parati: verum carceris cuſtos non permiſit, quin immo eos vel invitos quam celerrime abire iuſſit. Ego vero id tum ab eis petii, ut cum primum Leucippen rediiſſe cognoviſſent, mane ſine mora ad me reverterentur. Interea Melites promiſſa mente agitans, ſpe metuque angebar; ac timori ſpes, & ſpei timor coniunctus erat.

ιέ. Ἡμέρας δὲ γενομένης, ὁ μὲν Σωσθένης ἐπὶ τὸν Θέρσανδρον ἔσπευδεν. οἱ δὲ ἀμφὶ τὸν Σάτυρον ἐπ' ἐμέ. Ὡς εἶδεν δὲ ὁ Θέρσανδρος τὸν Σωσθένην, ἐπυνθάνετο, πῶς ἔχει τὰ κατὰ κόρην εἰς πειθὼ πρὸς αὐτόν. Ὁ δὲ τὸν μὲν ὄντα λόγον οὐ λέγει· σοφίζεται δέ τι μάλα πιθανῶς. Ἀρνεῖται μὲν γὰρ, εἶπεν· οὐ μὴν ἡγοῦμαι τὴν ἄρνησιν αὐτῆς οὕτως ἔχειν ἁπλῶς, ἀλλ' ὑπονοεῖν μοι δοκεῖ σε χρησάμενον ἅπαξ ἀφήσειν, καὶ ὀκνεῖ τὴν ὕβριν. Ἀλλὰ τούτου γε εἵνεκεν, εἶπεν ὁ Θέρσανδρος, θαῤῥείτω. τὸ γὰρ ἐμὸν οὕτως ἔχει πρὸς αὐτὴν, ὡς ἀθάνατον εἶναι. ἓν δὲ μόνον φοβοῦμαι, καὶ ἐπείγομαι μαθεῖν περὶ τῆς κόρης, εἰ τῷ ὄντι γυνὴ τυγχάνει τοῦ νεανίσκου γενομένη, ὡς ἡ Μελίττη μοι διηγήσατο. Ταῦτα διαλεγόμενοι παρῆσαν ἐπὶ τὸ τῆς Λευκίππης δωμάτιον. Ἐπεὶ δὲ πλησίον ἐγένοντο τῶν

XV. Poſtea autem, cum iam dies illuxiſſet, Soſthenes ad Therſandrum; Satyrus & Clinia ad me reverſi ſunt. Ac Therſander quidem Soſthenem, quid de Leucippe feciſſet, ad moremne ſibi gerendum perſuaſa eſſet, interrogavit ſtatim. Ille autem ſuppreſſa veritate, neſcio quid apte ſane commentus: Negat quidem illa, inquit; verum id ego ex animo proficiſci non puto: nam contumeliam tantum timere mihi videtur, ne videlicet ſe, cum ſemel potitus fueris, eiicias. Tum ille: Atqui quod ad hanc rem, inquit, attinet, formidare deſinat. Etenim, ut ingenue fatear, tam altas deſiderium eius meo in corde radices egit, nullo ut unquam tempore inde avelli poſſit. Illud tantummodo vereor, ac ſcire aveo, ſitne vere adoleſcentis eius, uti mihi a Melite narratum antea fuit, uxor. Haec ultro citroque colloquentes ad Leucippes domunculam pervenerunt. Quam cum ad miſerabilem ſonum vocem inflectentem procul ſenſiſſent, taciti ante fores clam conſede-

θυρῶν, ἀκούουσιν αὐτῆς ποτνιωμένης. [1] ἔστησαν οὖν ἀψοφητὶ κατόπιν αὐτῶν τῶν θυρῶν.

ιϛʹ. Οἴμοι, Κλειτοφῶν· Τοῦτο γὰρ ἔλεγε πολλάκις· Οὐκ οἶδας ποῦ γέγονα, καὶ ποῦ καθεῖργμαι· οὐδὲ γὰρ ἐγὼ, τίς σε κατέχει τύχη· ἀλλὰ τὴν αὐτὴν ἄγνοιαν δυστυχοῦμεν. ἆρα μή σε κατέλαβε Θέρσανδρος ἐπὶ τῆς οἰκίας; ἆρα μὴ καὶ σύ τι πέπονθας ὑβριστικόν; πολλάκις ἠθέλησα πυθέσθαι παρὰ τοῦ Σωσθένους, ἀλλ' οὐκ εἶχον ὅπως πύθωμαι· εἰ μὲν ὡς περὶ ἀνδρὸς ἐμαυτῆς, ἐφοβούμην, μή τί σοι κινήσω κακὸν, παροξύνασα Θέρσανδρον ἐπὶ σέ· εἰ δὲ ὡς περὶ ξένου τινὸς, ὑπόνοια καὶ τοῦτο ἦν· τί γὰρ μέλει γυναικὶ περὶ τῶν οὐχ ἑαυτῆς; ποσάκις ἐμαυτὴν ἐβιασάμην,

runt, ut, quae loqueretur, exaudirent. Sola enim secum ita propemodum lamentabatur.

XVI. Hei mihi, o Clitophon! id autem nominis crebro repetebat, neque tu, ubi sim, aut quo in loco custodiar, nosti: neque ego, quae te fortuna habeat, satis scio: sed alter alterius rerum ignarus miseram uterque vitam vivimus. Numquid vero te domi Thersander deprehendit? numquid tu quoque contumeliam passus es? Mihi quidem non semel in animo fuit, Sosthenem de te interrogare: verum, quomodo id tuto facerem, non inveniebam. Si enim, ut de coniuge meo, rogassem, metuendum fuit, ne inde aliquid periculi tibi conflarem, Thersandrum in te concitando. Sin, ut de hospite aliquo, hinc etiam suspicioni locus esse poterat. Qui enim mulier de iis, quae ad se non pertineant, sollicita sit? Sed quid ego haec loquor? Immo vero ad rogandum me quam saepis-

1 Ποτνιωμένης) Hesychius inter alia ποτνιᾶμαι reddit μετ' οἰμωγῆς ἱκετεύω. Adhibetur de obsecrantibus & opem Deûm implorantibus voce lamentabili, ubi vel solent miseri obtestari: ὦ πότνια, πότνια θεὰ, vel, non sine lacrimis ante simulacra, supplicum more provolvi. Ita Scholiastes Euripidis Orest. 1213: Ποτνιᾶσθαι ἐστι, τὸ προσπίπτειν καὶ παρακαλεῖν μετὰ δακρύων.

ἀλλ' οὐκ ἔπειθον τὴν γλῶσσαν εἰπεῖν; ἀλλὰ ταῦτα μόνον ἔλεγον, Ἄνερ Κλειτοφῶν, Λευκίππης μόνης ἄνερ, πιστὲ καὶ βέβαιε, ὃν οὐδὲ συγκαθεύδουσα πέπεικεν ἄλλη γυνὴ, κἂν ἡ ἄστοργος ἐγὼ πεπίστευκα. μετὰ τοσοῦτον ἰδοῦσά σε χρόνον ἐν τοῖς ἀγροῖς οὐ κατεφίλησα. Νῦν οὖν ἂν Θέρσανδρος ἔλθῃ πυθανόμενος, τί πρὸς αὐτὸν εἴπω; ἆρα ἀποκαλύψασα τοῦ δράματος τὴν ὑπόκρισιν, διηγήσομαι τὴν ἀλήθειαν; Μή με νομίσῃς ἀνδράποδον εἶναι, Θέρσανδρε. στρατηγοῦ θυγάτηρ εἰμὶ Βυζαντίων, πρώτου τῶν Τυρίων γυνὴ, οὐκ εἰμὶ Θετταλὴ, οὐ καλοῦμαι Λάκαινα. ὕβρις αὐτή ἐστιν πειρατικὴ, λελήστευμαι καὶ τοὔνομα. ἀνήρ μοι Κλειτοφῶν, πατρὶς Βυζάντιον, Σώστρατος πατὴρ, μήτηρ Πανθία. ἀλλ' οὐδὲ πιστεύσειας ἐμοὶ λεγούσῃ. Φοβοῦμαι δὲ καὶ ἐὰν πιστεύσῃς περὶ Κλειτοφῶντος,

ſime comparavi; nec tamen ad id linguam inducere unquam potui: verum ita tantummodo mecum querebar: Marite Clitophon, unius Leucippes fide & conſtans marite, quem alia nulla cum eo etiam cubans mulier pellexit, quamquam id ego amoris iam propemodum affectu vacua non credidi, tene ego tanto poſt tempore ruri conſpicata deoſculari ceſſavi? Sed quidnam Therſandro, ſi forte rurſum interrogaturus adſit, reſpondebo? numquid, detracta perſona, rei totius veritatem omnem adaperiam? Ne me vile mancipium, Therſander, exiſtimes. Byzantiorum exercitus ducis filiam & Tyrii adoleſcentis viri primarii uxorem eſſe ſcias. Ego nec Theſſala ſum, nec Lacaenae mihi eſt nomen. Piratica haec contumelia eſt, per quam nomen etiam mihi ademtum fuit. Coniux mihi eſt Clitophon, patria Byzantium, pater Soſtratus, mater Panthia. Haec reſpondenti mihi tu minime, puto, credes. Ipſa quoque, ſi credas, illud vereor, ne importunum li-

μὴ τὸ ἄκαιρόν μου τῆς ἐλευθερίας τὸν φίλτατον ἀπολέσῃ. Φέρε πάλιν ἐνδύσομαί μου τὸ δρᾶμα, φέρε πάλιν περιθῶμαι τὴν Λάκαιναν.

ιζ'. Ταῦτα ἀκούσας ὁ Θέρσανδρος μικρὸν ἀναχωρήσας λέγει πρὸς τὸν Σωσθένην· Ἤκουσας ἀπίστων ῥημάτων, γεμόντων ἔρωτος; ὅσα εἶπεν; ὅσα ὠδύρατο; τί ἑαυτὴν κατεμέμψατο; ὁ μοιχός μου κρατεῖ πανταχοῦ. δοκῶ, ὁ λῃστὴς καὶ φαρμακεύς ἐστιν. Μελίττη φιλεῖ, Λευκίππη φιλεῖ. ὄφελον, ὦ Ζεῦ, γένωμαι Κλειτοφῶν. Ἀλλ' οὐ μαλακιστέον, ὁ Σωσθένης ἔφη, δέσποτα, πρὸς τὸ ἔργον, ἀλλ' ἐπὶ τὴν κόρην ἰτέον αὐτήν. καὶ γὰρ ἂν νῦν ἐρᾷ τοῦ καταράτου τούτου μοιχοῦ· μέχρι μὲν αὐτὸν οἶδεν μόνον, καὶ οὐκ ἐκοινώνηκεν ἑτέρῳ, πάσχει τὴν ψυχὴν ἐπ' αὐτόν· ἂν δ' ἅπαξ ἐπ' αὐτὸν ἔλθῃς, πολλῇ διαφέρεις ἐκείνου εἰς εὐμορφίαν·

bertatis meae desiderium carissimum coniugem meum perditum eat. Agedum igitur, suppositittiam personam rursus induam, Lacaenamque me iterum simulabo.

XVII. His auditis Thersander paulum retrocedens, atque ad Sosthenem conversus: Audistine, inquit, non credendum, sed tamen amoris plenum sermonem? ut multa dixit? ut graviter conquesta est? cur se ipsam incusavit? Mihi omnino adulter praefertur. Latro iste, opinor, veneficus etiam est: eum Melite amat, eum amat Leucippe. Utinam ego Clitophon, o Iuppiter, fieri possim! Tum Sosthenes: Haudquaquam, o here, inquit, labori cedendum est: sed potius puella adeunda. Nec vero moveat te, quae flagitiosum adulterum istum nunc diligat: illum enim tamdiu observatura est, quamdiu alterius consuetudine caruerit. Quod si tu in illius locum semel succedas, longe homini pulchritudine antecellis, tum penitus oblivio-

ἐπιλήσεται τέλεον αὐτοῦ. παλαιὸν γὰρ ἔρωτα μαραίνει νέος ἔρως, γυνὴ δὲ μάλιστα τὸ παρὸν φιλεῖ, τοῦ δ' ἀπόντος ἕως καινὸν οὐχ εὗρεν μνημονεύει· προσλαβοῦσα δὲ ἕτερον, τὸν πρότερον τῆς ψυχῆς ἀπήλειψεν. Ταῦτα ἀκούσας ὁ Θέρσανδρος, ἠγέρθη. λόγος γὰρ ἐλπίδος εἰς τὸ τυχεῖν ἔρωτος ἐς πειθὼ ῥᾴδιος. τὸ γὰρ ἐπιθυμοῦν σύμμαχον, ὃ θέλει λαβὼν, ἐγείρει τὴν ἐλπίδα.

ιη'. Διαλιπὼν οὖν ὀλίγον ἐφ' οἷς πρὸς ἑαυτὴν ἐλάλησεν ἡ Λευκίππη, ὡς μὴ δοκοίη τὶ κατακούσας τῶν ὑπ' αὐτῆς εἰρημένων, εἰσέρχεται σχηματίσας ἑαυτὸν εἰς τὸ εὐαγωγότερον πρὸς θέαν, ὡς ᾤετο. ἐπεὶ δὲ εἶδεν τὴν Λευκίππην, ἀνεφλέγει τὴν ψυχὴν, καὶ ἔδοξεν αὐτῷ τότε καλλίων γεγονέναι· θρέψας γὰρ ὅλης τῆς νυκτὸς τὸ πῦρ, ὅσον χρόνον ἀπελείφθη τῆς κόρης, ἀνεζωπύρησεν ἐξαίφνης ὕλην λαβὼν εἰς τὴν φλόγα τὴν

ni tradet. Priorem enim flammam novus ignis extrudit: & mulierum ea natura eſt, ut praeſentes maximopere ament, abſentium vero non niſi tantiſper, dum alio carent, reminiſcantur. Itaque ſimulac alter acceſſerit, prior animo prorſus eiicitur. Quibus auditis Therſander excitatus eſt. Quae enim verba optatae rei conſequendae ſpem oſtendunt, credi perfacile ſolent: quod eo fit, quia concupiſcens animi pars, optata re ſibi comite adiuncta, hominem ad ſperandum compellit.

XVIII. Therſander igitur poſt ea, quae ſola ſecum Leucippe locuta fuerat, aliquantiſper immoratus, ne quid exaudiviſſe videretur, vultuque ita, ut ſe tractabiliorem viſum iri ſperabat, compoſito, ad eam tandem ingreſſus eſt. In quam oculos vixdum coniecerat, cum deſiderio totus exarſit, utpote cui longe, quam prius, formoſior eſſe viſa eſt. Ignis enim tota nocte, quo tempore a puella abfuit, enutritus, ipſo puellae adſpectu materiam flam-

θέαν, καὶ μικροῦ μὲν προσπεσὼν περιεχύθη τῇ κόρῃ. Καρτερήσας γοῦν καὶ παρακαθίσας διελέγετο, ἄλλοτε ἄλλα ῥήματα συνάπτων οὐκ ἔχοντα νοῦν. τοιοῦτοι γὰρ οἱ ἐρῶντες, ὅταν πρὸς τὰς ἐρωμένας ζητῶσι λαλεῖν. οὐ γὰρ ἐπιστήσαντες τὸν λογισμὸν τοῖς λόγοις, ἀλλὰ τὴν ψυχὴν εἰς τὸ ἐρώμενον ἔχοντες, τῇ γλώττῃ μόνον χωρὶς ἡνιόχου τοῦ λογισμοῦ λαλοῦσιν. Ἅμα οὖν συνδιαλεγόμενος, καὶ ἐπιθεὶς τὴν χεῖρα τῷ τραχήλῳ, περιέβαλεν, ὡς μέλλων φιλήσειν. ἡ δὲ προϊδοῦσα τῆς χειρὸς τὴν ὁδὸν, νεύει κάτω, καὶ εἰς τὸν κόλπον κατεδύετο. ὁ δὲ οὐδὲν ἧττον περιβαλὼν, ἀνέλκειν τὸ πρόσωπον ἐβιάζετο. ἡ δὲ ἀντικατεδύετο, καὶ ἔκρυπτεν τὰ φιλήματα. Ὡς δὲ χρόνος ἐγένετο τῇ τῆς χειρὸς πάλῃ, φιλονεικία λαμβάνει τὸν Θέρσανδρον ἐρωτικὴ, καὶ τὴν μὲν λαιὰν ὑποβάλλει τῷ προσώπῳ κάτω, τῇ δὲ δεξιᾷ τῆς κόμης λαβόμενος, τῇ μὲν εἷλ-

mae ſuggerente, recanduit ſtatim : parumque abfuit, quin procumbens illam amplexaretur. Suſtinuit tamen ſe paulum, eique aſſidens alia ex aliis verbà, inania plane, inter ſeque minime cohaerentia, effutire coepit. Id quod amantibus uſu venire ſolet, ſi quando cum amica iis ſermonem habere contingit. Neque enim in loquendo mentem adhibent, ſed animo in illam intento, ore tantum, ullo abſque rationis moderamine verba inaniter fundunt. Atque inter loquendum brachium collo, tanquam oſculaturus, iniecit. Quod praevidens Leucippe, vultum demiſit, in ſinuque occuluit. Ille autem in complexu nihilominus perſtans, puellae ut ſuaviandam ſe praeberet, inſtare: puella contra faciem magis magiſque obtegere, oſculaque pernegare. Verum cum luctae huiuſmodi temporis ſatis datum eſſet, amatoriae cuiuſdam rixae cupiditate incenſus Therſander, laevam manum mento ſubdidit, dex-

κεν εἰς τοὐπίσω, τῇ δὲ εἰς τὸν ἀνθερεῶνα ὑπερείδων ἀνώθει. Ὡς δέ ποτε ἐπαύσατο τῆς βίας, ἢ τυχὼν, ἢ μὴ τυχὼν, ἢ καμὼν, λέγει πρὸς αὐτὸν ἡ Λευκίππη· Οὔτε ὡς ἐλεύθερος ποιεῖς, οὔτε ὡς εὐγενὴς, καὶ σὺ ἐμιμήσω Σωσθένην. ἄξιος ὁ δοῦλος τοῦ δεσπότου. ἀλλὰ ἀπέχου τοῦ λοιποῦ, μηδὲ ἐλπίσῃς τυχεῖν, πλὴν εἰ μὴ γένῃ Κλειτοφῶν.

ιθ΄. Ταῦτα ἀκούσας ὁ Θέρσανδρος οὐκ εἶχεν ὅς τις γένηται. καὶ γὰρ ἤρα, καὶ ὠργίζετο. θυμὸς δὲ καὶ ἔρως δύο λαμπάδες. ἔχει γὰρ καὶ ὁ θυμὸς ἄλλο πῦρ, καὶ ἔστι τὴν μὲν φύσιν ἐναντιώτατον, τὴν δὲ βίαν ὅμοιον. ὁ μὲν γὰρ παροξύνει μισεῖν, ὁ δὲ ἀναγκάζει φιλεῖν. καὶ ἀλλήλων πάροικος ἡ τοῦ πυρός ἐστι πηγή. ὁ μὲν γὰρ εἰς τὸ ἧπαρ κάθηται· ὁ δὲ τῇ καρδίᾳ περιβέβληται. ὅταν οὖν ἄμφω τὸν ἄνθρωπον καταλάβῃ, γίνεται μὲν αὐτοῖς ἡ ψυχὴ τρυτάνη, τὸ δὲ πῦρ ἑκατέ-

tera capillos apprehendit, ac ſumma vi, ut eam alte ſpectare cogeret, trahere orſus eſt. Tandem cum ſive aſſecutus, ſive non, ſeu etiam defeſſus, vim afferre deſiiſſet, Leucippe ad eum: Neque ut liberum, inquit, neque ut generoſum virum decet, facis; ſed Soſthenem ipſe quoque imitaris, dignum plane domino ſervum. Quare deſine iam, neque te quidquam adepturum ſpera, niſi forte in Clitophontem e Therſandro convertaris.

XIX. Quae cum ille audiviſſet, vix ſibi ipſi conſtitit: ita amore atque ira aeſtuabat. Amor autem, atque ira, faces animi duae ſunt: ſuum enim ira ignem habet, amori quidem natura contrarium, potentia vero perſimilem. Nam altera odio, alter benevolentia proſequi cogit. Vicina etiam utriuſque eorum ardoris ſedes eſt: ille enim in iecore, hic in corde inhabitat. Hominem igitur ambo cum occupaverint, animus eius libra quaedam fit, qua utriuſ-

ρου ταλαντεύεται. μάχεται δὲ ἄμφω περὶ τῆς ῥοπῆς· καὶ τὰ πολλὰ μὲν ὁ ἔρως εἴωθεν νικᾶν, ὅταν εἰς τὴν ἐπιθυμίαν εὐτυχῇ· ἢν δὲ αὐτὸν ἀτιμάσῃ τὸ ἐρώμενον, αὐτὸς τὸν θυμὸν εἰς συμμαχίαν καλεῖ· κἀκεῖνος ὡς γείτων πείθεται, καὶ ἀνάπτουσιν ἄμφω τὸ πῦρ. ἂν δὲ ἅπαξ ὁ θυμὸς τὸν ἔρωτα παρ᾽ αὐτῷ λάβῃ, καὶ τῆς οἰκείας ἕδρας ἐκπεσόντα κατάσχῃ, φύσει τε ὢν ἄσπονδος, οὐχ ὡς φίλῳ πρὸς τὴν ἐπιθυμίαν συμμαχεῖ, ἀλλ᾽ ὡς δοῦλον τῆς ἐπιθυμίας πεδήσας κρατεῖ. οὐκ ἐπιτρέπει δὲ αὐτῷ σπείσασθαι πρὸς τὸ ἐρωμένον, κἂν θέλῃ. ὁ δὲ τῷ θυμῷ βεβαπτισμένος καταδύεται, καὶ εἰς τὴν ἰδίαν ἀρχὴν ἐκπηδῆσαι θέλων, οὐκ ἔστιν ἐλεύθερος, ἀλλὰ μισεῖν ἀναγκάζεται τὸ φιλούμενον. ὅταν δὲ ὁ θυμὸς καχλάζων γεμισθῇ [1], καὶ τῆς ἐξουσίας

que ignis expenditur. Atque alter alterum impellere conatur. Plerumque autem amor ſuperior evadit, cum ſcilicet, quod concupierat, adipiſcitur. Sin autem negligi ſe animadvertat, iram ſibi auxilio advocat: quae utpote vicina, vocanti praeſto adeſt, unaque tum ambo ignem exſuſcitant. Quod ſi amorem ira ſemel peſſumdet, ac domo ſua, ut natura infida eſt, eiiciat, tantum abeſt, ut ei tanquam amico ad aſſequenda optata opem ferat, ut etiam tanquam ſervum vinculis coërceat; neque cum amato amplius in gratiam, tametſi maxime velit, redire patiatur. Quo fit, ut vi huiuſmodi oppreſſus amor ſuccumbat, propriumque ad imperium reverti cupiens minime poſſit, ſed amatum odiſſe compellatur. At vero ubi ſatis ſuperque ſe ipſam ira excruciaverit, licentiaeque plena

1 Ὅταν δὲ ὁ θυμὸς καχλάζων γεμισθῇ) Sic placuit reponere ex libris vetuſtioribus, cum editio haberet, ὅταν δὲ ὁ θυμὸς κολάζων γεμισθῇ. Quomodo & poſtea in Anglicano ſcriptum offendi. Nec aliter interpres legit: *At vero ubi ſatis ſuperque ſe ipſam ira excruciaverit.* Quae tamen lectio mihi videtur falſa. Hic ſenſus Graece procederet, ſi legeretur, ὅταν δὲ ὁ θυμὸς ἑαυτὸν κολάζων. Sed nec

ἐμφορηθεὶς ἀποβλύσῃ, κάμνει μὲν ἐκ τοῦ κόρου, καμὼν δὲ παρίεται, καὶ ὁ ἔρως ἀμύνεται, καὶ ὁπλίζει τὴν ἐπιθυμίαν, καὶ τὸν θυμὸν ἤδη καθεύδοντα νικᾷ. ὁρῶν δὲ τὰς ὕβρεις, ἃς κατὰ τῶν φιλτάτων ἐπαρῴνησεν, ἀλγεῖ, καὶ πρὸς τὸ ἐρώμενον ἀπολογεῖται, καὶ εἰς ὁμιλίαν παρακαλεῖ, καὶ τὸν θυμὸν ἐπαγγέλλεται καταμαλάττειν ἡδονῇ [1]. τυχὼν μὲν οὖν ὧν ἠθέλησεν, ἵλεως γίγνεται· ἀτιμούμενος δὲ πάλιν εἰς τὸν θυμὸν καταδύεται. ὁ δὲ καθεύδων ἐξεγείρεται, καὶ τὰ ἀρχαῖα ποιεῖ. ἀτιμίᾳ γὰρ ἔρωτος σύμμαχός ἐστι θυμός.

κ΄. Καὶ ὁ Θέρσανδρος οὖν, τὸ μὲν πρῶτον ἐλπίζων εἰς τὸν ἔρωτα εὐτυχήσειν, ὅλος Λευκίππης δοῦλος ἦν·

exundaverit, prae ſatietate tandem aegreſcit, aegreſcensque remittitur. Amor autem vires denuo ſumit, deſideriumque in aciem producens, iram iam dormientem ſede ſua exturbat: dein animo reputans, quam contumelioſe in amatum bacchatus fuerit, moeret, ac ſeſe purgat, iterumque ad familiaritatem invitat, iram voluptate iam deliniendam eſſe pollicens. Voti ergo compos amor miteſcit; neglectus autem irae ſe arbitrio totum permittit. Quae ſi forte ſopita fuerit, excitatur, atque, ut antea, ſaevit. Amoris enim contemtum ira ſemper ulciſcitur.

XX. Therſander igitur initio voti quidem compotem futurum ſe ratus, Leucippae totum ſe dediderat: verum

de ira ſe ipſam excruciante hic ſermo eſt, ſed ſemetipſam exſuperante & exundante. Ergo καχλάζων huic metaphorae proprium, a fluctibus ſe extollentibus & cum ſonitu ſurgentibus deſumtum. Nam ſequitur καὶ ἐμφορηθεὶς ἀποβλύσῃ ab eadem tralatione. Heſychius inter alia καχλάζειν exponit τετάρακται, additque, γέγονε δὲ ἀπὸ τῶν κυμάτων, ἐπαίρεται, φλεγμαίνει.

1 Καταμαλάττειν ἡδονῇ) In editis & Anglicano, καταπαλαίσειν ἡδονῇ. Quae diverſitas lectionum ex gemina ἐκδόσει. Interpres legit etiam καταμαλάττειν. *Iram voluptate iam delinitam eſſe affirmans.* Non hic tamen auctoris ſenſus; ſed, *iram iam deliniendam eſſe promittens,* aut *ſe deliniturum eſſe pollicens.* Ἐπαγγέλλεσθαι eſt *promittere.*

ἀτυχήσας δὲ ὧν ἤλπισεν, ἀφῆκεν τῷ θυμῷ τὰς ἡδονάς. ῥαπίζει δὴ κατὰ κόῤῥης αὐτήν· Ὦ κακόδαιμον ἀνδράποδον, λέγων, καὶ ἀληθῶς ἐρωτιῶν· πάντων γάρ σου κατήκουσα. οὐκ ἀγαπᾷς ὅτι σοι καὶ λαλῶ; καὶ μεγάλην εὐτυχίαν δοκεῖς, τὸν σὸν καταφιλῆσαι δεσπότην; ἀλλὰ καὶ ἀκκίζῃ καὶ σχηματίζῃ πρὸς ἀπόνοιαν. ἐγὼ μέν σε καὶ πεπορνεῦσθαι δοκῶ· καὶ γὰρ μοιχὸν φιλεῖς. ἀλλ' ἐπειδὴ μὴ θέλεις ἐραστοῦ μου πεῖραν λαβεῖν, πειράσῃ δεσπότου. Καὶ ἡ Λευκίππη· Κἂν τυραννεῖν ἐθέλῃς, κἀγὼ τυραννεῖσθαι, πλὴν οὐ βιάσῃ. Καὶ πρὸς τὸν Σωσθένην ἰδοῦσα· Μαρτύρησον, εἶπεν αὐτῷ, πῶς πρὸς τὰς αἰκίας ἔχω. σὺ γάρ με καὶ μᾶλλον ἠδίκησας. Καὶ ὁ Σωσθένης αἰδεσθεὶς ὡς ἐληλεγμένος· Ταύτην, εἶπεν, ὦ δέσποτα, ξανθῆναι μά-

ubi ſpe fruſtrari ſe animadvertit, conceptarum animo voluptatum oblitus puellam in maxilla percuſſit: Mancipium, inquiens, improbum, atque omni prorſus libidine elatum. Omnia enim de te mihi comperta ſunt. An non igitur boni conſulis, me tecum loqui? an non magnam felicitatem arbitraris, herum tuum ſuaviari? Quin etiam, quod opere maximo expetis, diſſimulas: vultumque ad deſperationem componis. Sed ego te meretriciam vitam hactenus duxiſſe reor, quae adulterum hucuſque ſecuta ſis. At tu quando amicum recipere me negas, dominum iamiam faxo ut experiare. Tum Leucippe: Si tyrannum, inquit, tibi agere cordi eſt, ut potero, feram, modo ne pudicitiam eripias. Atque ad Soſthenem converſa: Teſtare, inquit, etiam tu, quo animo contumelias feram: ſcis enim, maiore a te contumelia me affectam fuiſſe. Tum vero Soſthenes, ut qui manifeſto in noxa iam teneretur, rubore perfuſus: Hanc, o here, inquit, loris eouſque

στίζειν δεῖ, καὶ μυρίαις βασάνοις περιπεσεῖν, ὡς ἂν μάθοι δεσπότου μὴ καταφρονεῖν.

κά. Πείσθητι τῷ Σωσθένει, φησὶν ἡ Λευκίππη. συμβουλεύει γὰρ καλῶς. τὰς βασάνους παράστησον, φερέτω τροχὸν, ἰδοὺ χεῖρες, τεινέτω. φερέτω καὶ μάστιγας, ἰδοὺ νῶτος, τυπτέτω. κομιζέτω πῦρ, ἰδοὺ σῶμα, καιέτω. φερέτω καὶ σίδηρον, ἰδοὺ δέρη, σφαζέτω. ἀγῶνα θεάσασθε καινὸν, πρὸς πάσας τὰς βασάνους ἀγωνίζεται μία γυνὴ, καὶ πάντα νικᾷ. Εἶτα Κλειτοφῶντα μοιχὸν καλεῖς, αὐτὸς μοιχὸς ὤν. οὐδὲ τὴν Ἄρτεμιν, εἰπέ μοι, τὴν σὴν φοβῇ; ἀλλὰ βιάζῃ παρθένον ἐν πόλει παρθένου; δέσποινα, ποῦ σου τὰ τόξα; Παρθένος; εἶπεν ὁ Θέρσανδρος. ὢ τόλμης καὶ γέλωτος. παρθένος τοσούτοις συννυκτερεύσασα πειραταῖς. εὐνοῦχοί σοι γεγόνασιν οἱ λῃσταί; φιλοσόφων

caedere oportet, dum tota rubeat, modisque omnibus excruciare, ut herum posthac contemnere desinat.

XXI. Sostheni tuo, inquit Leucippe, Thersander, pare: perbelle enim consulit: ac tormenta, quae lubet, parari iube. Minime certe deerit, quo vestram crudelitatem expleatis, sive manus rota distrahere, sive loris caedere, sive flammis torrere, seu etiam ferro iugulare in animo sit. Novum procul dubio certamen vobis editur. Adversus enim supplicia omnia vel sola femina pugnabit, victrixque discedet. At etiam Clitophontem adulterum vocas, adulter ipse cum sis. Sed heus tu, an non Dianam tuam vereris, virginem in virginis civitate vitiare conatus? Quid tuae nunc, o Dea, sagittae cessant? Te virginem? inquit Thersander. O ridiculam audaciam! virginem te, quae cum piratis etiam de nocte fueris? quid? eunuchine, obsecro, latrones tibi facti sunt? an praedonum

ἦν τὸ πειρατήριον; οὐδεὶς ἐν αὐτοῖς εἶχεν ὀφθαλμούς;

κβ'. Καὶ Λευκίππη εἶπεν· Εἰ παρθένος, καὶ μετὰ Σωσθένην, ἐπεὶ πύθου Σωσθένους. οὗτος γὰρ ὄντως γέγονέ μου λῃστής. ἐκεῖνοι γὰρ ἦσαν ὑμῶν μετριώτεροι [1], καὶ οὐδεὶς αὐτῶν ἦν οὕτως ὑβριστής. εἰ δὲ ὑμεῖς τοιαῦτα ποιεῖτε, ἀληθινὸν τοῦτο πειρατήριον, εἶτα οὐκ αἰσχύνεσθε ποιοῦντες, ἃ μὴ τετολμήκασιν οἱ λῃσταί. Λανθάνεις δὲ ἐγκώμιόν μοι διδοὺς πλεῖον διὰ ταύτης σου ἀναισχυντίας· καί τις ἐρεῖ, κἂν νῦν μαινόμενος φονεύσῃς, Λευκίππη, παρθένος μετὰ βουκόλους, παρθένος καὶ μετὰ Χαιρέαν, παρθένος καὶ μετὰ Σωσθένην. ἀλλὰ μέτρια ταῦτα· τὸ δὲ μεῖζον ἐγκώμιον, καὶ μετὰ Θέρσανδρον παρθένος, καὶ τῶν λῃστῶν ἀσελγέ-

receptaculum in philoſophorum ſcholam evaſit? aut ex iis nemo, qui oculos haberet, repertus eſt?

XXII. Tum Leucippe: An poſt vim, inquit, mihi a Soſthene intentatam, virginem hactenus me ſervaverim, ex eo ipſo ſciſcitare, qui revera in me praedonem egit. Piratae certe vobis modeſtiores fuerunt: nullus enim eorum tale in me quidquam auſus fuit. Cum vero flagitia huiuſmodi vos audeatis, cur non veſtram hanc latronum ſedem merito appellem, qui ea perpetrare veriti non eſtis, a quibus illi abſtinuerunt? Sed neſcis, quantum mihi laudis tua iſta impudentia ſit allatura. Ut enim vel nunc me furenter interficias, non tamen deerunt unquam, qui dicant, Leucippe, inter paſtores verſata, & poſt Chaereae raptum, & poſt Soſthenis vim, virgo inventa eſt. Sed mediocria haec: illud multo maximum, atque omnibus anteferendum erit praeconium: Leucippe poſt piratarum omnium improbiſſimi Therſandri vim pudicitiam conſer-

1 Μετριώτεροι) Forte ἡμερώτεροι.

στερον [1]. ἂν ὑβρίσαι μὴ δυνηθῇ, καὶ φονεύει. Ὁπλίζου τοίνυν ἤδη, λάμβανε κατ᾽ ἐμοῦ τὰς μάστιγας, τὸν τροχὸν, τὸ πῦρ, τὸν σίδηρον· συστρατευέσθω δέ σοι καὶ ὁ σύμβουλος Σωσθένης. ἐγὼ δὲ καὶ γυμνὴ, καὶ μόνη, καὶ γυνὴ, καὶ ἓν ὅπλον ἔχω τὴν ἐλευθερίαν, ἣ μήτε πληγαῖς κατακόπτεται, μήτε σιδήρῳ κατατέμνεται, μήτε πυρὶ κατακαίεται. οὐκ ἀφήσω ποτὲ ταύτην ἐγὼ, κἂν καταφλέγῃς· οὐχ οὕτως θερμὸν εὑρήσεις τὸ πῦρ.

vavit: priusque iugulari se passa est, quam violari. Age itaque, flagra, rotam, ignem, ferrum, quamprimum expedi, sociumque tibi consiliarium tuum Sosthenem adiunge. Ego & nuda & femina scuti loco non nisi libertatem habeo, quae nec loris caedi, nec ferro secari, nec igne comburi potest. Eam ego dimittam nunquam. Ac si me in ignem ipsum coniicias, non erit tanta in eo vis, adimere illam ut mihi valeat.

1 Καὶ τῶν λῃστῶν ἀσελγέστερον) Melius in aliis: τὸν καὶ λῃστῶν ἀσελγέστερον.

ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ.

Ταυτα ἀκούσας ὁ Θέρσανδρος, παντοδαπὸς ἦν, ἤχθετο, ὠργίζετο, ἐβουλεύετο. ὠργίζετο μὲν, ὡς ὑβρισμένος· ἤχθετο δ' ὡς ἀποτυχών. ἐβουλεύετο δὲ, ὡς ἐρῶν. τὴν οὖν ψυχὴν διασπώμενος, οὐδὲν εἰπὼν πρὸς τὴν Λευκίππην, ἐξεπήδησεν· ὀργῇ μὲν δῆθεν ἐκδραμών· δοὺς δὲ τῇ ψυχῇ σχολὴν εἰς τὴν διάκρισιν τῆς τρικυμίας. Βουλευόμενος οὖν ἅμα τῷ Σωσθένει, πρόσεισιν τῷ τῶν δεσμῶν ἄρχοντι, δεόμενος διαφθαρῆναί με φαρμάκῳ. ὡς δ' οὐκ ἔπειθεν· ἐδεδίει γὰρ τὴν πόλιν· καὶ γὰρ ἄλλον ἄρχοντα πρὸ αὐτοῦ ληφθέντα τοιαύτην ἐργασάμενον φαρμακείαν ἀποθανεῖν· δευτέραν αὐτῷ προσφέρει δέησιν, ἐμβαλεῖν τινα εἰς τὸ οἴκημα, ἔνθα ἔτυχον δεδεμένος, ὡς δὴ καὶ αὐτὸν ἕνα τῶν δεσμω-

LIBER SEPTIMUS.

Quae cum audiviſſet Therſander, animo fluctuare, ac diſtrahi coepit. Nam & moerebat, ſua ſe ſpe fruſtratum cernens, & iraſcebatur, negligi ſe ratus: & tanquam amore ſaucius, quid ageret, cogitabat. Has inter animi fluctuationes nihil amplius cum Leucippe collocutus ruit foras, ira quidem quaſi ad currendum incitatus: dein vero ad eiuſmodi ambiguitates diiudicandas mentem colligens, tandem inito cum Soſthene conſilio, eum, penes quem vinctorum poteſtas erat, adivit, meque veneno de medio ut tolleret, rogavit. Quod cum impetrare non potuiſſet: timebat enim ille populi ſeveritatem, qui alium ante ſe veneficia huiuſmodi exercentem morte mulctaverat: ab eo rurſum petiit, ut adductum a ſe hominem eo in loco, ubi ipſe vinctus eram, tanquam maleficum aliquem, im-

τῶν, προσποιησάμενος βούλεσθαι τὰ μὰ δι' ἐκείνου μαθεῖν. Ἐπείσθη, καὶ ἐδέξατο τὸν ἄνθρωπον. ἔμελλε δ' ἐκεῖνος ὑπὸ τοῦ Θερσάνδρου δεδιδαγμένος, τεχνικῶς πάνυ περὶ τῆς Λευκίππης λόγον ἐμβαλεῖν, ὡς εἴη πεφονευμένη, τῆς Μελίττης συσκευασαμένης τὸν φόνον. τὸ δὲ τέχνασμα ἦν τῷ Θερσάνδρῳ τὸ εὑρεθὲν, ὡς ἂν ἀπογνοὺς ἐγὼ μηκέτι ζῶσαν ἔτι τὴν ἐρωμένην, κἂν τὴν δίκην φύγοιμι, μὴ πρὸς ζήτησιν αὐτῆς ἔτι τραποίμην. προσέκειτο δὲ ἡ Μελίττη τῷ φόνῳ, ἵνα μὴ, τετελευτηκέναι τὴν Λευκίππην δοκῶν, τὴν Μελίττην γήμας ὡς ἂν ἐρῶσαν, αὐτοῦ μένοιμι, κἀκτούτου παρέχοιμί τινα φόβον αὐτῷ τοῦ μὴ μετὰ ἀδείας Λευκίππην ἔχειν, ἀλλὰ μισήσας ὡς τὸ εἰκὸς τὴν Μελίττην, ὡς ἂν ἀποκτείνασάν μου τὴν ἐρωμένην, ἀπαλλαγείην ἐκ τῆς πόλεως τὸ παράπαν.

β'. Ὡς οὖν ὁ ἄνθρωπος ἐγένετό μου πλησίον, καὶ

mitteret: de quo res meas cognoſcere ſe velle ſimularet. Cui poſtulationi aſſenſus ille hominem admiſit. Porro is a Therſandro quam diligentiſſime inſtructus fuerat, ut aliquo modo de Leucippe mentionem faceret, eamque Melites iuſſu e vivis ſublatam mentiretur. Quod idcirco a Therſandro excogitatum fuerat, ut, quamvis crimen diluiſſem, non tamen ad quaerendam eam, quam obiiſſe intellexiſſem, fruſtra me compararem. Ea vero potiſſimum de cauſa caedis auctor Melite proponebatur, ne, Leucippe interfecta, Meliten ipſam, tanquam quae a me diligeretur, in uxorem ducerem, ibique permanerem, Therſandro timorem incutiens non potiundae tuto Leucippes; ſed contra potius eam, quae rebus mihi omnibus cariorem puellam interimi curaſſet, peroſus, urbe omnino excederem.

II. Ille igitur, ſimulac propius me venit, fabulam age-

τοῦ δράματος ἤρχετο· ἀνοιμώξας γὰρ πάνυ κακούργως· Τίνα βίον, ἔφη, βιώσομεν ἔτι; καὶ τίνα φυλαξόμεθα πρὸς ἀκίνδυνον ζωήν; οὐ γὰρ αὐτάρκης ἡμῖν ὁ δίκαιος τρόπος. ἐμπίπτουσαι δὲ αἱ τύχαι βαπτίζουσιν ἡμᾶς. ἔδει γάρ με μαντεύσασθαι, τίς ἦν ὁ συμβαδίζων μοι, καὶ τί πεπραχὼς εἴη. Καθ' ἑαυτὸν δὲ ταῦτα ἔλεγεν καὶ τὰ τοιαῦτα, ζητῶν ἀρχὴν τῆς ἐπ' ἐμὲ τοῦ λόγου τέχνης, ὡς ἂν πυθοίμην τί εἴη παθών. ἀλλ' ἐγὼ μὲν ἐφρόντιζον, ὧν κατὰ νοῦν εἶχον· ὁ δ' ᾤμωξεν ὀλίγον. Ἄλλος δέ τις τῶν συνδεδεμένων· περίεργον γὰρ ἄνθρωπος ἀτυχῶν εἰς ἀλλοτρίων ἀκρόασιν κακῶν· ἐπεὶ φάρμακον αὐτῷ τοῦτο τῆς ὧν ἔπαθε λύπης ἡ πρὸς ἄλλον εἰς τὸ παθεῖν κοινωνία· Τί δέ σοι συμβέβηκεν, εἶπεν, ἀπὸ τῆς τύχης; εἰκὸς γάρ, σε μηδὲν ἀδικήσαντα πονηρῷ περιπεσεῖν δαίμονι. τεκμαίρομαι δὲ ἐκ τῶν

re coepit. Data enim opera, valdeque apposite ingemiscens: Quamnam, inquit, vitam posthac vivemus? quae nobis retinendae securitatis via deinceps erit, si iuste vivere ad id satis non est? Imminentia nos eventa opprimunt. Divinasse me oportuit, quis esset, quidve commisisset ille, quicum iter mihi facere contigit. Haec ille, huiusmodique alia multa secum solus loquebatur, sermonis initium de industria mecum facere tentans, quo eum, quid sibi ea vellent, interrogarem. Sed mea me magis urgebant. Itaque cum paululum ita querelas effudisset, unus eorum, qui vincti erant: (infelices enim alienas etiam calamitates cognoscere satagunt, nimirum quia tristitiae communicatio moerentis animi quaedam quasi allevatio est:) Quid tibi, inquit, mali peperit fortuna? insontem enim te quoque in adversum fatum incidisse credibile est. Cuius rei ex iis, quae mihi evenerunt, facio coniecturam.

ἐμαυτοῦ. Καὶ ἅμα τὰ οἰκεῖα κατέλεγεν, ἐφ' οἷς ἦν δεδεμένος. ἐγὼ δὲ οὐδενὶ τὸν νοῦν προσεῖχον.

γ'. Ὡς δὲ ἐπαύσατο, τὴν ἀντίδοσιν ᾔτει τοῦ λόγου τῶν ἀτυχημάτων· Λέγοις ἂν, εἰπὼν, καὶ σὺ τὰ σαυτοῦ. Ὁ δέ· Βαδίζων ἔτυχον, εἶπεν, τὴν ἐξ ἄστεος χθές· ἐποιούμην δὲ τὴν ἐπὶ Σμύρνης ὁδόν. προελθόντι δέ μοι σταδίους τέτταρας, νεανίσκος ἐκ τῶν ἀγρῶν, προσελθὼν καὶ προσειπὼν, καὶ πρὸς μικρὸν συμβαδίσας, Ποῖ, ἔφη, ἔχεις τὴν ὁδόν; Ἐπὶ Σμύρνης, εἶπον. Κἀγὼ, ἔφη, τὴν αὐτὴν, ἀγαθῇ τύχῃ. Τοὐντεῦθεν ἐπορευόμεθα κοινῇ, καὶ διελεγόμεθα, οἷα εἰκὸς ἐν ὁδῷ. Ὡς δὲ εἴς τι πανδοχεῖον ἤλθομεν, ἠριστῶμεν ἅμα. κατὰ ταὐτὸ δὲ παρακαθίζουσιν ἡμῖν τινὲς τέτταρες, καὶ προσεποιοῦντο μὲν ἀριστᾶν κἀκεῖνοι. ἐνεώρων δὲ ἡμᾶς πυκνὰ, καὶ ἀλλήλοις ἐπένευον. ἐγὼ μὲν οὖν ὑπώπτευον τοὺς ἀνθρώπους διανοεῖσθαι εἰς ἡμᾶς, οὐ μὴν ἠδυνά-

Ac tum quidem, quam ob caufam in cuftodiam datus fuerit, commemoravit, tametfi ego animum non advertebam.

III. Finem autem dicendi cum feciffet: Agedum tu quoque, inquit, vices mihi recenfendis infortuniis tuis redde. Tum alter ille: Ex urbe, inquit, heri dum Smyrnam verfus iter IV ftadiorum coepiffem, nefcio quis mihi obviam factus, quo tenderem, rogavit: cui cum Smyrnam proficifci me refpondiffem: Atqui Smyrnam ego quoque, inquit ille, quod bene vertat, cogito. Una itaque profecti fumus, viae laborem, uti viatorum mos eft, fermone levantes: cumque de via in cauponam cibi gratia divertiffemus, ecce tibi viri quatuor eodem ingreffi funt, nobifque affidentes, ac prandere fimulantes, crebro ad nos refpiciebant, alius identidem alii annuens. Quamobrem eos de nobis cogitare fufpicatus fum, tametfi quid fibi

μην συνιέναι τί αὐτοῖς ἐθέλει τὰ νεύματα· ὁ δὲ ὠχρὸς ἐγίνετο κατὰ μικρὸν, καὶ ὀκνηρότερον ἤσθιεν, ἤδη δὲ καὶ τρόμος εἶχεν αὐτόν. Ὡς δὲ ταῦτα εἶδον, ἀναπηδήσαντες συλλαμβάνουσιν ἡμᾶς· καὶ ἱμᾶσιν εὐθὺς δεσμεύουσιν· παίει δὲ κατὰ κόῤῥης τις ἐκεῖνον· καὶ παταχθεὶς, ὥσπερ βασάνους παθὼν μυρίας, καταλέγει μηδενὸς ἐρωτῶντος αὐτόν· Ἐγὼ τὴν κόρην ἀπέκτεινα, καὶ ἔλαβον χρυσοῦς ἑκατὸν παρὰ Μελίττης τῆς Θερσάνδρου γυναικός. αὕτη γάρ με ἐπὶ τὸν φόνον ἐμισθώσατο. ἀλλ' ἰδοὺ τοὺς χρυσοῦς ὑμῖν τοὺς ἑκατὸν φέρω. ὥστε τί με ἀπόλλυτε, καὶ ἑαυτοῖς φθονεῖτε κέρδους; Ἐγὼ δὲ ὡς ἤκουσα Θερσάνδρου καὶ Μελίττης τοὔνομα, τὸν ἄλλον οὐ προσέχων χρόνον, τῷ δὲ λόγῳ τὴν ψυχὴν ὥσπερ ὑπὸ μύωπος παταχθεὶς, ἐγείρω. καὶ πρὸς αὐτὸν μεταστραφεὶς, λέγω· Τίς ἡ Μελίττη; Ὁ δέ· Μελίττη τίς ἐστιν, ἔφη, τῶν ἐνταῦθα πρώτη γυ-

nutus illi vellent, percipere nequibam. Qui mecum venerat, haud ita multo poſt palleſcere, deinde haeſitantius eſſe coepit: poſtremo etiam tremore correptus eſt. Quod videntes illi, confeſtim in nos impetum faciunt, comprehendunt, loris vinciunt. Quin etiam eorum unus hominem in gena manu percuſſit: qui tanquam innumeris cruciatibus affectus, nemine adhuc interrogante: Ego, inquit, puellam interemi, acceptis a Therſandri uxore Melite nummis aureis centum: illa enim ad necem hanc patrandam me conduxit. Ecce autem nummos ipſos: quos vobis omnes ad unum trado. Vos, quaeſo, me perdere, ac voſmet lucro defraudare nolite. Tum ego, Therſandri & Melites nomine audito, oratione illa quaſi ſtimulo aliquo repente concitatus, animum erexi, ad eumque converſus: Quaenam, inquam, eſt Melite haec? Tum ille: Feminarum, inquit, urbis huius eſt princeps, & adoleſcen-

ναικῶν. αὕτη νεανίσκου τινὸς ἠράσθη, Τύριον οἶμαι φασὶν αὐτὸν, κἀκεῖνος ἔτυχεν ἐρωμένην ἔχων, ἣν εὗρεν ἐν τῇ τῆς Μελίττης οἰκίᾳ πεπραμένην. ἡ δὲ ὑπὸ ζηλοτυπίας πεφλεγμένη τὴν γυναῖκα ταύτην ἀπαντήσασαν [1] συλλαμβάνει, καὶ παραδίδωσιν τῷ νῦν ἔφη κακῇ τύχῃ μοι συνωδευκότι, φονεῦσαι κελεύσασα. ὁ μὲν οὖν τὸ ἀνόσιον ἔργον τοῦτο δρᾷ· ἐγὼ δὲ ὁ ἄθλιος, οὔτε αὐτὸν ἰδὼν, οὔτε ἔργου τινὸς κοινωνήσας ἢ λόγου, συναπηγόμην αὐτῷ δεδεμένος, ὡς τοῦ ἔργου κοινωνός. τὸ δὲ χαλεπώτερον, μικρὸν τοῦ πανδοχείου προελθόντες, τοὺς ἑκατὸν χρυσοῦς λαβόντες παρ᾽ αὐτοῦ, τὸν μὲν ἀφῆκαν φυγεῖν, ἐμὲ δὲ ἄγουσιν πρὸς τὸν στρατηγόν.

δ΄. Ὡς δὲ ἤκουσά μου τὸν μῦθον τῶν κακῶν, οὔτε ἀνῴμωξα, οὔτε ἔκλαυσα. οὔτε γὰρ φωνὴν εἶχον, οὔτε δάκρυον, ἀλλὰ τρόμος μὲν εὐθὺς περιεχύθη μου

tis cuiusdam, Tyrium illum esse aiunt, amore capta: qui cum puellam, quam ipse quoque deperibat, casu quodam amisisset, ac tandem in ea ipsa Melites domo venditam reperisset, mulier obtrectatione devicta, puellam eam circumventam huic, quem malo meo fato mecum iter facientem dixi, necandam dedit. Atque ille quidem detestandum facinus admisit. Ego vero, me miserum! neque videns, neque dicti alicuius factive conscius, una cum eo, quasi sceleris particeps, comprehensus sum. Sed leve hoc: illud gravius multo est. Nam non admodum longe a caupona digressi illi nummis acceptis eum missum fecerunt: me autem ad praefectum duxerunt.

IV. Posteaquam turbulentam hanc fabulam audivi, neque vocem omnino ullam, neque lacrimas aliquas, emittere potui. Quippe & ori vox, & oculis humor, defuit; sed membra mihi omnia cohorruerant, corque ipsum con-

1 Ἀπαντήσασαν) Emenda ἀπατήσασα.

τῷ σώματι, καὶ ἡ καρδία μου ἐλέλυτο, ὀλίγον δέ τί μου τῆς ψυχῆς ὑπολέλειπτο. μικρὸν δὲ νήψας ἐκ τῆς μέθης τοῦ λόγου· Τίνα τρόπον τὴν κόρην ἀπέκτεινεν, ἔφην, ὁ μισθωτὸς, καὶ τί πεποίηκε τὸ σῶμα; Ὁ δὲ ὡς ἅπαξ ἐνέβαλέ μοι τὸν μύωπα, καὶ ἔργον εἰργάσατο οὕτω κατ' ἐμοῦ, διὸ παρῆν [1], ἐσιώπα, καὶ ἔλεγεν οὐδέν. πάλιν δέ μου πυθομένου· Δοκεῖς, ἔφη, κἀμὲ κεκοινωνηκέναι τῷ φόνῳ; ταῦτα ἤκουσα μόνα τοῦ πεφονευκότος, ὡς κτείνας εἴη τὴν κόρην. ποῦ δὲ, καὶ τίνα τρόπον, οὐκ εἶπεν. Ἦλθε δέ μοι τότε δάκρυα, καὶ τοῖς ὀφθαλμοῖς τὴν λύπην ἀπεδίδουν. ὥσπερ γὰρ ἐν ταῖς τοῦ σώματος πληγαῖς, οὐκ εὐθὺς ἡ σμῶδιξ ἐπανίσταται, ἀλλὰ παραχρῆμα μὲν οὐκ ἔχει τὸ ἄνθος ἡ πληγὴ, μετὰ μικρὸν δὲ ἀνέθορεν· καὶ ὀδόντι συός

tabuerat, animae autem nihil fere relictum fuerat. Paulo autem post, cum mihi, diluta ebrietate verborum illius, animus rediisset: Quonam modo, inquam, mercenarius iste puellam sustulit? quem in locum cadaver abiecit? Ille autem simulatque mihi hunc stimulum iniecit, idque, quamobrem aderat, effecit, obmutuit adeo, ut ne verbum quidem ab eo amplius potuerit extorqueri, praeterquam quod, cum rursus interrogassem: Mene etiam, inquit, tu caedis illius participem fuisse putas? at de interfectore quidem illud unum tantum audivi, puellam scilicet necatam: ubi autem, quove modo, mihi aperire noluit. Tum vero mihi lacrimae exciderunt, doloremque per oculos in apertum protulerunt. Ut enim in corpore flagris caeso non continuo, sed parva interiecta mora, livor apparet: aut ut in eo, qui apri dente ictus fuerit,

1 Διὸ παρῆν) Rectius dividi hanc vocem δι' ὃ παρῆν, atque ita legere: ὁ δὲ ὡς ἅπαξ ἐνέβαλέ μοι τὸν μύωπα, καὶ ἔργον εἰργάσατο κατ' ἐμοῦ δι' ὃ παρῆν, ἐσιώπα. *Et rem illam peregit, propter quam aderat*, id est, erat in carcere.

τις παταχθεὶς εὐθὺς μὲν ζητεῖ τὸ τραῦμα, καὶ οὐκ οἶδεν εὑρεῖν, τὸ δὲ ἔτι δέδυκεν, καὶ κέκρυπται κατειργασμένον σχολῇ τῆς πληγῆς τὴν τομήν· μετὰ ταῦτα δὲ ἐξαίφνης λευκή τις ἀνέτειλε γραμμὴ, πρόδρομος τοῦ τραύματος, σχολὴν δὲ ὀλίγην λαβὼν, ἔρχεται καὶ ἀθρόον ἐπιῤῥεῖ· οὕτω καὶ ψυχὴ παταχθεῖσα τῷ τῆς λύπης βέλει, τέτρωται μὲν ἤδη καὶ ἔχει τὴν τομὴν, τοῦ λόγου τοξεύσαντος, ἀλλὰ τὸ τάχος τοῦ βλήματος οὐκ ἀνέῳξεν οὔπω τὸ τραῦμα, τὰ δὲ δάκρυα ἐδίωξε τῶν ὀφθαλμῶν μακράν. δάκρυον γὰρ καὶ αἷμα, τραύματα ψυχῆς, ὅταν ὁ τῆς λύπης ὀδοὺς κατὰ μικρὸν τὴν καρδίαν ἐκφάγῃ [1], κατέῤῥηκται μὲν τῆς ψυχῆς τὸ τραῦμα, ἀνέῳκται δὲ τοῖς ὀφθαλμοῖς ἡ τῶν δακρύων θύρα, τὰ δὲ μετὰ μικρὸν τῆς ἀνοίξεως ἐξεπήδησεν. οὕτω κἀμοὶ, τὰ μὲν πρῶτα τῆς ἀκροάσεως τῇ ψυχῇ προσπεσόντα, καθάπερ τὰ τοξεύματα, κατ-

non ſtatim vulnus invenitur, utpote quod altius penetraverit; ſed brevi tempore poſt alba quaedam linea vulneris index oritur, ac illud, manante tum demum largiter ſanguine, conſpicuum facit: ſic in animo triſtis alicuius nuntii cuſpide ſauciato, neque vulnus hiat, neque lacrimae, quas vulnerati animi ſanguinem eſſe credi par eſt, profiliunt, niſi poſteaquam moeroris dens cor aliquantiſper depaſtus fuerit: tunc enim & animus diſcinditur, & lacrimae, facta per oculos via, uberrime fluunt. Id quod in me ſane ipſe expertus ſum. Nam ſimulatque animus meus ſermone illius, Leucippes necem nuntiantis, tanquam iaculo quodam percuſſus eſt, vocem amiſit, &

1 Ὅταν ὁ τῆς λύπης ὀδοὺς — ἐκφάγῃ) Legebatur antea: ὅταν ὁ τῆς ψυχῆς ὀδοὺς κ. μ. τ. κ. ἐκφεύγῃ, abſque ullo ſenſu. Lectionem, quam nos exhibuimus, praefert Cod. Anglicanus, teſte Salmaſio, quam & interpres agnoſcit.

εσίγασε [2], *καὶ τῶν δακρύων ἀπέφραξε τὴν πηγήν· μετὰ ταῦτα δ' ἔῤῥει, σχολασάσης τῆς ψυχῆς τῶν κακῶν.*

έ. Ἔλεγον οὖν· Τίς με δαίμων ἐξηπάτησεν ὀλίγῃ χαρᾷ; τίς μοι Λευκίππην ἔδειξεν, εἰς καινὴν ὑπόθεσιν συμφορῶν; ἀλλ' οὐδὲ ἐκόρεσά μου τοὺς ὀφθαλμοὺς, οἷς μόνοις ηὐτύχησα, οὐδὲ ἐνεπλήσθην κἂν βλέπων. ἀληθής μοι γέγονεν ὀνείρων ἡδονή. οἴμοι· Λευκίππη, ποσάκις μοι τέθνηκας; μὴ γὰρ θρηνῶν ἐπαυσάμην· ἀεί σε πενθῶ, τῶν θανάτων διωκόντων ἀλλήλους; ἀλλ' ἐκείνους μὲν πάντας ἡ τύχη ἔπαιξεν κατ' ἐμοῦ· οὗτος δὲ, οὐκ ἔστι τῆς τύχης ἔτι παιδιά. πῶς ἄρα δέ μοι, Λευκίππη, τέθνηκας; ἐν μὲν γὰρ τοῖς ψευδέσι θανάτοις ἐκείνοις παρηγορίαν εἶχον ὀλίγην· τὸ μὲν πρῶτον, ὅλον σου τὸ σῶμα· τὸ δὲ δεύτερον, κἂν τὴν κεφα-

lacrimis aditum obstruxit, ut non, nisi postquam ex intervallo respirare a dolore coepisset, effluxerint.

V. At tum ego: Quis, inquam, daemon tam brevi me gaudio fefellit? quis mihi Leucippen commonstravit, ut novarum mihi calamitatum causa esset? Quid, quod ne oculos quidem meos, quibus unis eram felix, exsaturare unquam videndo potui: aut si videndi otium fuit, ipse tamen exsatiatus nunquam fui, meaque voluptas omnis insomnio similis effecta est? O me miserum, quoties obiisti, mea Leucippe? Nunquamne mihi a fletu cessandum erit? Minime, opinor. Ut enim video, alia alii mors in dies succedit. Verum aliis antehac mortibus fortuna mecum lusit: haec autem ludus nequaquam est. Ceterum quo nunc pacto, Leucippe, mihi erepta fuisti? Antea quidem falsis ex illis mortibus aliquantum mihi solatii relictum fuit: primum enim cadaver tuum integrum, dein

1 Κατεσίγησε) Melius *κατεσίγασεν* a *κατασιγάζω*, id est, *me obmutefecerunt.* Sic reperi & correctum in Anglicano, quasi ex alterius Codicis scriptura meliore. Κατασιγάζειν est *silentium facere; κατασιγᾶν, silere.*

λὴν δοκῶν, μὴ ἔχων [1], εἰς τὴν ταφήν· νῦν δὲ τέθνηκας θάνατον διπλοῦν, ψυχῆς καὶ σώματος. δύο ἐξέφυγες λῃστήρια, τὸ δὲ τῆς Μελίττης πεφόνευκέ σε πειρατήριον. ὁ δὲ ἀνόσιος καὶ ἀσεβὴς ἐγὼ, τὴν ἀνδροφόνον σου κατεφίλησα πολλάκις, καὶ συνεπλάκην μεμιασμένας συμπλοκὰς, καὶ τὴν Ἀφροδίτης χάριν αὐτῇ παρέσχον πρὸ σοῦ.

στ΄. Μεταξὺ δέ μου θρηνοῦντος, Κλεινίας εἰσέρχεται, καὶ καταλέγω τὸ πᾶν αὐτῷ, καὶ ὅτι μοὶ δέδοκται πάντως ἀποθανεῖν. ὁ δὲ παρεμυθεῖτο. Τίς γὰρ οἶ-

capite ablato ſepulturae dandum recepi: nunc vero duplicem, animi ſcilicet atque corporis, mortem ſubiſti. Nam quid duo latronum receptacula effugiſſe profuit, ſi Melites iſte receptus te mihi erepturus erat? Quid, quod ſceleratus & improbus ipſe necis tuae auctorem pluries oſculatus ſum, deteſtabili amplexu fovi, Veneris fructum prius illi, quam tibi, impertitus?

VI. Haec dum mecum ſolus quererer, Clinia ſe ad me contulit: quem tota de re certiorem feci, mihique omnino mori decretum eſſe affirmavi. Tum ille: Bono, in-

1 Τὴν κεφαλὴν δοκῶν, μὴ ἔχων) Legebatur in editione, τὸ δὲ δεύτερον καὶ τὴν κεφαλὴν δοκῶν μοι ἔχων εἰς τὴν ταφήν. Mendoſa omnino ſcriptura. Quae ex parte emendata eſt ex libris, reſtituendo μὴ ἔχων. Sed ne ſic quidem locus ſanatus eſt. Non enim ſibi viſus eſt in ſecunda falſa nece Leucippes caput eius habere, cum non haberet. Immo plane non habuit caput, ſed ſolum truncum. At in prima eius caede, cum mactata eſt, aut viſa eſt mactari a bucolis, totum corpus in poteſtate ſua habuit. Sic igitur lege: ἐν μὲν γὰρ τοῖς ψευδέσι θανάτοις ἐκείνοις παρηγορίαν εἶχον ὀλίγην, τὸ μὲν πρῶτον ὅλον σου τὸ σῶμα, τὸ δὲ δεύτερον, κἂν τὴν κεφαλὴν δοκῶν μὴ ἔχειν, εἰς ταφήν. Quae ſic vertenda: (non enim recte interpres:) *Nam in illis quidem falſis mortibus tuis, ſolatium habebam exiguum, in prima quidem totum tuum corpus, ſed & in ſecunda, quamvis caput habere non viderer, ſepulturae mandandum.* Solatio mihi erat, inquit, in prima tui mactatione, totum corpus ad ſepulturam mihi relictum; in ſecunda, vel ſine capite, quamvis mihi viderer, truncum ſolum ſine capite habere. Dixit, κἂν μὴ δοκῶν, quia & illa ſecunda occiſio, ut prima, imaginaria fuit, ac falſa.

δεν, εἰ ζῇ πάλιν; μὴ γὰρ οὐ πολλάκις τέθνηκεν; μὴ γὰρ οὐ πολλάκις ἀνεβίω; τί δὲ προπετῶς ἀποθνήσκεις; ὃ καὶ κατὰ σχολὴν ἔξεστιν, ὅταν μάθῃς σαφῶς τὸν θάνατον αὐτῆς. Ληρεῖς. τούτου γὰρ ἀσφαλέστερον ὅπως ἂν μάθοις; δοκῶ δὲ εὑρηκέναι τοῦ θανάτου καλλίστην ὁδὸν, δι' ἧς οὐδὲ ἡ θεοῖς ἐχθρὰ Μελίττη παντάπασιν ἀθῶος ἀπαλλάξεται. ἄκουσον δὲ τὸν τρόπον. παρεσκευασάμην, ὡς οἶσθα, πρὸς τὴν ἀπολογίαν τῆς μοιχείας, εἰ κληρωθείη τὸ δικαστήριον. καὶ νῦν δέ μοι δέδοκται πᾶν τοὐναντίον, καὶ τὴν μοιχείαν ὁμολογεῖν, καὶ ὡς ἀλλήλων ἐρῶντες ἐγώ τε καὶ ἡ Μελίττη κοινῇ τὴν Λευκίππην ἀνῃρήκαμεν. οὕτω γὰρ κἀκείνη δίκην δώσει, κἀγὼ τὸν ἐπάρατον βίον καταλείποιμι. Εὐφήμησον, ὁ Κλεινίας ἔφη. καὶ τολμήσεις οὕτως ἐπὶ τοῖς αἰσχίστοις ἀποθανεῖν, νομιζόμε-

quit, animo esto; quis scit, an non denuo reviviscat? Nonne aliquoties iam mortua est, semperque revixit? quid temere te enecas? Id profecto tibi per otium licebit, cum vere illam obiisse compereris. Nugaris, inquam tum ego. Nam qui tibi exploratius id esse possit? Morti vero quam optimam sane viam nactum esse me arbitror, atque eiusmodi quidem, ut nec Diis invisa Melite impune omnino abitura sit. Decreveram, ut scis, siquidem ita sors ferret, obiectum adulterii crimen in iudicio diluere: sed diversam penitus rationem inire mihi nunc in animo est; culpam videlicet agnoscere, meque atque Meliten, tanquam mutuo amore flagrantes, ad Leucippen e medio tollendam mercede conductum hominem adhibuisse, confiteri: sic illa meritas poenas dederit, ego invisam vitam reliquero. Dii meliora! inquit tum Clinia. An tu igitur tam turpem ob causam, patratam scilicet, ac tuae

νος φονεὺς, καὶ ταῦτα Λευκίππης; Οὐδὲν, εἶπον, αἰσχρὸν, ὃ λυπεῖ τὸν ἐχθρόν. καὶ ἡμεῖς ἐν τούτοις ἦμεν. Τὸν δὲ ἄνθρωπον ἐκεῖνον τὸν μηνυτὴν τοῦ ψευδοῦς φόνου, μετὰ μικρὸν ἀπολύει τῶν δεσμῶν [1], φάσκων, τὸν ἄρχοντα κελεῦσαι κομίζειν αὐτὸν, δώσοντα λόγον, ὧν αἰτίαν ἔσχεν. ἐμὲ δὲ παρηγόρει Κλεινίας καὶ ὁ Σάτυρος, εἴ πως δύναιντο πεῖσαι, μηδὲν, ὧν διενοήθην, εἰς τὴν δίκην εἰπεῖν· ἀλλ' ἐπέραινον οὐδέν. Ἐκείνην μὲν οὖν τὴν ἡμέραν καταγωγήν τινα μισθωσάμενοι, κατῳκήσαντο, ὡς ἂν μηκέτι παρὰ τῷ τῆς Μελίττης εἶεν συντρόφῳ.

ζ'. Τῇ δ' ὑστεραίᾳ ἀπηγόμην ἐπὶ τὸ δικαστήριον. παρασκευὴ δὲ πολλὴ ἦν τοῦ Θερσάνδρου κατ' ἐμοῦ. καὶ πλῆθος ῥητόρων οὐχ ἧττον δέκα, καὶ τῆς Μελίττης σπουδῇ, πρὸς τὴν ἀπολογίαν παρεσκεύαστο. ἐπεὶ

praesertim Leucippes, necem, mori audebis? Tum ego: Nihil, inquam, turpe est, quod inimico detrimentum afferat, & nos in hoc sumus. Ceterum haud ita multo post hominem illum falsae caedis nuntium e vinculis quidam exemit; Archontem iussisse, inquiens, ipsum adduci, ut eorum, quae ei obiiciebantur, rationem redderet. Interea me Clinia Satyrusque consolabantur, suadebantque, ut ne quidquam in iudicio, sicuti decreveram, fatear: sed frustra. Porro illi eo ipso, quo haec acta sunt, die, domunculam conduxerant, in eamque, ne apud Melites, quem dixi, collectaneum, deprehenderentur, migraverant.

VII. Postridie ad forum ductus sum, ibique magno contra me apparatu adfuit Thersander, advocatosque non sane pauciores, quam decem, adduxerat. Neque vero pro sui defensione Melite minus sollicita erat. Posteaquam igi-

1 Ἀπολύει τῶν δεσμῶν) Legendum procul dubio: ἀπολύει τις τῶν δεσμῶν, inserto τις, quod & agnoscit interpres.

δὲ ἐπαύσαντο λέγοντες, αἰτήσας κἀγὼ λόγον· Ἀλλ' οὗτοι μὲν, ἔφην, ληροῦσι πάντες, καὶ οἱ Θερσάνδρῳ καὶ οἱ Μελίττῃ συνειπόντες. ἐγὼ δὲ πᾶσαν ὑμῖν ἐρῶ τὴν ἀλήθειαν. Ἦν ἐρωμένη μοι πάλαι Βυζαντία μὲν γένος, Λευκίππη δὲ τοὔνομα. ταύτην τεθνάναι δοκῶν· ἥρπαστο γὰρ ὑπὸ λῃστῶν ἐν Αἰγύπτῳ· Μελίττῃ περιτυγχάνω, κἀκεῖθεν ἀλλήλοις συνόντες, ἥκομεν ἐνταῦθα κοινῇ, καὶ τὴν Λευκίππην εὑρίσκομεν Σωσθένει δουλεύουσαν, διοικητῇ τινι τῶν Θερσάνδρου χωρίων. ὅπως δὲ τὴν ἐλευθέραν ὁ Σωσθένης εἶχε δούλην, ἢ τίς ἡ κοινωνία τοῖς λῃσταῖς πρὸς αὐτὸν, ὑμῖν καταλείπω σκοπεῖν. Ἐπεὶ τοίνυν ἔμαθεν ἡ Μελίττη τὴν προτέραν εὑρόντα με γυναῖκα, φοβηθεῖσα μὴ πρὸς αὐτὴν ἀποκλίναιμι τὸν νοῦν, συμβουλεύεται τὴν ἄνθρωπον ἀνελεῖν. καί μοι συνεδόκει· τί γὰρ οὐ δεῖ τἀληθῆ λέγειν;

tur illi ſermoni ſuo finem impoſuerunt, petentique mihi dicendi poteſtas facta eſt: Hi quidem omnes, inquam ego, qui & pro Therſandro, & pro Melite cauſam dixerunt, non niſi meras nugas in medium protulerunt: a me vero vos rem omnem, ut ſe habet, fideliter & diligenter exponi audietis. Erat mihi olim amica, genere Byzantia, Leucippe nomine: quam deceſſiſſe ratus, in Aegypto enim rapta mihi a piratis fuit, in Meliten incidi: quacum inita conſuetudine, huc una profectus ſum, Leucippenque Soſtheni cuidam, agrorum Therſandri procuratori, ſervientem comperi. Sed quomodo liberam mulierem Soſthenes in ſervitutem receperit, quaeve illi cum piratis neceſſitudo intercedat, conſiderandum vobis relinquo. Melite poſteaquam priorem amicam reperiſſe me cognovit, verita, ne ad illam rurſus animum applicarem, eius perdendae conſilium init; quod mihi quoque comprobatum eſt: quid enim verum negare oportet? Cumque me haec rerum

ἐπεὶ τῶν αὐτῆς με κύριον ἀποφαίνειν ὑπισχνεῖτο. Μισθοῦμαι ἕνα δή τινα πρὸς τὸν φόνον. ἑκατὸν δ' ὁ μισθὸς ἦν τοῦ φόνου χρυσοῖ. καὶ ὁ μὲν δὴ τὸ ἔργον δράσας, οἴχεται, κἀκ τότε [1] γέγονεν ἀφανής. ἐμὲ δὲ ὁ ἔρως εὐθὺς ἠμύνατο. ὡς γὰρ ἔμαθον ἀνῃρημένην, μετενόουν, καὶ ἔκλαιον, καὶ ἤρων, καὶ νῦν ἐρῶ. διὰ τοῦτο ἐμαυτοῦ κατεῖπον, ἵνα με πέμψητε πρὸς τὴν ἐρωμένην. οὐ γὰρ φέρω νῦν ζῆν, καὶ μιαιφόνος γενόμενος, καὶ φιλῶν, ἣν ἀπέκτεινα.

η'. Ταῦτα εἰπόντος ἐμοῦ, πάντας ἔκπληξις κατέσχεν, ἐπὶ τῷ παραλόγῳ τοῦ πράγματος, μάλιστα δὲ τὴν Μελίττην. καὶ οἱ μὲν τοῦ Θερσάνδρου ῥήτορες μεθ' ἡδονῆς ἀνεβόησαν ἐπινίκιον· οἱ δὲ τῆς Μελίττης ἀνεπυνθάνοντο, τί ταῦτ' εἴη τὰ λεχθέντα; ἡ δὲ, τὰ

omnium ſuarum dominum conſtituere pollicita eſſet, hominem ad illam necandam conduxi, nummos aureos centum pollicens. Atque ita quidem ſicarius re confecta ſolum vertit, nec ex eo tempore uſquam gentium amplius eſt conſpectus. Me vero amor ſtatim ultus eſt: nam puellae caede cognita, maleficii conſcientia ſtimulatus, ex illo flere nunquam deſii, ſed eius deſiderio aeſtuans, peremtam nunc quoque amo: neque aliam ullam ob cauſam memet ſponte accuſo, quam ut meam ad amicam me mittatis, quandoquidem in praeſentia & parricida, & eius, quam perdidi, amore flagrans, vivere amplius non ſuſtineo.

VIII. Haec cum a me dicerentur, inexſpectato rei exitu omnes, inprimiſque Melite, obſtupuerunt. Qui Therſandro advocati erant, ſumma cum voluptate acclamaverunt: Melites autem patroni, cuiuſmodi eſſent, quae dixeram, ex ea ipſa quaerebant. At illa vehementer pertur-

1 Κἀκ τότε) Vel καὶ τότε ſcribendum, vel corr. κἀκ τούτου.

μὲν ἐθορυβεῖτο, τὰ δὲ ἠρνεῖτο, τὰ δὲ διηγεῖτο, σπουδῇ μάλα καὶ οὐ σαφῶς, τὴν μὲν Λευκίππην εἰδέναι λέγουσα, καὶ ὅσα εἶπον, ἀλλὰ τόν γε φόνον οὔκ· ὥστε κἀκείνους, διὰ τὸ τὰ πλείω μοι συνᾴδειν, ὑπόνοιαν ἔχειν κατὰ τῆς Μελίττης, καὶ ἀπορεῖν ὅτῳ χρήσαιντο λόγῳ πρὸς τὴν ἀπολογίαν.

θ'. Ἐν τούτῳ δὲ ὁ Κλεινίας, θορύβου πολλοῦ κατὰ τὸ δικαστήριον ὄντος, ἀνελθών· Καί μοί τινα λόγον εἰπεῖν συγχωρήσατε· περὶ γὰρ ψυχῆς ἀνδρὸς ὁ ἀγών. Ὡς δὲ ἔλαβεν, δακρύων γεμισθείς· Ἄνδρες, εἶπεν, Ἐφέσιοι, μὴ πρεπετῶς καταγνῶτε θάνατον ἀνδρὸς ἐπιθυμοῦντος ἀποθανεῖν, ὅπερ φύσει τῶν ἀτυχούντων ἐστὶ φάρμακον. κατέψευσται γὰρ ἑαυτοῦ τὴν τῶν ἀδικούντων αἰτίαν, ἵνα πάθῃ τὴν τῶν δυστυχούντων τιμωρίαν. ἃ δὲ ἠτύχησεν, διὰ βραχέων ἐρῶ. Ἐρωμένην

bata, alia quidem ſcire ſe negavit, alia vero de induſtria ſubobſcure admodum confeſſa eſt. Quamquam, quae de Leucippe narraveram, omnia, morte excepta, vere a me dicta fuiſſe affirmavit. Quamobrem cum orationi meae pleraque convenirent, eis ipſis Melite in ſuſpicionem venit, ut, quibus ad eam defendendam verbis uterentur, incerti eſſent.

IX. At Clinia, cum magnus in foro clamor exortus fuiſſet, in medium progreſſus: Poteſtatem mihi quoque, inquit, pauca quaedam dicendi facite. Capitis enim iudicium conſtitutum eſt. Quod cum impetraſſet, collacrimans: Viri, inquit, Epheſii, moriendi cupidum adoleſcentem morti temere damnare nolite; quae una eſt infelicibus viris malorum allevatio. Improborum enim hominum crimen in ſe tranſtulit, ut poenam ſuſtinens infelicitatis ſuae perfugium aliquod habere poſſet. Cuiuſmodi autem illius infelicitas fuerit, quam breviſſime potero, paucis

εἶχεν, ὡς εἶπεν· τοῦτο γὰρ οὐκ ἐψεύσατο· καὶ ὅτι λῃσταὶ ταύτην ἥρπασαν, καὶ τὰ περὶ Σωσθένους, καὶ πάνθ' ὅσα πρὸ τοῦ φόνου διηγήσατο, πέπρακται τὸν τρόπον τοῦτον. αὕτη γέγονεν ἐξαίφνης ἀφανὴς, οὐκ οἶδα πῶς, οὔτ' εἴ τις ἀπέκτεινεν αὐτὴν, οὔτ' εἰ καὶ ζῇ κλαπεῖσα. πλὴν ἓν τοῦτ' οἶδα μόνον, τὸν Σωσθένην αὐτῆς ἐρῶντα, καὶ αἰκισάμενον βασάνοις πολλαῖς, ἐφ' οἷς οὐκ ἐτύγχανεν, καὶ φίλους ἔχοντα λῃστάς. Οὗτος οὖν ἀνῃρῆσθαι δοκῶν τὴν γυναῖκα, ζῆν οὐκ ἔτι θέλει. καὶ διὰ τοῦτο ἑαυτοῦ φόνον κατεψεύσατο. ὅτι μὲν γὰρ ἐπιθυμεῖ θανάτου, καὶ αὐτὸς ὡμολόγησεν, καὶ ὅτι διὰ λύπην τὴν ἐπὶ γυναικί. σκοπεῖτε δὲ εἴ τις ἀποκτείνας τινα ἀληθῶς, ἐπαποθανεῖν αὐτῷ θέλει, καὶ ζῆν δι' ὀδύνην οὐ φέρει. τίς οὕτω φιλόστοργος φο-

exponam. Amicam adolefcens is, uti dixit, habuit. Neque enim id, nec quae de piratis ac Softhene recenfuit, mentitus eft. Nam quaecunque fibi ante illius caedem eveniffe narravit, revera, ficuti ab eo audiviftis, gefta fuere. Haec e mortalium confpectu dudum, atque improvifo quidem, fubtracta eft. Quo vero id pacto factum fuerit, aut interfectane fit, an rapta vivat adhuc, mihi nondum fatis liquet: illud unum didici, a Softhene amatam illam, multifque modis excruciatam, quibus tamen nihil profecit, quamvis latrones fibi familiares habuerit. Is igitur puellam deceffiffe ratus, vivere amplius velle negat: feque idcirco caedis reum ementitur. Sibi autem in animo effe e vita migrare, ipfemet faffus eft: ac potiffimum ob moerorem ex mulieris amiffione conceptum. Vos vero etiam atque etiam cogitate, num verifimile vobis videatur, eum, qui vere alium interfecerit, una cum eo ipfo, quem interemit, mori velle? aut num aliquis reperiatur tam familiariter inimicitias exercens, ut necati a fe viri mifericordia motus, e vita decedere aveat? Quodnam

νεύς; ἢ ποῖον μῖσος ἐστιν οὕτω φιλούμενον; μὴ πρὸς θεῶν, μὴ πιστεύσητε, μηδὲ ἀποκτείνητε ἄνθρωπον, ἐλέου μᾶλλον ἢ τιμωρίας δεόμενον. εἰ δὲ αὐτὸς ἐπεβούλευσεν, ὥς λέγει, τὸν φόνον· εἰπάτω τίς ἐστιν ὁ μεμισθωμένος· δειξάτω τὴν ἀνῃρημένην. εἰ δὲ μήθ' ὁ ἀποκτείνας ἐστιν, μήθ' ἡ ἀνῃρημένη· τίς ἤκουσεν τοιοῦτον φόνον ποτέ; Ἤρων, φῂς, Μελίττης· διὰ τοῦτο Λευκίππην ἀπέκτεινα. Πῶς οὖν Μελίττης φόνον κατηγόρει, ἧς ἤρα; διὰ Λευκίππην δὲ ἀποθανεῖν ἐθέλει νῦν, ἣν ἀπέκτεινεν· οὕτω γὰρ ἄν τις καὶ μισοῖ τὸ φιλούμενον, καὶ φιλοῖ τὸ μισούμενον; Ἆρ' οὖν οὐ πολὺ μᾶλλον ἂν καὶ ἐλεγχόμενος ἠρνήσατο τὸν φόνον; ἵνα καὶ σώσῃ τὴν ἐρωμένην, καὶ ὑπὲρ τῆς ἐρωμένης μὴ μάτην ἀποθάνῃ; διὰ τί οὖν Μελίττης κατηγόρησεν, εἰ μηδὲν αὐτῇ

odium, quaeso, tam amicum? Ne per Deos, ne credite: neve hominem misericordia potius, quam supplicio dignum, perdite. Quod si, uti dixit, caedis auctor ipse fuit, agitedum, mercenarium istum homicidam in medium proferat, occisae puellae cadaver indicet. Sin vero neque interfectorem nominat, neque interemtum commonstrat, quid est, quamobrem caedem hanc quispiam appellet? Amabam, inquit, Meliten, idcirco Leucippen sustuli. At cur eius, quam quantopere amat, nomen defert? Cur Leucippes, quam morte affici mandavit, causa mori cupit? Quid? an putatis, aliquem ita sibi ipsi parum constantem, ut, quod amat, oderit: & contra, quod oderit, amet? An non potius credendum est, amantem hominem, tametsi convictum, crimen tamen, ut amicam servet, pernegaturum, ne illius amissae dolore discruciatus, ipse quoque frustra vitam amittat? Sed & considerandum illud est, quam ob causam Meliten accusaverit, si nihil ab ea tale

τοιοῦτο πέπρακται; Ἐγὼ καὶ τοῦτο πρὸς ὑμᾶς ἐρῶ, καὶ πρὸς τῶν θεῶν, μή με νομίσητε διαβάλλειν θέλοντα τὴν γυναῖκα προσποιήσασθαι τὸν λόγον [1], ἀλλ' ὡς τὸ πᾶν ἐγένετο. Μελίττη μὲν ἐπεπόνθει πρὸς τοῦτον ἐρωτικὸν, καὶ περὶ τοῦ γάμου διείλεκτο, πρὶν ὁ θαλάσσιος οὗτος ἀνεβίω νεκρός. ὁ δὲ οὐκ εἶχεν οὕτως, ἀλλὰ καὶ πάνυ ἐῤῥωμένως τὸν γάμον ἀπεκρούετο, καὶ τούτῳ [2] τὴν ἐρωμένην εὑρὼν, ὡς ἔφη, παρὰ τῷ Σωσθένει ζῶσαν, ἣν ᾤετο νεκρὰν, πολὺ μᾶλλον πρὸς τὴν Μελίττην εἶχεν ἀλλοτριώτερον. ἡ δὲ πρὶν μαθεῖν ἐρωμένην οὖσαν αὐτῷ τὴν παρὰ τῷ Σωσθένει, ταύτην ἐλέησέν τε καὶ ἔλυσεν τῶν δεσμῶν, οἷς ἦν ὑπὸ τοῦ Σωσθένους δεδεμένη· καὶ εἰς τὴν οἰκίαν τε εἰσεδέξατο, καὶ τὰ

patratum fuit? Ego vero iterum atque iterum a vobis peto, obsecroque, ut ne me huiusmodi oratione uti existimetis, quo mulierem hanc in invidiam rapiam, sed qui rem ipsam ordine recenseam. Melite adolescentis huiusce amore flagrabat: de nuptiisque, antequam marinus iste vir revixisset, habitus fuerat sermo. Hic vero non modo impotenti mulieris amori non respondebat, sed etiam a nuptiis quam longissime abhorrebat. Quin etiam amica, quam luce privatam, uti dixit, credebat, viva apud Sosthenem reperta, multo magis etiam Meliten aversatus est. Quae cum puellam apud Sosthenem inventam huius amicam esse nondum sciret, illius vicem miserata, e vinculis, quibus a Sosthene constricta fuerat, solvi iussit, hospitio

1 Προσποιήσασθαι τὸν λόγον) *Hunc sermonem fingere.* Melius legatur, quod in aliis invenio, ποιήσασθαι τὸν λόγον, *hac oratione uti.* Et sic legit interpres. *Salmas.* Sed & προσποιήσασθαι hic recte habet, uti e contextu patet, & recte h. l. verti poterat: *hac oratione uti.* Mox post ἐρωτικὸν excidisse puto τι.

2 Καὶ τούτῳ) Ita libri. Editio vulgaris habebat καὶ τοῦτο. Lege καὶ ἐν τούτῳ. Vel κἂν τούτῳ. *Et interim, & dum haec aguntur,* amicam suam reperit, quam putabat mortuam. Infra p. 299: ἐν τούτῳ δὲ ὁ Θέρσανδρος.

ἀλλὰ ὡς πρὸς ἐλευθέραν δυστυχήσασαν ἐφιλοτιμήσατο. ἐπειδὴ δὲ ἔμαθεν, ἔπεμψεν εἰς τοὺς ἀγροὺς διακονησαμένην αὐτῇ. καὶ μετὰ ταῦτά φησιν ἀφανῆ γεγονέναι. Καὶ ὅτι ταῦτα οὐ ψεύδομαι, ἡ Μελίττη συνομολογήσει, καὶ θεράπαιναι δύο, μεθ᾽ ὧν αὐτὴν ἐπὶ τοὺς ἀγροὺς ἐξέπεμψεν. Ἓν μὲν δὴ πρὸς ὑπόνοιαν ἤγαγεν τοῦτον, μὴ ἄρα φονεύσασα εἴη τὴν Λευκίππην αὐτὴ διὰ ζηλοτυπίαν. ἕτερον δέ τι αὐτῷ πρὸς τὴν τῆς ὑπονοίας βεβαίωσιν ἐν τῷ δεσμωτηρίῳ συμβὰν, καὶ καθ᾽ αὐτοῦ καὶ κατὰ τῆς Μελίττης ἐξηγρίανεν. τῶν δεσμωτῶν τις ὀδυρόμενος ἑαυτοῦ τὴν συμφορὰν, ἔλεγεν ὁδῷ τινι κεκοινωνηκέναι κατὰ ἄγνοιαν ἀνδρὶ φονεῖ· δεδρακέναι δὲ ἐκεῖνον γυναικὸς φόνον ἐπὶ μισθῷ· καὶ τὸ ὄνομα ἔλεγεν· Μελίττην μὲν εἶναι τὴν μισθωσαμένην, Λευκίππην δὲ τὴν ἀνῃρημένην. Εἰ δὲ ταῦτα

accepit, & tanquam liberam in calamitate alioqui constitutam in honore habuit: demum re cognita rus misit, ut in agrorum curam incumberet: post quae nullo amplius in loco visam fuisse aiunt. Haec omnia vera esse, Melite ipsa, & ancillae duae, quibuscum illa rus missa fuit, testabuntur. Sed illud hominem in suspicionem adduxit: veritus enim est, ne obtrectationis furore de[illegible]cta mulier, Leucippen de medio tolli iusserit. Deinde [illegible]ud quiddam sibi, dum in carcere esset, eveniens suspicionem adauxit; hominemque & contra semet ipsum, & contra Meliten irritavit. Quidam enim ex iis, qui in custodiam dati fuerant, suam per sese vicem dolens, narravit, se inter eundum in sicarium nescio quem incidisse, qui pretio accepto puellam necasse fassus est, & quae caedem mandaverat, Meliten, quae necata fuerat, Leucippen nominari dixit. Quod postremum an ita se habeat, equidem nondum ha-

γέγονεν οὕτως, ἐγὼ μὲν οὐκ οἶδα, μαθεῖν δὲ ὑμᾶς ἔξεσται. ἔχετε τὸν δεδεμένον, εἰσὶν αἱ θεράπαιναι, ἔστιν ὁ Σωσθένης. ὁ μὲν ἐρεῖ, πόθεν ἔσχεν τὴν Λευκίππην δούλην· αἱ δὲ πῶς γέγονεν ἀφανής· ὁ δὲ περὶ τοῦ μισθωτοῦ καταγορεύσει. πρὶν δὲ μάθητε τούτων ἕκαστον, οὔτε ὅσιον, οὔτε εὐσεβὲς, νεανίσκον ἄθλιον ἀνελεῖν, πιστεύσαντας μανίας λόγοις· μαίνεται γὰρ ὑπὸ λύπης.

ι΄. Ταῦτα εἰπόντος τοῦ Κλεινίου, τοῖς μὲν πολλοῖς ἐδόκει πιθανὸς ὁ λόγος· οἱ δὲ τοῦ Θερσάνδρου ῥήτορες, καὶ ὅσοι τῶν φίλων συμπαρῆσαν, ἐπεβόων ἀνελεῖν τὸν ἀνδροφόνον, τὸν αὐτοῦ κατειπόντα θεοῦ προνοίᾳ. Μελίττη τὰς θεραπαινίδας ἤγαγεν. καὶ Θέρσανδρον ἠξίουν διδόναι Σωσθένην· τάχα γὰρ ἂν αὐτὸν εἶναι τὸν

beo compertum: ſed illud vos inquirere par eſt. Nam non admodum difficile factu erit, cum praeſertim eum habeatis, qui de mercenario interfectore mentionem in carcere fecit: quem ea de re interrogandum cenſeo. Adſit praeterea Soſthenes, adſint ancillae: quorum ex altero quaeri ius eſt, unde ſibi Leucippe in ſervitutem data ſit; ex alteris, quomodo e mortalium conſpectu ſit erepta. Prius vero quam harum rerum omnium inveſtigatio a vobis facta ſit, neque ius, neque fas eſt, lucis huius uſuram miſero adoleſcenti eripere, inſanis eius dictis fidem adhibentes: moeror enim hominem ad inſaniam compulit.

X. Quae cum dixiſſet Clinias, multi verbis eius fidem habendam duxerunt. Therſandri vero advocati eiuſque amicorum turba adſtans conclamabant, tollendum eſſe e medio homicidam, ſe ipſum, quod divina factum ſit providentia, criminis reum profitentem. Melite ancillas protulit, ac Soſthenem, qui forte Leucippen interfecerat, a

Λευκίππην ἀνῃρηκότα· καὶ οἱ συναγορεύοντες αὐτῇ ταῦτα μάλιστα προεφέροντο πρόκλησιν. Ὁ δὲ Θέρσανδρος φοβηθεὶς, λάθρα τινὰ τῶν προστατῶν εἰς τὸν ἀγρὸν ἀποστέλλει πρὸς τὸν Σωσθένην, κελεύσας τὴν ταχίστην ἀφανῆ γεγενῆσθαι, πρὶν τοὺς ὑπ᾽ αὐτὸν πεμφθέντας ἥκειν. ὃς δὴ ἐπιβὰς ἵππῳ σπουδῇ μάλα πρὸς αὐτὸν ἔρχεται, καὶ τὸν κίνδυνον λέγει, ὡς, εἰ ληφθείη παρὼν, εἰς βασάνους ἀπαχθήσεται. Ὁ δὲ ἔτυχε μὲν ἐν τῷ τῆς Λευκίππης δωματίῳ παρὼν, κατεπᾴδων αὐτῇ· κληθεὶς δὲ ὑπὸ τοῦ παρόντος σὺν βοῇ καὶ ταραχῇ πολλῇ, προέρχεται, καὶ ἀκούσας τὰ ὄντα, μεστὸς γενόμενος δέους, καὶ ἤδη νομίζων τοὺς δημίους ἐπ᾽ αὐτὸν παρεῖναι, ἐπιβὰς ἵππου σπουδῇ μάλα ἐξελαύνει ἐπὶ Σμύρνης. Ὁ δὲ ἄγγελος πρὸς τὸν Θέρσανδρον ἀναστρέφει. Ἀληθὴς δέ ἐστιν ὡς ἔοικεν ὁ λόγος, ὅτι μνήμην ἐκπλήσσειν πέφυκε φόβος. ογ᾽ οὖν Σωσθένης περὶ

Therſandro produci petiit: eam enim conditionem, qui Melites cauſam agebant, tulerant. Veritus autem Therſander, ne res in apertum proferretur, quendam e ſuis rus ad Soſthenem ire clam imperavit, iuſſum, ut quamprimum aliquo profugeret, antequam, qui ad eum comprehendendum mittendi erant, illo ſe contuliſſent. Ille viam equo ingreſſus quam ociſſime periculum nuntiat, quaeſtionemque de eo, ſi ſe comprehendi ſinat, habitum iri affirmat. Erat tum forte Soſthenes apud Leucippen, ut exulceratum eius animum deliniret. Multo itaque cum clamore ac ſtrepitu vocatus exivit: reque cognita pavoris plenus, atque apparitores adeſſe iam putans, equo accepto, Smyrnam ſtatim contendit. Nuntius ad Therſandrum revertitur. Veriſſimum autem, ut mihi quidem videtur, illud eſt, pavore memoriam obrui ſolere. Nam

ἑαυτοῦ φοβηθεὶς, ἅπαξ ἁπάντων ἐξελάθετο τῶν ἐν ποσὶν ὑπ᾽ ἐκπλήξεως, ὡς μηδὲ τοῦ τῆς Λευκίππης δωματίου κλεῖσαι τὰς θύρας. μάλιστα γὰρ τὸ τῶν δούλων γένος, ἐν οἷς ἂν φοβηθῇ, σφόδρα δειλόν ἐστιν.

ια΄. Ἐν τούτῳ δὲ ὁ Θέρσανδρος πρώτης προκλήσεως ἀπὸ τῆς Μελίττης οὕτω γενομένης παρελθὼν, Ἱκανὸς μὲν οὗτος, εἶπεν, ὅστις ποτέ ἐστι, κατελήρησε μυθολογῶν. ἐγὼ δὲ ὑμῶν τεθαύμακα τῆς ἀναλγησίας, εἰ φονέα ἐπ᾽ αὐτοφώρῳ λαβόντες, μεῖζον γὰρ τῆς φωρᾶς, τὸ αὐτὸν αὑτοῦ κατειπεῖν, οὐ δὴ κελεύετε τῷ δημίῳ· καθέζεσθε δὲ γόητος ἀκούοντες, πιθανῶς μὲν ὑποκρινομένου, πιθανῶς δὲ δακρύοντος. ὃν νομίζω καὶ αὐτὸν κοινωνὸν γενόμενον τοῦ φόνου, περὶ ἑαυτοῦ φοβεῖσθαι. ὥστ᾽ οὐκ οἶδα τί δεῖ βασάνων ἔτι, περὶ πράγματος οὕτω σαφῶς ἐληλεγμένου. Δοκῶ δὲ καὶ

dum fibi Softhenes metuit, eorum omnium, quae prae manibus habebat, repente oblitus eft, ut ne domunculae quidem, in qua Leucippe cuftodiebatur, fores occluferit: nimirum quia fervorum genus, ubi periculi aliquid immineat, quam timidiffimum eft.

XI. Interea Therfander, primam a Melites patronis conditionem filentio involvens, Abunde quidem, inquit, ifte, quicunque tandem fit, nugatus eft: ego vero ftupiditatem veftram non potui non mirari, qui, cum ficarium in manifefto fcelere deprehenfum teneatis, tametfi maius eft, fe ipfum accufare, quam deprehendi, non tandem lictori eum tradatis, fed praeftigiatori huic, aeque ad comminifcendum atque ad lugendum facto, aures fedendo praebeatis: quem utpote caedis participem fibi ipfi quoque timere arbitror. Quare autem quaeftionibus opus fit, in re praefertim tam aperta, non video. Sed & illud ut cre-

ἄλλον τινὰ φόνον ἐργάσασθαι. ὁ γὰρ Σωσθένης οὗτος, ὃν αἰτοῦσι, παρ᾽ ἐμοῦ τρίτην ταύτην ἡμέραν γέγονεν ἀφανής. καὶ ἔστιν οὐ πόῤῥω τινὸς ὑπονοίας, μὴ ἄρα τῆς τούτων ἐπιβουλῆς γέγονεν ἔργον· αὐτὸς γὰρ ἐτύγχανεν ὁ τὴν μοιχείαν μοι κατειπών. ὥστε εἰκότως ἂν ἀποκτεῖναί μοι δοκοῦσιν αὐτόν· καὶ τοῦτ᾽ εἰδότες, ὡς ἂν οὐκ ἔχοιμι παρασχεῖν τὸν ἄνθρωπον, πρόκλησιν περὶ αὐτοῦ πεποίηνται πάνυ κακούργως. Εἴη μὲν οὖν κἀκεῖνον φανῆναι καὶ μὴ τεθνάναι. τί δὲ, κἂν παρῇ [1], ἔδει παρ᾽ αὐτοῦ μαθεῖν; ἤ τινα κόρην ἐωνήσατο; τοιγοῦν ἐωνημένος ἔστω, καὶ εἰ ταύτην ἔσχεν Μελίττη, λέγει καὶ τοῦτο δι᾽ ἐμοῦ. Ἀπήλλακται μὲν δὴ Σωσθένης ταῦτα εἰπὼν, τοὐντεῦθεν δὲ ὁ λόγος μοι πρὸς

dam, adducor, aliam eum etiam caedem patrasse. Nam Sosthenes is, quem tantopere efflagitant, iam triduum apud me nusquam conspicitur. Neque admodum a vero abhorret, eorum consilio negotium confectum esse, propterea quod uxoris probrum ab eo mihi renuntiatum fuerat. Unde mihi etiam verisimilius fit, eos illum neci tradidisse; scientesque, non habere me, qui hominem producam, petitionem istam de eo sistendo perastute tulisse. Viveret vero utinam Sosthenes, mihique illum dare liceret. Sed hominem adesse fingamus; quidnam, obsecro, ex eo sciscitari oporteret? Puellamne aliquam emerit? Esto sane, emerit ille. Et si eam habuit Melite? Dicit & hoc per me. Numquid aliud, si ille adesset, rogari deberet? Minime hercule. Iis igitur confessis, absolutus quidem iam Sosthenes est. Verum hinc nunc iam ad Meliten Clitophontem-

1 Τί δὲ, κἂν παρῆν) Hanc Salmasii a Codice Bavarico maxima ex parte confirmatam lectionem optimo iure in textum intulisse mihi videor. In vulgatis locus ita se habebat: εἴη μὲν οὖν κἀκεῖνον φανῆναι καὶ μὴ τεθνάναι, τὸ δὲ, κἂν (καὶ edit. Commel.) παρῆν, ἔδει παρ᾽ αὐτοῦ μαθεῖν, εἴ τινα κόρην ἐωνήσατο· τοὶ γὰρ οὖν ἐωνημένος ἔστω, κἂν εἰ ταύτην ἔσχεν Μελίττη, λέγει καὶ τοῦτο δι᾽ ἐμοῦ. (edit. Commel. ἔσχεν, Μελίττη λέγει, κ. τ. δι᾽ ἐμοῦ.)

Μελίττην καὶ Κλειτοφῶντα. Τί μου τὴν δούλην λαβόντες πεποιήκατε; δούλη γὰρ ἦν ἐμὴ, Σωσθένους αὐτὴν ἐωνημένου. καὶ εἴπερ ἦν, καὶ μὴ πρὸς αὐτοῦ ἐπεφόνευτο, πάντως ἂν ἐδούλευσεν ἐμοί. Τοῦτον δὲ τὸν λόγον ὁ Θέρσανδρος πάνυ κακοήθως παρενέβαλεν, ἵνα κἂν ὕστερον ἡ Λευκίππη φωραθῇ ζῶσα, πρὸς δουλείαν αὐτὴν ἀγάγῃ. Εἶτα προσετίθη· Κλειτοφῶν μὲν οὖν ὡμολόγησεν ἀνῃρηκέναι, καὶ ἔχει τὴν δίκην· Μελίττη δὲ ἀρνεῖται. πρὸς ταύτην αἱ τῶν θεραπαινίδων εἰσὶ βάσανοι. ἂν γὰρ φανῶσι παρὰ ταύτης λαβοῦσαι τὴν κόρην, εἶτ' οὐκ ἔτι πάλιν ἀγαγοῦσαι, τί γέγονεν; τί δ' ὅλως ἐξεπέμπετο; καὶ πρὸς τίνα; Ἆρ' οὐκ εὔδηλον τὸ πρᾶγμα, ὡς συσκευασάμενοι μὲν ἦσάν τινας ὡς κτενοῦντας; αἱ δὲ θεράπαιναι τούτους μὲν, ὡς εἰκὸς, οὐκ ᾔδεσαν, ἵνα μὴ μετὰ πλειόνων μαρτύρων γενόμενον τὸ ἔργον κίνδυνον ἔχῃ μείζονα. κατέλειπον δὲ αὐτὴν,

que mea convertatur oratio. Nam quid de mea mihi a vobis ſubtracta ancilla factum eſt? vere enim mea erat ancilla, emta per Soſthenem. Et ſi adhuc in vivis eſſet, nec interfecta ab hoc, iure meritoque mihi eſſet ſervitura. Addebat praeterea etiam illud: Clitophon quidem puellam ſe interemiſſe faſſus eſt, ac caedis reum ſe fecit; Melite vero negat. Sed eam ancillarum indicia redarguent. Nam ſi eas Leucippen a Melite accepiſſe, nec dum poſtea reddidiſſe, conſtiterit, quid de illa factum credamus? Quid, inquit, rogas? omnino emiſſa eſt. Verum, inquam, ad quem? Neminem certe proferunt: tacent. An non igitur manifeſtum eſt, quoſdam, qui ei mortem afferrent, ab ipſis conductos? id quod clam ancillis factum fuiſſe credi par eſt, ut ne vulgatum inter plures teſtes facinus maiore cum eorum periculo facilius innoteſceret. Nam eam quoque

ἔνθα ἦν ὁ τῶν λῃστῶν λόχος λανθάνων, ὥστε ἐνεχώρει, μηδὲ ἐκείνας τὸ γενόμενον ἑωρακέναι. Ἐλήρησε δὲ καὶ περὶ δεσμώτου τινὸς, ὡς εἰπόντος περὶ τοῦ φόνου. καὶ τίς ὁ δεσμώτης οὗτος, ὃς τὸν στρατηγὸν [1] μὲν οὐδὲν εἶπεν, τούτῳ δὲ μόνῳ τὰ ἀπόρρητα διελέγετο τοῦ φόνου, πλὴν εἰ μὴ κοινωνοῦντα αὐτὸν ἐγνώρισεν; οὐ παύσεσθε φληνάφων ἀνεχόμενοι, καινῶν καὶ τηλικούτων ἔργων τιθέμενοι παιδιάν; οἴεσθε χωρὶς θεοῦ τοῦτον αὐτοῦ κατειπεῖν;

ιβ'. Ταῦτα λέγοντος τοῦ Θερσάνδρου, καὶ διομνυμένου, περὶ τοῦ Σωσθένους οὐκ εἰδέναι, τί γέγονεν, ἔδοξε τῷ προέδρῳ τῶν δικαστῶν· ἦν δὲ τοῦ βασιλικοῦ γένους, καὶ τὰς μὲν φονικὰς ἐδίκαζε δίκας, κατὰ δὲ τὸν νόμον συμβούλους ἐκ τῶν γεραιτέρων εἶχεν, οὓς

reliquerunt, ubi latronum multitudo delitescebat: ut verisimile sit, quid isti molirentur, eas minime vidisse. Atqui de quodam etiam in custodiam dato, & a quo caedis huiusce mentio facta fuerit, nescio quid commentus est. Sed quisnam hic est, qui praefecto quidem verbum nullum, isti vero caedis arcana omnia, nisi se eum, de quo audiverat, cognovisse negavit, palam fecit? Num quando tam vanis nugis aures praebere, negotiumque huiusmodi ludicram rem putare, desinetis? Quid vos? Censetisne hunc absque divino nutu se ipsum accusare?

XII. Hic cum dicendi Thersander finem fecisset, ac de Sosthene quid actum fuisset, nescire se iureiurando etiam affirmasset, iudicum principi visum est: erat is regii generis, penes quem capitalium causarum diiudicandarum potestas erat, tametsi e senioribus, uti legibus cavebatur, consiliarios haberet, quos, quid sibi faciendum putarent,

1 Ὃς τὸν στρατηγὸν) Inferendum cum Salmasio πρὸς τ. στ. quod propter antec. v. ὃς similis soni excidit.

ἐπιγνώμονας ἐλάμβανε τῆς γνώσεως· ἔδοξεν οὖν αὐτῷ διασκοπήσαντι σὺν τοῖς παρέδροις αὐτοῦ, θάνατον μὲν ἐμοῦ καταγνῶναι κατὰ τὸν νόμον, ὃς ἐκέλευσε τὸν αὑτοῦ κατειπόντα φόνον τεθνάναι· περὶ δὲ Μελίττης κρίσιν γενέσθαι δευτέραν, ἐν ταῖς βασάνοις τῶν θεραπαινίδων· Θέρσανδρον δὲ ἐπομόσαι περὶ τοῦ Σωσθένους ἐν γράμμασιν ἡμῖν, οὐκ εἰδέναι τί γέγονεν· κἀμὲ δὲ, ὡς ἤδη κατάδικον, βασανισθῆναι περὶ τοῦ Μελίττην τῷ φόνῳ συνεγνωκέναι. Ἄρτι δέ μου δεθέντος, καὶ τῆς ἐσθῆτος τοῦ σώματος γεγυμνωμένου, μετεώρου τε ἐκ τῶν βροχῶν κρεμαμένου, καὶ τῶν μὲν μάστιγας κομιζόντων, τῶν δὲ πῦρ καὶ τροχὸν, ἀνοιμώξαντος δὲ τοῦ Κλεινίου, καὶ ἐπικαλοῦντος τοὺς θεοὺς, ὁ τῆς Ἀρτέμιδος ἱερεὺς δάφνην ἐστεμμένος προσιὼν ὁρᾶται. σημεῖον δὲ τοῦτό ἐστιν ἡκούσης θεωρίας τῇ θεῷ· τοῦτο δὲ ὅταν γένηται, πάσης εἶναι δεῖν τιμωρίας ἐκεχει-

consulebat: visum est, inquam, communicato cum collegis negotio, morte me secundum legem mulctare; qua cautum aiebat, ut, qui se ipse accusaret, morti addiceretur. De Melite vero iudicium aliud, habita de ancillis quaestione, fieri, Thersandrumque scripto iusiurandum mandare debere, se omnino, quid de Sosthene actum sit, ignorare; ex me autem, uti iam peracto, per tormenta quaeri oportere, an Melite caedis conscia exstitisset, decretum fuit. Iamque, detractis indumentis, in sublime raptus pendebam, aliis lora, nonnullis ignem atque rotam afferentibus, Cliniaque interim collacrimante, Deosque obtestante; cum repente Dianae sacerdos laureatus ad forum adventare visus est. Id vero signum est venientium ad sacra Deae facienda peregrinorum. Quae res cum accidit, abstinere a supplicio tantisper oportet, dum rei divinae

ρίαν ἡμερῶν τοσούτων, ὅσων οὐκ ἀπετέλεσαν [1] τὴν θυσίαν οἱ θεωροί. Οὕτω μὲν δὴ τότε τῶν δεσμῶν ἐλύθην. Ἦν δὲ ὁ τὴν θεωρίαν ἄγων, Σώστρατος, ὁ τῆς Λευκίππης πατήρ. οἱ γὰρ Βυζάντιοι τῆς Ἀρτέμιδος ἐπιφανείσης ἐν τῷ πολέμῳ τῷ πρὸς τοὺς Θρᾳκας, νικήσαντες ἐλογίσαντο δεῖν αὐτῇ θυσίαν ἀποστέλλειν τῆς συμμαχίας ἐπινίκιον. Ἦν δὲ καὶ ἰδίᾳ τῷ Σωστράτῳ νύκτωρ ἡ θεὸς ἐπιστᾶσα. τὸ δὲ ὄναρ ἐσήμαινεν, τὴν θυγατέρα εὑρήσειν ἐν Ἐφέσῳ καὶ τἀδελφοῦ τὸν υἱόν.

ιγ΄. Παρὰ δὲ τὸν αὐτὸν χρόνον καὶ ἡ Λευκίππη, τὰς μὲν τοῦ δωματίου θύρας ἀνεῳγμένας ὁρῶσα, τὸν δὲ Σωσθένην μὴ παρόντα, περιεσκόπει μὴ πρὸ θυρῶν εἴη. ὡς δ᾽ ἦν οὐδαμοῦ, θάρσος αὐτῇ καὶ ἐλπὶς ἡ συνήθης ἐπεισέρχεται· μνήμη γὰρ αὐτῇ τοῦ πολλάκις παρὰ δόξαν σεσῶσθαι, πρὸς τὸ παρὸν τῶν κινδύνων τὴν ἐλπίδα προὐξένει. ἀπέχρη τε τῇ τύχῃ. ἦν γὰρ τῶν ἀγρῶν

finis impositus sit: itaque tunc solutus sum. Porro sacrorum auctor erat Leucippes pater Sostratus. Nam cum Byzantii ex bello, quod adversum Thracas gesserant, victoriam apparente coram Diana reportassent; aequum censuerunt, ei Deae sacrificium facere, pro auxilio praebito gratiam tanquam referentes. Privatim vero Sostrato etiam ipsi noctu Dea in somnis apparuerat, filiamque ac nepotem Ephesi eum reperturum praedixerat.

XIII. Per idem tempus Leucippe domunculae fores patentes nacta, veritaque, ne Sosthenes, quem exivisse viderat, ante ianuam forte adhuc constitisset, posteaquam eum nusquam conspexit, firmiore animo esse coepit. Cum enim saepe antea, & ex insperato quidem, maximis ex periculis ereptam se fuisse in memoria haberet; tum quoque spem concepit, ac fortunae beneficio uti decrevit. Nam cum Dianae ab agris illis templum non longe abes-

1. Οὐκ ἀπετελέσαν) Melius, οὐκ ἐπετέλεσαν.

πλησίον τὸ τῆς Ἀρτέμιδος ἱερόν. ἐκτρέχει τε ἐπ᾽ αὐτὸ, καὶ ἔρχεται τοῦ νέω [1]. τὸ δὲ παλαιὸν ἄβατος ἦν γυναιξὶν ἐλευθέραις οὗτος ὁ νεώς· ἀνδράσι δὲ ἐπετέτραπτο καὶ παρθένοις. εἰ δέ τις εἴσω παρῆλθεν γυνὴ, θάνατος ἦν ἡ δίκη, πλὴν εἰ μὴ δούλη τις ἦν ἐγκαλοῦσα τῷ δεσπότῃ. ταύτην δὲ ἐξῆν ἱκετεύειν τὴν θεὸν, οἱ δὲ ἄρχοντες ἐδίκαζον αὐτῇ τε καὶ τῷ δεσπότῃ. καὶ εἰ μὲν ὁ δεσπότης οὐδὲν ἔτυχεν ἀδικῶν, αὖθις τὴν θεράπαιναν ἐλάμβανεν, ὀμόσας μὴ μνησικακήσειν τῆς καταφυγῆς· εἰ δὲ ἔδοξε τὴν θεράπαιναν δίκαια λέγειν, ἔμενεν αὐτοῦ δούλη τῇ θεῷ. Ἄρτι δὲ τοῦ Σωστράτου τὸν ἱερέα παραλαβόντος, καὶ ἐπὶ τὰ δικαστήρια παρελθόντος, ὡς ἂν ἐπίσχῃ τὰς δίκας, εἰς τὸ ἱερὸν ἡ Λευκίππη παρῆν, ὥστε μικροῦ τινος ἀπελείφθη τοῦ μὴ τῷ πατρὶ συντυχεῖν.

ιδ΄. Ὡς δὲ ἀπηλλάγην ἐγὼ τῶν βασάνων, διελέ-

ſet, domo egreſſa in illud ſe recepit. Delubrum vero iſtud liberis mulieribus quondam inacceſſum erat; viris autem & virginibus patebat: cum capitale alioqui haberetur, mulieres ingredi, praeterquam ſervas in ius ab hero vocatas: iis enim ad Deam confugere licebat. Ac tum quidem Archontes inter ancillam, herumque ſententiam ferebant. Si enim ſervam iniuria dominus non affeciſſet, eam rurſum in ſervitutem recipiebat, fugaeque illius memoriam ſe non amplius habiturum iureiurando affirmabat: ſin autem ancillam iuſte queri compertum fuiſſet, tunc ea Deae miniſteriis addicta illic remanebat. Soſtrato igitur ſacerdotem, qui quaeſtionem differri iuberet, ad forum ducente, Leucippe templum ingreſſa eſt, parumque abfuit, quin patri obviam fieret.

XIV. Me vero, ſimulac dimiſſa concione ſolutus ſum,

1 Καὶ ἔρχεται τοῦ νεὼ) Legendum καὶ ἔχεται τοῦ νεώ. Nam ἔρχεται mendoſum. *Salmaſ.* Forte ſuppl. εἴσω.

λυτο μὲν τὸ δικαστήριον, ὄχλος τε ἦν περὶ ἐμὲ καὶ θόρυβος, τῶν μὲν ἐλεούντων, τῶν δὲ ἐπιθειαζόντων, τῶν δὲ ἀναπυνθανομένων. ἔνθα καὶ ὁ Σώστρατος ἐπιστὰς, ὁρᾷ μὲν, καὶ γνωρίζει. καὶ γὰρ, ὡς ἔφην ἐν ἀρχῇ τῶν λόγων, ἐν Τύρῳ ποτὲ ἐγεγόνει περὶ τὴν τῶν Ἡρακλείων ἑορτὴν, καὶ χρόνου πολλοῦ διατρίψας ἔτυχεν ἐν Τύρῳ, πρὸ πολλοῦ τῆς ἡμετέρας φυγῆς. ὥστε τάχα μου τὴν μορφὴν συνεβάλλετο, καὶ διὰ τὸ ἐνύπνιον φύσει προσδοκῶν [1] εὑρήσειν ἡμᾶς. Προσελθὼν οὖν μοι· Κλειτοφῶν οὗτος, Λευκίππη δὲ ποῦ; Ἐγὼ μὲν οὖν γνωρίσας αὐτὸν, εἰς γῆν κατένευσα· οἱ δὲ παρόντες αὐτῷ διηγοῦντο ὅσα εἶπον κατ᾽ ἐμαυτοῦ· καὶ ὃς ἀνοιμώξας, καὶ κοψάμενος τὴν κεφαλὴν, ἐμπηδᾷ μου τοῖς ὀφθαλμοῖς, καὶ μικροῦ δεῖν ἐξώρυξεν αὐτούς.

ingens multitudo circumſepſit: atque alii quidem vicem meam dolebant, nonnulli Deos invocabant, quidam me interrogabant: inter quos adſtans ipſe quoque Soſtratus, ut vidit, me protinus agnovit. Nam, ut initio dictum eſt, Tyri etiam ipſe quondam erat, cum Herculis feſtus dies ageretur: illicque diu admodum ante fugam noſtram commoratus eſt. Quapropter facile homini fuit me cognoviſſe, praeſertim cum in ſomnis quoque ſe nos reperturum admonitus fuiſſet. Itaque propius me accedens: Hic, mehercule, inquit, Clitophon eſt. Leucippe vero ubinam? Tum ego, illo agnito, vultum humi defixi: qui aderant, quaecunque contra me ipſum peroraveram, recenſuerunt. At ille perquam graviter ingemiſcens, caputque percutiens, in oculos mihi involavit, ac propemodum effodit.

1 Καὶ διὰ τὸ ἐνύπνιον φύσει προσδοκῶν) Haud ſcio, quid hic faciat illud φύσει. Turbat ſenſum, qui ſine eo integer, καὶ διὰ τὸ ἐνύπνιον προσδοκῶν εὑρήσειν ἡμᾶς. Videant acutiores, quid ea vocula faciendum, expungendane ſit, an mutanda, an aliquo modo exponenda.

οὐδὲ γὰρ ἐπεχείρουν κωλύειν ἐγὼ, παρεῖχον δὲ τὸ πρόσωπον ἐς τὴν ὕβριν. Ὁ δὲ Κλεινίας προσελθὼν εἶργεν, παρηγορῶν αὐτὸν ἅμα, καὶ λέγων· Τί ποιεῖς, ἄνθρωπε; τί μάτην ἠγρίωσαι κατ᾽ ἀνδρὸς, ὃς μᾶλλόν σου Λευκίππην φιλεῖ; θάνατον οὖν ὑπέστη παθεῖν, ὅτι τεθνάναι ταύτην ἔδοξε. Ἄλλα τε πολλὰ ἔλεγεν, παραμυθούμενος αὐτόν. ὁ δὲ ὠδύρετο καλῶν τὴν Ἄρτεμιν· Ἐπὶ τοῦτό με, δέσποινα, ἤγαγες ἐνταῦθα; τοιαῦτά σου τῶν ἐνυπνίων τὰ μαντεύματα; κἀγὼ μὲν ἐπίστευόν σου τοῖς ὀνείροις, καὶ εὑρήσειν παρά σοι προσεδόκουν τὴν θυγατέρα. καλὸν δέ μοι δῶρον δέδωκας· εὗρον τὸν ἀνδροφόνον αὐτῆς παρὰ σοί. Καὶ ὁ Κλεινίας ἀκούσας τοῦ τῆς Ἀρτέμιδος ἐνυπνίου, περιχαρὴς ἐγένετο, καὶ λέγει· Θάῤῥει, πάτερ, ἡ Ἄρτεμις οὐ ψεύδεται· ζῇ σοὶ Λευκίππη· πίστευσόν μου τοῖς μαντεύμα-

Nec enim reſiſtere homini audebam, quin immo faciem iniuriae praebebam. Sed eius impetum progreſſus in medium Clinia compreſſit, illumque redarguens: Quid, inquit, agis? cur tam temere in eum ſaevis, qui maiore, quam tu, amore Leucippen proſequitur? qui leto ſponte ſe obiecit, propterea quod eam diem obiiſſe crediderat? Atque alia praeterea multa, quo furorem illius placaret, addidit. Ille autem Dianam identidem invocans, ita fere conquerebatur: An tu hac de cauſa me huc, Dea, venire voluiſti? ſuntne haec mihi a te in ſomnis praedicta? Ego quidem certe ſomniis fidem tuis habui, filiamque me apud te reperturum credidi: ac ſane peregregium munus accepi, eius ſcilicet interfectorem. Tum Clinia, ſomnii mentione audita, mirum in modum gaviſus: Bono, inquit, animo, pater, eſto: mendax Dea non erit. Salva utique tibi eſt, vaticiniis meis mihi crede, Leucippe. Non-

σι. οὐχ ὁρᾶς καὶ τοῦτον, ὡς ἐκ βασάνων νῦν κρεμάμενον ἐξήρπασεν.

ιέ. Ἐν τούτῳ δὲ ἔρχεταί τις τῶν τοῦ νεὼ προπόλων ἐπὶ τὸν ἱερέα σπουδῇ μάλα θέων, καὶ λέγει πάντων ἀκουόντων· Κόρη τὶς ἐπὶ τὴν Ἄρτεμιν ξένη κατέφυγεν. Ἐγὼ μὲν δὴ τοῦτο ἀκούσας ἀναπτεροῦμαι, καὶ τὰ ὄμματα ἀνεγείρω, καὶ ἀναβιοῦν ἠρχόμην. ὁ δὲ Κλεινίας πρὸς τὸν Σώστρατον· Ἀληθῆ μου, πάτερ, εἶπεν, τὰ μαντεύματα. Καὶ ἅμα πρὸς τὸν ἄγγελον εἶπεν· Μὴ καλή; Οὐκ ἄλλην τοιαύτην, ἔφη, μετὰ τὴν Ἄρτεμιν εἶδον. Πρὸς τοῦτο ἐγὼ πηδῶ καὶ βοῶ, Λευκίππην λέγεις. Καὶ μάλα, ἔφη. καλεῖσθαι γὰρ τοῦτο ἔλεγεν αὐτὴν, καὶ πατρίδα Βυζάντιον, καὶ πατέρα Σώστρατον ἔχειν. Ὁ μὲν δὴ Κλεινίας ἀνεκρότησεν παιανίσας· ὁ δὲ Σώστρατος ὑπὸ χαρᾶς κατέπεσεν· ἐγὼ δὲ ἐξάλλομαι μετὰ τῶν δεσμῶν εἰς ἀέρα, καὶ

ne vides, ut hunc etiam e tortorum manibus eripuerit?

XV. Interea aedituorum unus, concitato admodum gressu ad sacerdotem veniens, puellam quandam peregrinam ad Dianam confugisse, cunctis audientibus, nuntiavit. Qua re cognita ego spem concepi, oculos sustuli, ac paene reviviscere visus sum. Clinia vero ad Sostratum conversus: Vera, inquit, pater, vaticinia mea sunt. Atque, an formosa illa esset, aedituum rogavit. Cui aedituus: Non aliam, inquit, Diana excepta, formosiorem vidi. Tum ego laetitia exsultans: Leucippenne, inquam, dicis? Maxime, ait ille. Hoc enim nomine se vocari, patriamque sibi esse Byzantium, patrem vero Sostratum, dixit. Clinia igitur laetabundus plausum edere coepit, cum Sostratus interim prae gaudio exanimatus concidisset. Ego saltu me ad sidera e vinculis dedi: mox ad templum, tan-

ἐπὶ τὸ ἱερὸν ὡς ἀπὸ μηχανῆς βληθεὶς ἐπετόμην· οἱ δὲ φυλάσσοντες ἐδίωκον, νομίζοντες ἀποδιδράσκειν, καὶ ἐβόων τοῖς ἐντυγχάνουσιν, λαβέσθαι. ἀλλ' εἶχον οἱ πόδες τότε μου πτερά. μόλις οὖν τινες μαινομένου μου πρὸς τὸν δρόμον λαμβάνονται. καὶ οἱ φύλακες ἅμα παρῆσαν, καὶ ἐπεχείρουν με τύπτειν. ἐγὼ δὲ ἤδη θαῤῥῶν ἠμυνόμην. οἱ δὲ εἷλκόν με εἰς τὸ δεσμωτήριον.

ιςτ'. Καὶ ἐν τούτῳ παρῆν ὁ Κλεινίας καὶ ὁ Σώστρατος. καὶ ὁ μὲν Κλεινίας ἐβόα· Ποῖ ἄγετε τὸν ἄνθρωπον; οὐκ ἔστιν φονεὺς, ἐφ' ᾗ καταδεδίκασται. Καὶ ὁ Σώστρατος ἐν μέρει ταῦτα ἔλεγεν, καὶ ὡς εἴη αὐτὸς τῆς ἀνῃρῆσθαι δοκούσης πατήρ. Οἱ δὲ παρόντες, μαθόντες τὸ πᾶν, εὐφήμουν τε τὴν Ἄρτεμιν, καὶ περιίσταντό με, καὶ ἄγειν εἰς τὸ δεσμωτήριον οὐκ ἐπέτρεπον. οἱ δὲ φύλακες οὐκ εἶναι κύριοι τοῦ μεθεῖναι καταδικασθέντα πρὸς θάνατον ἄνθρωπον ἔλεγον, ἕως ὁ ἱε-

quam tormento aliquo impulſus, convolavi. Cuſtodes, fugam me arripuiſſe putantes, inſequebantur: ac obvios quoſque ad me comprehendendum clamore advocabant. Sed pedibus meis alas additas fuiſſe dixiſſes. Tandem inſanientis more currentem me neſcio qui apprehenderunt, nec manus a me continuerunt. Verum ego audentior iam factus contra niti: illi me ad carcerem ducere pergebant.

XVI. Interea ſacerdos & Clinia praeſto fuerunt. Cliniaque prior: Quo hominem, inquit, ducitis? hic certe caedem, cuius damnatus eſt, nunquam fecit. Soſtratus quoque eadem fere ſingillatim repetebat, eiuſque, quam peremtam putabant, patrem ſe eſſe affirmabat. Qui aderant, cognita re, Dianae numen laudibus extollebant: meque circumſtantes ad carcerem duci vetabant. Cuſtodes autem cum ſibi hominis iam peracti dimittendi ius non

ρεὺς τοῦ Σωστράτου δεηθέντος ἐνηγγυήσατο ἔχειν καὶ παρέξειν εἰς τὸν δῆμον, ὅταν δέῃ. Οὕτω μὲν δὴ τῶν δεσμῶν ἀπολύομαι, καὶ ἐπὶ τὸ ἱερὸν ταχὺ μάλα ἠπειγόμην· καὶ ὁ Σώστρατος κατὰ πόδας, οὐκ οἶδα εἰ τὰ ὅμοια ἐμοὶ χαίρων. Οὐκ ἔστιν δὲ ἄνθρωπος οὕτως δρομικώτατος, ὃν οὐ τῆς μνήμης [1] φθάνει τὸ πτερόν. ἢ καὶ τότε ἡμᾶς ἐπὶ Λευκίππην πρεὔβαλεν, ἀπαγγέλλουσα πάντα, καὶ τὰ τοῦ Σωστράτου, καὶ τἀμά. ἰδοῦσα δὲ ἡμᾶς, ἐξεπήδησε τοῦ νεὼ, καὶ τὸν μὲν πατέρα περιεπτύξατο· τοὺς δὲ ὀφθαλμοὺς εἶχεν ἐπ᾽ ἐμέ. ἐγὼ δὲ εἱστήκειν αἰδοῖ τῇ πρὸς τὸν Σώστρατον, κατέχων ἐμαυτὸν, καὶ ἅπαντα βλέπων εἰς τὸ ἐκείνης πρόσωπον, ἐπ᾽ αὐτὴν ἐκθορεῖν. οὕτως ἀλλήλους ἠσπαζόμεθα τοῖς ὄμμασιν.

eſſe cauſarentur, ſacerdos, Soſtrato orante maxime, ſiſtendi, cum opus eſſet, mei vas eſt factus. Itaque vinculis ſolutus ad Dianae quam ociſſime contendi,. meaque veſtigia Soſtratus perſecutus eſt, ſed neſcio an pari mecum laetitia. Veriſſimum autem illud eſſe tum cognovi, nullum reperiri tam celerem curſorem, quem fama non antevertat. Ea enim vehementer properantes feſtinanteſque nos antegreſſa, Leucippen cum de aliis omnibus, tum de Soſtrati adventu, certiorem fecerat. Itaque cum primum nos vidit, e fano exiens patrem quidem complexa eſt, oculos vero in me convertit: qui licet ob Soſtrati praeſentiam verecundans, me, quo minus ad illam amplexandam excurrerem, continerem, non tamen ab eius vultu oculos defigere uſquam valebam. Ita mutuis nos obtutibus inter nos ſalutabamus.

1 Μνήμης) Non ſatisfacit hoc verbum. Emendatio haud poenitenda φήμης, quod verbum in textu ipſo commode locum habere poteſt. Interpretem Latinum non aliter legiſſe conſtat, atque ita & ſcriptum eſt ad marginem Codicis Bavarici, textu ferente μνήμης cum reliquis. Ibidem in ſequenri προὔλαβεν legitur, quod & Commelinus edidit.

ΛΟΓΟΣ ΟΓΔΟΟΣ.

Ἄρτι δὲ ἡμῶν μελλόντων καθέζεσθαι, καὶ περὶ τούτων διαλέγεσθαι, Θέρσανδρος σπουδῇ μάλα, μάρτυρας ἄγων τινὰς, ἔρχεται πρὸς τὸν νεὼ, καὶ μεγάλῃ τῇ φωνῇ πρὸς τὸν ἱερέα· Μαρτύρομαι, ἔφη, τῶνδε ἐναντίον, ὅτι μὴ δεόντως ἐξαιρῇ δεσμῶν καὶ θανάτου κατεγνωσμένον ἄνθρωπον ἐκ τῶν νόμων ἀποθανεῖν. ἔχεις δὲ καὶ δούλην ἐμὴν, γυναῖκα μάχλον, καὶ πρὸς ἄνδρας ἐπιμανῆ· ταύτην ὅπως μοι φυλάξῃς; Ἐγὼ δὲ πρὸς τὸ, δούλην καὶ γυναῖκα μάχλον, ὑπεραλγήσας τὴν ψυχὴν, οὐκ ἤνεγκα τῶν ῥημάτων τὰ τραύματα, ἀλλ' ἔτι λαλοῦντος αὐτοῦ· Σὺ μὲν οὖν, ἔφην, καὶ τρίδουλος, καὶ ἐπιμανὴς, καὶ μάχλος· αὕτη δὲ καὶ ἐλευ-

LIBER OCTAVUS.

At Therſander, dum nos iam ſeſſuri, atque iis ipſis de rebus inter nos collocuturi eſſemus, concitato admodum greſſu, adductiſque ſecum teſtibus aliquot, fanum ingreſſus eſt; & voce quam maxime contenta ad ſacerdotem converſus: Illud, inquit, his audientibus tibi denuntio, inique a te factum eſſe, qui hominem legibus capite damnatum e vinculis exemeris. Atqui ancillam etiam meam, impudicam illam quidem, & in appetendis viris ad inſaniam uſque effuſam, domi tuae abſcondidiſti: quam quo iure a me liberali cauſa manu aſſerturus ſis, pervelim ſcire. Tum ego & ſervam & impudicam Leucippen vocari audiens, animo vehementiſſime commotus, orationemque tam contumelioſam non ferens, ipſo nondum tacente: Tu quidem, inquam, triſervus, & inſanus, & impudicus; Leu-

θέρα καὶ παρθένος, καὶ ἀξία τῆς θεοῦ. Ὡς δὲ ταῦτα ἤκουσε, καί· Λοιδορεῖς, φήσας, δεσμῶτα καὶ κατάδικε; παίει με κατὰ τῶν προσώπων μάλα βιαίως, καὶ ἐπάγει δευτέραν. οἱ δὲ τῶν ῥινῶν αἵματος ἔῤῥεον κρουνοί. ὅλον γὰρ αὐτοῦ τὸν θυμὸν εἶχεν ἡ πληγή. ὡς δὲ καὶ τρίτην ἀπροφυλάκτως ἔπαισεν, λανθάνει μου τῷ στόματι περὶ τοὺς ὀδόντας προσπταίσας τὴν χεῖρα, καὶ τρωθεὶς τοὺς δακτύλους, μόλις τὴν χεῖρα συνέστειλεν ἀνακραγών. καὶ οἱ ὀδόντες ἀμύνουσι τὴν τῶν ῥινῶν ὕβριν· τιτρώσκουσι γὰρ αὐτοὶ τοὺς παίοντας δακτύλους, καὶ, ἃ πεποίηκεν, ἔπαθεν ἡ χείρ. καὶ ὁ μὲν ἐπὶ τῇ πληγῇ μαλακὸν ἀνακραγὼν συνέστειλε τὴν χεῖρα, καὶ οὕτως ἐπαύσατο. ἐγὼ δὲ ἰδὼν οἷον ἔχει κακὸν, τοῦτο μὲν οὐ προσεποιησάμην· ἐφ᾽ οἷς δὲ ἐτυραννήθην τραγῳδῶν, ἐνέπλησα βοῆς τὸ ἱερόν.

β΄. Ποῦ φύγωμεν ἔτι τοὺς βιαίους; ποῖ καταδρά-

cippe libera eſt, & virgo, & Dea digna. Quibus ille auditis: Tu, igitur, vinctus, inquit, & damnatus, conviciari audes? Et quanta maxima vi potuit, os mihi ſemel atque iterum ita contudit, ut ſanguinis quaſi rivi quidam e naribus manarint. Plaga enim mihi inflicta omnem eius iram oſtendebat. Cum vero etiam tertio me percuſſiſſet, dextram labris imprudenter impactam dentibus illiſit, ac, vulneratis digitis, ingemiſcens manum illico retraxit: ita dentes ſauciata dextra narium iniuriam ulti ſunt, &, quae vulnera manus intulerat, accepit. Atque ille quidem prae vulneris dolore effeminate admodum lugens, manu ad ſe revocata, deinceps vim inferre deſtitit: ego vero digitorum vulnus animadvertiſſe diſſimulans, vimque mihi illatam conquerens, templum clamore complevi.

II. Quonam tandem graſſatorum violentiam fugiemus?

μωμεν; ἐπὶ τίνα θεῶν μετὰ τὴν Ἄρτεμιν; ἐν αὐτοῖς τυπτόμεθα τοῖς ἱεροῖς, ἐν τοῖς τῆς αὐλαίας παιόμεθα χωρίοις. ταῦτα ἐν ἐρημίαις μόναις γίνεται, ὅπου μηδ' εἷς μάρτυς μηδ' ἄνθρωπός τις. σὺ δὲ αὐτῶν ἐν ὄψει τυραννεῖς τῶν θεῶν. καὶ τοῖς μὲν πονηροῖς αἱ τῶν ἱερῶν ἀσφάλειαν διδόασι καταφυγήν· ἐγὼ δὲ μηδένα ἀδικήσας, ἱκέτης δὲ τῆς Ἀρτέμιδος γενόμενος, τύπτομαι παρ' αὐτῷ τῷ βωμῷ, βλεπούσης, οἴμοι, τῆς θεοῦ. ἐπὶ τὴν Ἄρτεμιν αἱ πληγαί. καὶ οὐ μέχρι πληγῶν ἡ παροινία, ἀλλὰ καὶ ἐπὶ τῶν προσώπων τις λαμβάνει τραύματα ὡς ἐν πολέμῳ καὶ μάχῃ, καὶ μεμίανται μὲν τὸ ἔδαφος ἀνθρωπίνῳ αἵματι. τοιαῦτα σπένδει τίς τῇ θεῷ; οὐ βάρβαροι τοῦτο καὶ Ταῦροι, καὶ ἡ Ἄρτεμις ἡ Σκυθῶν; ὁ παρ' ἐκείνοις μόνοις ναὸς οὕτως αἱμάσσεται. τὴν Ἰωνίην Σκυθίην πεποίηκας, καὶ ἐν

Quos poſt Dianae numen Deos adibimus? Ipſis in templis vapulamus: ante religioſiſſimas Deorum aras plagae nobis imponuntur. Atqui deſertis tantum in locis, ubi nulli adſint teſtes, facinora huiuſmodi committi ſolent: tu vero coram Diis ipſis regiam poteſtatem exerces. Cumque auguſtae Deorum aedes ſontibus praeſidio eſſe conſueverint; ipſe innocens ac ſupplex, me miſerum, ante aras, ipſa vidente Dea, vulnus accepi. Iam vero quis percuſſiones iſtas Dianae illatas fuiſſe neget? quamquam non iis quidem contenta fuit huius ebrietas; ſed etiam vulnera, qualia in bello atque pugna inferuntur, intulit, humanoque pavimentum ſanguine foedavit. At vero quis Epheſiae unquam Dianae hoc pacto ſacrificavit? Barbarorum ac Taurorum huiuſmodi quidem certe inſtitutum eſt. Apud Scythas Dianae templum eſt: apud quos ſolos Deae huius altaria humano cruore conſpergi receptum eſt. Tu autem, Ionia ut Scythia eſſet, Epheſique idem, qui in Tau-

Ἐφέσῳ ῥεῖ τὰ ἐν Ταύροις αἵματα. λαβὲ καὶ ξίφος κατ᾽ ἐμοῦ. καίτοι τί δέῃ σιδήρου; τὰ τοῦ ξίφους πεποίηκεν ἡ χείρ. ἀνδροφόνος αὐτὴ καὶ μιαιφόνος δεξιὰ τοιαῦτα δέδρακεν, οἷα ἐκ φόνου γίνεται.

γ'. Ταῦτα μὲν βοῶντος, ὄχλος συνεῤῥύει [1] τῶν ἐν τῷ ἱερῷ παρόντων· οὗτος ἐκάκιζον αὐτόν. καὶ ὁ ἱερεὺς αὐτός· Οὐκ αἰσχύνῃ, τοιαῦτα ποιῶν οὕτως φανερῶς καὶ ἐν τῷ ἱερῷ; Ἐγὼ δὲ τεθαῤῥηκὼς, ταῦτα ἔφην· Ὦ ἄνδρες, πέπονθα, ἐλεύθερός τε ὢν, καὶ πόλεως οὐκ ἀσήμου, ἐπιβουλευθεὶς μὲν εἰς τὴν ψυχὴν ὑπὸ τούτου, σωθεὶς δὲ ὑπὸ τῆς Ἀρτέμιδος, ἣ τοῦτον ἀπέφηνε συ-

rica insula, cruor manaret, effecisti. Quin igitur gladium etiam in me stringis? quamquam quid ferro opus est, cum gladii munere manus fungatur? cruenta enim & caedibus assueta dextera tua id nunc patravit, quod in occisionibus fieri consuevit.

III. Haec dum ego lamentarer, ab iis, qui in templo erant, concursus ad me factus est: ac nonnulli ex iis hominem increpare coeperunt: quin etiam sacerdos ipse: Non te, inquit, tam aperte haec, in templo praesertim, facere pudet? Quam ob causam ego iam confirmato animo: Hoc equidem, inquam, pacto, viri Ephesii, acceptus sum homo liber, & non obscurae urbis civis. Ab isto enim vitae summum in discrimen adductus perieram plane, nisi patefactis tandem facinorosi hominis calumniis me praesenti suo numine atque auxilio de manibus eius Diana

1 Ὄχλος συνεῤῥύει) Editio prior, cum Anglicano, ὄχλος συνεῤῥύηκεν ἐν τῷ ἱερῷ, οὕτως ἐκάκιζον αὐτόν. In melioribus, ut Florentino, & Regiis, ὄχλος συνεῤῥύη τῶν παρόντων ἐν τῷ ἱερῷ. Legendum mox, οὗτος ἐκάκιζον αὐτόν. Id est, οὗτος ὁ ὄχλος, τὸν Θέρσανδρον ἐκάκιζον. Ἐκάκιζον porro pro ἐκάκιζε, quia vox ὄχλος habet significationem multitudinis. Qua locutione nihil esse tritius Graecis, sciunt Graece periti. Male omnes libri, οὕτως ἐκάκιζον αὐτόν. Posset etiam, οὗτοι ἐκάκιζον αὐτόν. Nempe, οἱ παρόντες.

κοφάντην. καὶ νῦν προελθεῖν με δεῖ, καὶ ἀπονίψασθαι τὸ πρόσωπον ἔξω· μὴ γὰρ ἔνδον τοῦτο ποιήσαιμι ἔγωγε, μὴ καὶ τὸ ἱερὸν ὕδωρ τῷ τῆς ὕβρεως αἵματι μιανθῇ. Τότε μὲν δὴ μόλις ἑλκύσαντες αὐτὸν, ἐξάγουσι τοῦ ἱεροῦ. τοσοῦτον δὲ εἶπεν ἀπιών· Ἀλλὰ τὸ μὲν σὸν ἤδη κέκριται, καὶ ὅσον οὐδέπω πείσῃ δίκην. τὸ δὲ τῆς ψευδοπαρθένου ταύτης ἑταίρας ἡ σύριγξ τιμωρήσεται.

δ΄. Ὡς δὲ ἀπηλλάγη ποτὲ, κἀγὼ ἐξελθὼν ἐκάθηρα τὸ πρόσωπον. Τοῦ δὲ δείπνου καιρὸς ἦν, καὶ ὑπεδέξατο ἡμᾶς ὁ ἱερεὺς μάλα φιλοφρόνως. ἐγὼ δὲ εἰς τὸν Σώστρατον ὀρθοῖς τοῖς ὀφθαλμοῖς ἰδεῖν οὐκ ἠδυνάμην, συνεὶς οἷα αὐτὸν διετεθείκειν. καὶ ὁ Σώστρατος δὲ τὰς τῶν ὀφθαλμῶν ὁρῶν ἀμύξεις τῶν ἐμῶν, ἃς ἔτυχον ὑπ᾽ αὐτοῦ παθὼν, ἀντῃσχύνετό με βλέπειν· καὶ ἡ Λευκίππη δὲ τὰ πολλὰ εἰς γῆν ἔβλεπεν. καὶ ἦν ὅλον

eripuisset. Nunc mihi e templo exire, faciemque abluere, opus est: neque enim id ego hic unquam facere ausim, ne videlicet sacri latices cruore per contumeliam effuso polluantur. Interea Thersander, cum vix e delubro nonnulli eum protruderent, huiusmodi quiddam inter abeundum solus secum locutus est: Tu quidem, quod ad caussam tuam attinet, iam damnatus es; nec multo post de te supplicium sumetur. De scorto autem isto virginitatem ementiente fistula iudicium faciet.

IV. Posteaquam ille abiit, egressus ipse faciem ablui. Cumque accumbendi iam tempus esset, a sacerdote peramanter accepti sumus. Ego vero eorum, quae in Sostratum admiseram, conscius, oculos in illum palam coniicere non audebam: quod & ipse praesentiens, me contueri pariter verecundabatur: Leucippe quoque nihil aliud, quam terram intuebatur: ita ut convivium prorsus vere-

τὸ συμπόσιον αἰδώς. προϊόντος δὲ τοῦ πότου, καὶ τοῦ Διονύσου κατὰ μικρὸν ἐξιλασκομένου τὴν αἰδῶ· ἐλευθερίας γὰρ οὗτος πατήρ· ἄρχει λόγου πρῶτος ὁ ἱερεὺς πρὸς τὸν Σώστρατον· Τί οὐ λέγεις, ὦ ξένε, τὸν περὶ ὑμᾶς μῦθον ὅστις ἐστίν; δοκεῖ γάρ μοι περιπλοκάς τινας ἔχειν οὐκ ἀηδεῖς. οἴνῳ δὲ μάλιστα πρέπουσιν οἱ τοιοῦτοι λόγοι. Καὶ ὁ Σώστρατος προφάσεως λαβόμενος ἀσμένως· Τὸ μὲν κατ᾽ ἐμὲ λόγου μέρος ἁπλοῦν, εἶπεν, ὅτι Σώστρατος ὄνομα, Βυζάντιος τὸ γένος, τούτου θεῖος, πατὴρ ταύτης. τὸ δὲ λοιπὸν, ὅπερ ἐστὶ μῦθος, λέγε, τέκνον Κλειτοφῶν, μηδὲν αἰδούμενος. καὶ γὰρ εἴ τι μοὶ συμβέβηκε λυπηρὸν, μάλιστα μὲν οὖν οὐ σόν ἐστιν, ἀλλὰ τῆς τύχης. ἔπειτα τῶν ἔργων παρελθόντων [1] ἡ διήγησις τὸν οὐκ ἔτι πάσχοντα ψυχαγωγεῖ μᾶλλον, ἢ λυπεῖ.

cundum eſſet. Tandem, procedente potu, Bacchoque pudorem ſenſim amovente, is enim libertatis auctor eſt, primus ad Soſtratum converſus ſacerdos: Quin igitur, inquit, o hoſpes, rerum veſtrarum, cuiuſmodi tandem eae ſint, ſeriem narras? mihi ſane non inſuaves quaſdam ambages continere in ſe videtur: praeterea vino ſermones huiuſmodi maxime conveniunt. Tum Soſtratus, loquendi occaſione illinc ſumta: Quod quidem, inquit, ad me attinet, leve admodum eſt. Soſtrato mihi eſt nomen, patria Byzantium, atque adoleſcentis quidem iſtius patruus, puellae autem pater ſum. Cetera, utut ſunt, tu, mi Clitophon, metu omni prorſus abiecto, effare. Nam ſi quid mihi acerbi evenit, non tibi, ſed fortunae tribuendum eſt. Ad haec, praeteritorum malorum commemoratio tantum abeſt, ut eum, qui evaſit, moerore afficiat, ut etiam vehementer oblectet.

1 Παρελθόντων) Vulgo: προελθόντων, quod, praeeuntibus libris ipſoque ſenſu iubente, correximus in παρελθόντων. Ad ſenſum Virgil. Aen. I, 217: *forſan & haec olim meminiſſe iuvabit.*

έ. Κἀγὼ πάντα τὰ κατὰ τὴν ἀποδημίαν τὴν ἀπὸ Τύρου διηγοῦμαι, τὸν πλοῦν, τὴν ναυαγίαν, τὴν Αἴγυπτον, τοὺς βουκόλους, τῆς Λευκίππης τὴν ἀπαγωγὴν, τὴν παρὰ τῷ βωμῷ πλαστὴν γαστέρα, τὴν Μενελάου τέχνην, τὸν ἔρωτα τοῦ στρατηγοῦ, καὶ τὸ Χαιρέου φάρμακον, τὴν τῶν λῃστῶν ἁρπαγὴν, καὶ τὸ τοῦ μηροῦ τραῦμα, καὶ ἔδειξα τὴν οὐλήν. ἐπεὶ δὲ κατὰ τὴν Μελίττην ἐγενόμην, ἐξῆρον τὸ πρᾶγμα ἐμαυτοῦ πρὸς σωφροσύνην μεταποιῶν, καὶ οὐδὲν ἐψευδόμην· τὸν Μελίττης ἔρωτα, καὶ σωφροσύνην τὴν ἐμὴν, ὅσον ἐλιπάρησε χρόνον, ὅσον ἀπέτυχεν, ὅσα ἐπηγγείλατο, ὅσα ὠδύρετο· τὴν ναῦν διηγησάμην, τὸν εἰς Ἔφεσον πλοῦν, καὶ ὡς ἄμφω συνεκαθεύδομεν, καὶ, μὰ ταύτην τὴν Ἄρτεμιν, ὡς ἀπὸ γυναικὸς ἀνέστην γυνή· ἓν μόνον παρῆκα τῶν ἐμαυτοῦ δραμάτων, τὴν μετὰ ταῦτα πρὸς Μελίττην αἰδώ. ἐπεὶ καὶ τὸ δεῖπνον εἶπον, καὶ ὡς ἐμαυ-

V. Tum ego, quae mihi poſtea, quam Tyro profugi, evenerunt, ſingula ordinatim recenſui, navigationem ſcilicet, naufragium, Aegyptum, paſtores, Leucippes raptum, fictum apud aram uterum, Menelai calliditatem, amorem ductoris militum, Chaereae medicinam, piratarum rapinam, vulnus femoris, cuius tum quoque cicatricem oſtendi. Ubi vero ad Meliten ventum eſt, quaecunque mihi agere contigit, quanta maxima potui modeſtia, mendacioque nullo penitus intermixto, narravi. Ac primum quidem Melites amorem, continentiamque meam: deinde quamdiu me illa oraverit, quamdiu illam ipſe lactaverim: tum quaecunque locuta, quaecunque conqueſta eſt omnia: praeterea quae in navi, dum Alexandria Epheſum proficiſceremur, acta ſunt, nempe ut ſimul ambo cubueramus, egoque ab illa, per Dianam! tanquam a muliere mulier, ſurrexeram: poſtremo meam omnem erga illam obſervan-

τοῦ κατεψευσάμην. καὶ μέχρι τῆς θεωρίας τὸν λόγον συνεπέρανα. καὶ, τὰ μὲν ἐμὰ ταῦτα, ἔφην. τὰ δὲ Λευκίππης τῶν ἐμῶν μείζονα. πέπραται, δεδούλευκεν, γῆν ἔσκαψεν, σεσύληται τῆς κεφαλῆς τὸ κάλλος. τὴν κουρὰν ὁρᾷς. καὶ καθ᾽ ἕκαστον ὡς ἐγένετο διεξῄειν. κἂν τῷδε κατὰ τὸν Σωσθένην καὶ Θέρσανδρον γενόμενος, ἐξῇρον καὶ τὰ αὐτῆς ἔτι μᾶλλον ἢ τἀμὰ, ἑτέρως αὐτῇ χαριζόμενος ἀκούοντος τοῦ πατρός· ὡς πᾶσαν αἰκίαν ἤνεγκεν εἰς τὸ σῶμα καὶ ὕβριν, πρὶν μιᾶς· ὑπὲρ δὲ ταύτης τὰς ἄλλας πάσας ὑπέστη· καὶ ἔμεινε, πάτερ, τοιαύτη μέχρι τῆς παρούσης ἡμέρας, οἵαν αὐτὴν ἐξέπεμψας ἀπὸ Βυζαντίου. καὶ οὐκ ἐμὸν τοῦτο ἐγκώμιον, ὅτι φυγὴν ἑλόμενος οὐδὲν ἔδρασα, ὑπὲρ ὧν ἔφυγον· ἀλλ᾽ αὐτῆς, ὅτι καὶ ἐν μέσοις λῃσταῖς ἔμεινε

tiam, coenam item, falſamque mei accuſationem, & cetera omnia ad Soſtrati uſque adventum perſpicue ac diligenter, unico tantum facto meo praetermiſſo, exſecutus ſum. Atque: Haec quidem, inquam, de me quae dicerem, habui. Leucippes autem facta meis multo maiora ſunt: ſervivit enim, terram fodit, capitis decus, id quod tonſura ipſa declarat, amiſit. Unumquodque deinde, ſicuti actum fuerat, ita verbis extuli, ut, cum de Soſthene Therſandroque facienda eſſet mentio, accuratius longe, quam de me, omnia recenſuerim: illud etiam alioqui ſpectans, ut puellae ipſi, patre praeſertim audiente, rem gratam facerem. Aerumnas enim contumeliaſque omnes, inquam, una dumtaxat excepta, perpeſſa eſt. Et propter hanc unam, iſtas omnes ſuſtinuit, intactaque, optime pater, uti Byzantio diſceſſerat, in hanc uſque diem permanſit. Neque vero iſtud laudi mihi dari velim, qui fuga arrepta nihil eorum, ob quae fugiebam, conſecutus ſum; ſed ipſi potius, quae, inter piratas etiam, integram ſe ca-

παρθένος, καὶ τὸν μέγαν ἐνίκησε λῃστήν· Θέρσανδρον λέγω, τὸν ἀναίσχυντον, τὸν βίαιον. ἐφιλοσοφήσαμεν, πάτερ, τὴν ἀποδημίαν. ἐδίωξε γὰρ ἡμᾶς ἔρως, καὶ ἦν ἐραστοῦ καὶ ἐρωμένης φυγή· ἀποδημήσαντες γεγόναμεν ἀλλήλων ἀδελφοί. εἴ τις ἄρα ἐστὶν ἀνδρὸς παρθενία, ταύτην ἐγὼ μέχρι τοῦ παρόντος πρὸς Λευκίππην ἔχω. ἡ μὲν γὰρ ἤρα ἐκ πολλοῦ τοῦ τῆς Ἀρτέμιτος ἱεροῦ. δέσποινα Ἀφροδίτη, μὴ νεμεσήσῃς ἡμῖν ὡς ὑβρισμένη. οὐκ ἠθέλομεν ἀπάτορα γενέσθαι τὸν γάμον. πάρεστιν οὖν ὁ πατήρ· ἧκε, καὶ σὺ εὐμενὴς ἡμῖν ἤδη γενοῦ. Ταῦτα ἀκούσαντες, ὁ μὲν ἱερεὺς ἐκεχήνει, θαυμάζων ἕκαστον ἐμῶν λεγομένων· ὁ δὲ Σώστρατος καὶ ἐπεδάκρυεν, εἴ ποτε τὸ κατὰ Λευκίππην ἐγεγόνει δράμα. καὶ ἐπεί [ποτε] ἐπαυσάμην· Τὰ μὲν ἡμέτε-

ſtamque ſervavit, & piratarum omnium maximi, Therſandri ſcilicet inverecundi, atque audacis, violentiae reſtitit. Nos vero, & conſulto quidem, navigationem ſuſcepimus, pater: verum ad id amoris nimia vi compulſi fuimus, ut merito illa mutuo amantium fuga dici poſſit. Quin immo fratres ambo una in itinere facti ſumus, virginitatemque ipſi meam, ſi qua viris virginitas ineſt, impollutam adhuc, quemadmodum Leucippe, ſervo, quandoquidem ipſam quoque Dianae cultui iampridem addictam eſſe perdidiceram. At tu, o hera Venus, ne nobis tanquam neglecta ſuccenſeas. Abſente patre nuptias facere noluimus. Ille nunc hic adeſt: quare adſis tu quoque nobis iam tandem propitia. Quae cum illi audiviſſent, ſacerdos quidem prae admiratione obſtupefactus eſt: Soſtratus vero tamdiu lacrimas profudit, quamdiu de Leucippes incommodis actum fuit. Poſteaquam dicendi a me finis eſt factus: Caſus equidem, inquam ego, noſtros re-

ρα, εἶπον, ἠκούσατε· ἓν δὲ αἰτῶ κἀγὼ μαθεῖν παρὰ σου, ἱερεῦ, μόνον· τί ποτέ ἐστιν, ὃ τελευταῖον ἀπιὼν ὁ Θέρσανδρος κατὰ Λευκίππης προσέθηκε, σύριγγα εἰπών; Ἀλλὰ σύ τε, ἔφη, καλῶς ἀνήρου. καὶ γὰρ εἰδότας ἡμᾶς τὰ περὶ τὴν σύριγγα τοῖς παροῦσιν ὅμως ἁρμόσασθαι προσήκει. κἀγὼ τὸν σὸν ἀμείψομαι μῦθον εἰπών.

ϛ΄. Ὁρᾷς τοῦτο τὸ ἄλσος τὸ κατόπιν τοῦ νεώ. ἐνθάδε ἐστὶν σπήλαιον ἀπόῤῥητον γυναιξὶν, καθαραῖς δὲ εἰσελθούσαις οὐκ ἀπόῤῥητον παρθένοις. ἀνάκειται δὲ σῦριγξ, ὀλίγον ἔνδον τῶν τοῦ σπηλαίου θυρῶν. εἰ μὲν οὖν τὸ ὄργανον καὶ παρ᾽ ἡμῖν ἐπιχωριάζει τοῖς Βυζαντίοις, ἴστε ὃ λέγω. εἰ δὲ ἄρα τις ὑμῶν ἧττον ὡμίλησεν ταύτῃ τῇ μουσικῇ, φέρε καὶ οἷόν ἐστιν εἴπω, καὶ σὺν ταύτῃ τοῦ Πανὸς πάντα μῦθον. Ἡ σῦριγξ αὐλοὶ μέν εἰσι πολλοὶ, κάλαμοι δὲ τῶν αὐλῶν ἕκαστος. αὐλοῦσι δὲ

censui omnes: nunc unum ipse quoque, o sacerdos, audire pervelim: nempe quid illud sit, quod postremo abiens Thersander Leucippae interminatus est, fistulae mentione facta. Tum ille: Recte sane, inquit, rogas. Aequum enim est, ut, qui rem hanc, uti se habet, scimus, vos edoceamus. Ego vero parem tibi me gratiam relaturum esse promitto.

VI. Videsne igitur, inquit ille, nemus post templum? In eo spelunca est, mulieribus quidem inaccessa: virginibus autem nequaquam. Paulo intra eius ostium fistula suspensa est: quod instrumenti genus si apud vos Byzantios in usu est, iam, quid dicam, intelligitis: sin autem e vobis aliquis est in hisce musicis minus versatus, ei ego, quale id sit, Panisque omnem etiam fabulam, quatenus ad id pertinet, enarrabo. Fistula pluribus e tibiis compacta est: quae singulae singulis ex arundinibus con-

οἱ κάλαμοι πάντες, ὥσπερ αὐλὸς εἷς. σύγκεινται δὲ στιχηδὸν ἄλλος ἐπ᾽ ἄλλον ἡνωμένος. τὸ πρόσωπον ἰσοστάσιον καὶ τὸ νῶτον. καὶ ὅσοι εἰσὶ τῶν καλάμων βραχὺ μικρῷ λειπόμενοι, τούτων μείζων ὁ μετὰ τοῦτον [1],

ſtant. Atque arundines ipſae omnes perinde ac tibia una ſonum edunt: inter ſeque ita collocatae ſunt, ut altera alteri ordinatim adhaereat. Facies anterior poſteriori ſimilis habetur. Quoniam autem arundinum aliam alia excedit, illud ſcire oportet, altero ex capite quanto pri-

1 Λειπόμενοι τούτων, μείζων ὁ μετὰ τοῦτον) Haec verba hic inſeruimus ex veteribus libris, quae non habentur in editione. Sed nec in Anglicano hoc loco comparent. Exſtant quidem paulo poſt, linea ſequenti. Et videntur inde poſſe abeſſe. Locus omnino perturbatior. Sic legitur in Anglicano, ut in editis: καὶ ὅσοι εἰσὶ τῶν καλάμων βραχὺ μικρῷ λειπόμενοι τούτων, καὶ ἐπὶ τῷ δευτέρῳ τοσοῦτον, ὅσον τοῦ δευτέρου, καὶ μείζων ὁ μετὰ τοῦτον· τρίτος καὶ κατὰ λόγον. οὕτως ὁ λοιπός. In editis tamen alia eſt interpunctio in his ultimis, καὶ μείζων ὁ μετὰ τοῦτον τρίτος, καὶ κατὰ λόγον. Verba haec ita ſcripta, ut ea exhibent Palatinus & Anglicanus, vix ſenſum habent. Ideo in melioribus libris poſt illa, λειπόμενοι τούτων, ſequuntur iſta, μείζων ὁ μετὰ τοῦτον. Quae voces cum paulo poſt repetantur, videntur ſuo loco haud poſitae, ac ex ea ſede in iſtam transferendae. Sic igitur totus locus conſtituendus & ordinandus, mutatis interpunctionibus: καὶ ὅσοι εἰσὶ τῶν καλάμων βραχὺ μικρῷ λειπόμενοι, τούτων μείζων ὁ μετὰ τοῦτον, καὶ ἐπὶ τῷ δευτέρῳ τοσοῦτον ὅσον τοῦ δευτέρου μείζων ὁ τρίτος, καὶ κατὰ λόγον οὕτως ὁ λοιπὸς τῶν καλάμων χορός. Incipit in fiſtula deſcribenda a minimis calamis, & procedit ad maiores. Contra alii auctores a maioribus incipiunt, & progrediuntur ad minimos. Pollux: Σύριγξ, αὐλοὶ πολλοὶ, ἕκαστος κατὰ μικρὸν ὑφ᾽ ἑκάστῳ ὑπολήγοντες εἰς τὸν ἐλάχιστον ἀπὸ τοῦ μεγάλου. Tibullus:

Fiſtula cui ſemper decreſcit arundinis ordo.

Tatius hic dicit, fiſtulae ſemper accreſcere ordinem arundinis. *Quaecunque*, inquit, *arundinum paulo ceteris breviores ſunt, in his maior eſt, quae ſequitur, id eſt, quae ſecundo loco eſt, longior eſt, quam quae primo. Et quae poſt ſecundam ſequitur, in tantum longior eſt, quam tertia ſecunda maior habetur.* Hoc ſonant Graeca verba, ut & ſupra propoſuimus. Nondum tamen ſatis ſana videntur. Quid eſt enim dicere, qui poſt ſecundum eſt calamus, tanto longior eſt ſecundo, quantum tertius ſecundum magnitudine ſuperat? Nonne ὁ ἐπὶ τῷ δευτέρῳ idem, quod ὁ τρίτος κάλαμος; Idem eſt igitur, ac ſi dixiſſet, tertius calamus in tantum longior eſt ſecundo, quantum ſecundus eſt brevior tertio. Quod eſt ineptum. Sic igitur pu-

καὶ ἐπὶ τῷ δευτέρῳ τοσοῦτον, ὅσον τοῦ δευτέρου μείζων ὁ μετὰ τοῦτον τρίτος, καὶ κατὰ λόγον οὕτως ὁ λοιπὸς τῶν καλάμων χορὸς ἕκαστον τοῦ πρόσθεν ἶσον ἔχων [1], τὸ δὲ ἔσω μέσον ἐστὶ τῷ περιττῷ. αἴτιον δὲ τῆς τοιαύτης τάξεως, ἡ τῆς ἁρμονίας διανομή. τὸν μὲν γὰρ ὀξύτατον ἄνω, καὶ ὅσον εἰς τὸ κάτω πρῶτον βαρὺ,

mam ſecunda ſuperat, tanto ſecundam a tertia ſuperari, ceteraſque deinceps proportionem eandem ſequi: ex altero vero capite aequales illas inter ſe omnes eſſe: quae omnium media eſt, ea longiore dimidio minor eſt. Eo autem ordine diſpoſitae arundines fuerunt, ut aequalis effici concentus poſſet. Nam cum acutiſſimus ſonus in ſublime admodum feratur, graviſſimus autem contra depri-

to diſtinguendum: καὶ ὅσοι εἰσὶ τῶν καλάμων μικρῷ λειπόμενοι, τούτων μείζων ὁ μετὰ τοῦτον, καὶ ἐπὶ τῷ δευτέρῳ τοσοῦτον, ὅσον τοῦ δευτέρου μείζων ὁ τρίτος. Ubi poteſt etiam legi, ὅσον ὁ τοῦ δευτέρου μείζων ὁ μετὰ τοῦτον τρίτος. Quae repetitio non eſt ingrata. Idem eſt igitur, ac ſi dixiſſet, & poterat quidem ita brevius haec concipere, τούτων μείζων ὁ μετὰ τοῦτον δεύτερος, τοσοῦτον ὅσον τοῦ δευτέρου μείζων ὁ μετὰ τοῦτον τρίτος. Turbant tamen adhuc illa ἐπὶ τῷ δευτέρῳ, quae accipi poſſunt pro tertio, id eſt, pro eo, qui poſt ſecundum eſt, vel a ſecundo. Alias, ut ea hic accipimus, qui poſt primum ſequitur, ὁ μετὰ πρῶτον, is eſt, qui ἐπὶ δευτέρῳ, hoc eſt, ἐν τῷ δευτέρῳ τόπῳ. Sed hoc durum eſt. Omnino puto corrupiſſe locum imperitos, cum ſcripſiſſet auctor ἐπιδεύτερος, hoc modo: τούτου μείζων ὁ μετὰ τοῦτον, καὶ ἐπιδεύτερος. Sic ſupra locum corruperant, ἐπιδεύτερα φερόμενοι, proque eo repoſuerant, ἐπὶ τὰ δεύτερα. Recte interpres reddidit, *altero ex capite quanto primam ſecunda ſuperat, tanto ſecundam a tertia ſuperari, ceteraſque deinceps proportionem eandem ſequi.*

1 Ἕκαστον τοῦ πρόσθεν ἶσον ἔχων) Editio Palatina cum Anglicano Codice, ἶσον ἔχει. Ceteri ἔχων. Parum refert, utram ſequaris. Sed non minimum, ut ἄνισον legatur, pro ἶσον, ita ſententia loci flagitante. Dicit, ita compoſitos eſſe calamos fiſtulae, ut ſemper longior ſequatur breviorem. Tanto enim longiorem eſſe ſecundum primo, quantum tertius longior eſt ſecundo. Deinde addit, καὶ κατὰ λόγον οὕτως ὁ λοιπὸς τῶν καλάμων χορὸς ἕκαστον τοῦ πρόσθεν ἄνισον ἔχων. Si enim ſecundus longior primo, ſecundo tertius, quomodo iuxta hanc proportionem fiſtula ſingulos inter ſe habere calamos pares poſſit? Immo diſpares. Ergo legendum, ἕκαστον ἄνισον ἔχων τοῦ πρόσθεν, non ἶσον.

κατὰ κέρας ἑκάτερον ὁ ἄκρος ἔλαχεν αὐλός· τὰ δὲ μεταξὺ τῶν ἄκρων τοῦ ῥυθμοῦ διαστήματα· πάντες οἱ μεταξὺ κάλαμοι ἕκαστος ἐπὶ τὸν πέλας τὸ ὀξὺ καταφέρων ἐς τὸ τελευταῖον συνάπτει βαρεῖ[1]. *ὅσα δὲ ὁ τῆς Ἀθηνᾶς αὐλὸς ἐντὸς λαλεῖ, τοσαῦτα καὶ ὁ τοῦ Πανὸς ἐν τοῖς στόμασιν αὐλεῖ. ἀλλ' ἐκεῖ μὲν οἱ δάκτυλοι κυβερνῶσι τὰ αὐλήματα· ἐνταῦθα δὲ τοῦ τεχνίτου τὸ στόμα μιμεῖται τοὺς δακτύλους. κἀκεῖ μὲν κλείσας ὁ αὐλητὴς τὰς ἄλλας ὀπὰς, μίαν ἀνοίγει μόνην, δι' ἧς τὸ πνεῦμα καταῤῥεῖ· ἐνταῦθα δὲ τοὺς μὲν ἄλλους ἐλευθέρους ἀφῆκεν καλάμους, μόνον δὲ τὸ χεῖλος ἐπιτίθησιν, ὃν ἂν ἐθέλῃ μὴ σιωπᾶν. μεταπηδᾷ τε ἄλλοτε ἐπ' ἄλλον, ὅπου ποτ' ἂν εἴη τοῦ κρούματος ἡ ἁρμονία κα-*

matur, amboque extremas arundines, alter alteram ſcilicet, ſortiti ſint, interiacentes alias, quae vocum intervalla moderarentur, conſtitui neceſſe fuit. Illae enim ſonos impares, ſed tamen pro rata portione diſtinctos nactae, acutaque cum gravibus temperantes, in cauſa ſunt, ut extremae inter ſe congruant ſic, uti aequalis demum concentus efficiatur. Porro fiſtula haec, ſi ori eam quis admoveat, eadem prorſus, quae Palladis tibia, refert: verum hic digiti modos temperant, illic os manum imitatur: hic tibicen foramina omnia, uno dumtaxat excepto, per quod ſpiritus exeat, obturat; illinc arundines alias omnes liberas relinquit, uni tantum, quam quidem ſonum edere velit, os admovet: qua deinde omiſſa, ad aliam atque aliam, prout ad ſuaviorem cantum edendum

1 Ἐς τὸ τελευταῖον συνάπτει βαρεῖ) Ita edidimus, ut etiam eſt in editione, quamvis eam lectionem cenſeamus corruptam. Scripti Codices habent omnes, *ἐς τὸν τῷ τελευταίῳ συνάπτει βαρεῖ.* Ex quo faciendum putarim, *ἔς τε τῷ τελευταίῳ συνάπτει βαρεῖ, donec ultimo acuto ea intervalla ſonorum connectat*; vel etiam, *ἐς τ' ἂν τῷ τελευταίῳ συνάπτῃ βαρεῖ.*

λή. οὕτως αὐτῷ περὶ τοὺς αὐλοὺς χορεύει τὸ στόμα. Ἦν δὲ ἡ σύριγξ, οὔτε αὐλὸς ἀπ᾽ ἀρχῆς, οὔτε κάλαμος· ἀλλὰ παρθένος εὐειδὴς οἵαν εἶχεν κρίνειν. ὁ Πὰν οὖν ἐδίωκεν αὐτὴν δρόμον ἐρωτικὸν, τὴν δὲ ὕλη τις δέχεται δασεῖα φεύγουσαν. ὁ δὲ Πὰν κατὰ πόδας εἰσθορῶν, ὤρεγε τὴν χεῖρα ὡς ἐπ᾽ αὐτήν. καὶ ὁ μὲν ᾤετο τεθηρακέναι, καὶ ἔχεσθαι τῶν τριχῶν· καλάμων δὲ κόμην εἶχεν ἡ χείρ. τὴν μὲν γὰρ εἰς γῆν καταδῦναι λέγουσιν· καλάμους δὲ τὴν γῆν ἀντ᾽ αὐτῆς τεκεῖν· τέμνει δὲ τοὺς καλάμους ὑπὸ ὀργῆς ὁ Πὰν, ὡς κλέπτοντας αὐτοῦ τὴν ἐρωμένην. ἐπεὶ δὲ μετὰ ταῦτα οὐκ εἶχεν εὑρεῖν, εἰς τοὺς καλάμους δοκῶν λελύσθαι τὴν κόρην, ἔκλαιε τὴν τομὴν, νομίζων τεθνηκέναι τὴν ἐρωμένην. συμφορήσας οὖν τὰ τετμημένα τῶν καλάμων ὡς μέλη τοῦ σώματος, καὶ συνθεὶς εἰς ἓν σῶμα, εἶχε διὰ χειρῶν τὰς τομὰς τῶν καλάμων καταφιλῶν, ὡς τῆς κόρης

fieri par eſt, tranſilit. Eoque pacto circum arundines ei os tripudiat. Ac fuit quidem tempus, cum fiſtula haec neque tibia, neque arundo erat, ſed virgo, ſupra quam quis iudicare poſſit, formoſa: quae cum ſui amore captum Panem Deum fugeret, denſiſſimam in ſilvam ſeſe recepit. Pan vero veſtigiis conſecutus, puellae manum tandem iniecit: cumque capillis comprehenſam illam tenere ſe arbitraretur, arundinum pro coma frondes apprehendiſſe comperit, quas abſorptae terrae diſceſſu puellae loco enatas aiunt. Has igitur, utpote quae amicam ſibi ſuam eripuiſſent, irae impotentia devictus, ſuccidit. Verum puella, quam in arundines mutatam putabat, minime inventa, facti conſcientia commotus, quod amicam leto ſe dediſſe crederet, ingemuit, diſſectaſque arundines, tanquam virginis membra eſſent, colligens, atque in unum componens, manibus continere, ac diſſuaviari perrexit. Ita

τραύματα. ἔστενε δ' ἐρωτικὸν ἐπιθεὶς τὸ στόμα, καὶ ἐνέπνει ἄνωθεν εἰς τοὺς αὐλοὺς ἅμα φιλῶν. τὸ δὲ πνεῦμα διὰ τῶν ἐν τοῖς καλάμοις στενωπῶν καταῤῥέον, αὐλήματα ἐποίει, καὶ ἡ σύριγξ εἶχε φωνήν. Ταύτην οὖν τὴν σύριγγά φασι ἀναθεῖναι μὲν ἐνθάδε τὸν Πᾶνα, περιορίσαι δὲ εἰς σπήλαιον αὐτὴν, θαμίζειν τε αὐτὸν τῇ σύριγγι, καὶ συνήθως αὐλεῖν. χρόνῳ δὲ ὕστερον χαρίζεται τὸ χωρίον τῇ Ἀρτέμιδι, συνθήκας ποιησάμενον πρὸς αὐτὴν, μηδεμίαν ἐκεῖ καταβαίνειν γυναῖκα. ὅταν οὖν αἰτίαν ἔχῃ τις οὐκ εἶναι παρθένον, προπέμπει μὲν αὐτὴν ὁ δῆμος μέχρι τῶν τοῦ σπηλαίου θυρῶν· δικάζει δὲ ἡ σύριγξ τὴν δίκην. ἡ μὲν γὰρ παῖς εἰσέρχεται κεκοσμημένη μόνῃ στολῇ [1] τῇ νενομισμένῃ, ἄλλος δὲ ἐπικλείει τὰς τοῦ σπηλαίου θύρας. κἂν μὲν ᾖ παρθέ-

dum amatorie lamentatur, ipſiſque arundinum ſectionibus, quaſi puellae vulneribus, ſuſpirans oſcula infert, ſpiritus calamos intravit, perque anguſtias eorum means ſonum edidit: atque hoc pacto fiſtula vocem nacta eſt: quam deinceps a Pane in ſpelunca illa collocatam concluſamque fuiſſe, Deum autem ipſum illo frequenter venire, ac de more canere ſolitum, conſtans fama eſt. Per tempora vero poſteriora gratiam a Diana ſe inituros arbitrati regionis huiuſce incolae, fiſtulam ei conſecraverunt, pactione facta, non niſi virgines ad eam deſcendere ſe paſſuros. Quamobrem cum in violati pudoris ſuſpicionem virgo aliqua venit, eam populus ad ſpeluncae uſque fores comitatur, ut fiſtulae iudicium ſubeat. Quod quidem huiuſmodi eſt. Nam quae ſtupri ſuſpecta eſt, ſtolam ad id rite comparatam induta in antrum deſcendit. Cuius poſtes ab uno aliquo ſtatim obſerantur: ac tum quidem, ſi ea virgo adhuc ſit, dulcis

1 Μόνῃ στολῇ) Μόνῃ ortum videtur e fine antec. κεκοσμημένη· vel ita tranſponendum: εἰσέρχεται μόνη, κεκοσμ.

νος, λιγυρόν τι μέλος ἀκούεται καὶ ἔνθεον, ἤτοι τοῦ τόπου πνεῦμα ἔχοντος μουσικὸν εἰς τὴν σύριγγα ταμεῖον, ἢ ταχα καὶ ὁ Πὰν αὐτὸς αὐλεῖ. μετὰ δὲ μικρὸν αὐτόμαται μὲν αἱ θύραι ἀνεῴχθησαν τοῦ σπηλαίου· ἐκφαίνεται δὲ ἡ παρθένος ἐστεφανωμένη τὴν κεφαλὴν πίτυος κόμαις. ἐὰν δὲ ᾖ τὴν παρθενίαν ἐψευσμένη, σιωπᾷ μὲν ἡ σύριγξ, οἰμωγὴ δέ τις ἀντὶ μουσικῆς ἐκ τοῦ σπηλαίου πέμπεται, καὶ εὐθυς ὁ δῆμος ἀπαλλάττεται, καὶ ἀφίησιν ἐν τῷ σπηλαίῳ τὴν γυναῖκα. τρίτῃ δὲ ἡμέρᾳ παρθένος ἱέρεια τοῦ τοπου παρελθοῦσα, τὴν μὲν σύριγγα εὑρίσκει χαμαὶ, τὴν δὲ γυναῖκα οὐδαμοῦ. Πρὸς ταῦτα παρασκευασασθαι πῶς ἂν αὐτοὶ σχῆτε τύχης, καὶ σύνετε. εἰ μὲν γάρ ἐστι παρθένος, ὡς ἔγωγε βουλοίμην, ἄπιτε χαίροντες τῆς σύριγγος τυχόντες εὐμενοῦς· οὐ γὰρ ἄν ποτε ψεύσαιτο τὴν κρίσιν· εἰ δὲ μὴ, αὐτοὶ γὰρ ἴστε οἷα εἰκὸς

quidam ac paene divinus ſonus exauditur: ſive quod canorum ſpiritum intra calamos reconditum locus ille habeat, ſive quod Pan forte ipſe canat. Nec multo poſt antri valvae ſponte recluduntur, virgoque pineis frondibus redimita conſpicitur. Si autem virginem ſe mentita fuerit, pro fiſtulae cantu fletum quendam ſpelunca emittit. Populus itaque, relicta inibi muliere, confeſtim abit: virgo autem loci eius antiſtita tertio demum die ſpeluncam ingreſſa, fiſtulam quidem humi delapſam, mulierem vero nuſquam reperit. Id vobis diſcriminis ſubeundum erit: cuius qui exitus futurus ſit, etiam atque etiam cogitate. Ac ſi viri adhuc expers Leucippe eſt, id quod ipſe ſane pervelim, alacres periculum facite, propitiam vobis fiſtulam habituri, cuius iudicium nemini unquam fraudi fuit. Sin minus; vos enim ſcire debetis, quam multa veriſimile ſit

ἐν τοσαύταις αὐτὴν ἐπιβουλαῖς γενομένην ἄκουσαν.

ζ΄. Καὶ εὐθὺς ἡ Λευκίππη πρὶν τὸν ἱερέα εἰπεῖν τὸν ἑξῆς λόγον· Ὥς γέ μοι δοκεῖ, μηδὲ εἴπῃς [1]. ἐγὼ γὰρ ἑτοίμη εἰς τὸ τῆς σύριγγος σπήλαιον εἰσελθεῖν, χωρὶς κλήσεως κατακεκλεῖσθαι. Ἀγαθὰ λέγεις, ὁ ἱερεὺς εἶπεν, καί σοι συνήδομαι ὑπὲρ σωφροσύνης καὶ τύχης. Τότε μὲν οὖν ἑσπέρας γενομένης, ἕκαστος ἡμῶν ἀπῄει κοιμηθησόμενος, ἔνθα ὁ ἱερεὺς παρεσκεύασεν. ὁ Κλεινίας δὲ οὐκ ἦν ἡμῖν συνδειπνῶν· ὡς ἂν μὴ φορτικοὶ δοκοίημεν εἶναι τῷ ξενοδόχῳ· ἀλλ' ἔνθα καὶ τὴν

eam vel invitam pertuliſſe, cui toties in inſidiatorum manus devenire contigit.

VII. Tum Leucippe, antequam coeptum ſermonem ſacerdos finiret: Atqui quod ad me, inquit, attinet, ne ſollicitus ſis: ego enim fiſtulae antrum promte ingrediar, atque illud nullo adiutore concludetur. Eſt id mihi, inquit ſacerdos, periucundum: tuamque tibi continentiam & felicitatem gratulor. Sed cum iam adveſperaſſet, noſtrûm unuſquiſque, ubi ſacerdos praeſcripſerat, cubitum abiit. Clinia nobiſcum haudquaquam coenaverat, hoſpiti enim oneri eſſe nolebamus; ſed eo ſe receperat, ubi pri-

1 Ὥς γέ μοι δοκεῖ, μηδὲ εἴπῃς) Ita omnes libri. Haud ſcio, quam lectionem ſecutus ſit interpres, qui vertit: *Quod ad me attinet, ne ſollicitus ſis.* An legit, μὴ δέῃς; *Ne timeas?* Ita videtur. Sed neque haec ſcriptura, neque mens auctoris germana. Priuſquam ſermonem abſolviſſet ſacerdos de Leucippe, quae, ſi forte, in tot caſibus & accidentibus, quibus incurrerat, potuit virginitatem non retinuiſſe videri, quamvis invita, cum additurus eſſet, ὥς γέ μοι δοκεῖ· & iam fortaſſe paene verba illa enuntiaverat, εἰ δὲ μὴ, αὐτοὶ γὰρ ἴστε, οἷα εἰκὸς ἐν τοσαύταις αὐτὴν ἐπιβουλαῖς ἄκουσαν, ὥς γέ μοι δοκεῖ· cum, inquam, haec verba dimidiata pronuntiaſſet, ab ore loquentis ea excipiens, priuſquam tota effatus eſſet, Leucippe reſpondet, ὥς γέ μοι δοκεῖ, μηδὲ εἴπῃς. Ne iſtud, inquit, dixeris, quaſi videar tibi invita iacturam virginitatis perpeſſa, per tot rerum diſcrimina, quae pertuli: nam parata ſum, in ſpeluncam illam deſcendere, & probationem fiſtulae experiri, ut ſcias, me neque invitam virginitate excidiſſe.

πρόσθεν ἡμέραν, καὶ τὴν τότε. Τὸν μέν τοι Σώστρατον ἑώρων ὑποθορυβηθέντα τῷ τῆς σύριγγος διηγήματι, μὴ ἄρα τὰ τῆς παρθενίας δι᾽ αἰδῶ τὴν πρὸς αὐτὸν ψευδώμεθα. διανεύω δὲ τῇ Λευκίππῃ νεύματι ἀφανεῖ τὸν φόβον τοῦ πατρὸς ἐξελεῖν, ἐπισταμένην οἵῳ δὴ τρόπῳ μάλιστα οἴεται πείσειν. κἀκείνη δὲ ἐδόκει μοι ταὐτὸν ὑποπτεύειν, ὥστε ταχὺ μὲν συνῆκεν. διενοεῖτο δὲ καὶ πρὸ τοῦ παρ᾽ ἐμοῦ νεύματος, ὡς ἂν κοσμιώτατα προσενεχθείη τῷ πιστώματι. Μέλλουσα οὖν πρὸς ὕπνον ἀναχωρεῖν, καὶ ἀσπαζομένη τὸν πατέρα, ἠρέμα πρὸς αὐτόν· Θάῤῥει, πάτερ, ἔφη, περὶ ἐμοῦ, καὶ πίστευε τοῖς εἰρημένοις. μὰ τὴν γὰρ Ἄρτεμιν, οὐδ᾽ ἕτερος ἡμῶν οὐδὲν ἐψεύσατο. Τῇ δ᾽ ὑστεραίᾳ περὶ τὴν θεωρίαν ἦσαν ὅ τε Σώστρατος καὶ ὁ ἱερεὺς, καὶ ηὐτρεπισμέναι ἦσαν αἱ θυσίαι. παρῆν δὲ καὶ ἡ βουλὴ μεθέξουσα τῶν ἱερῶν. εὐφημίαι δὲ ἦσαν εἰς τὴν θεὰν πολλαί. καὶ ὁ Θέρ-

die quoque diverſatus. Ceterum Soſtratus, iis auditis, quae de fiſtula narrata fuerant, ſubvereri nobis viſus eſt, ne verecundia erga ſe noſtra ad mentiendam virginitatem adduceremur. Quamobrem ego puellae clam nutu indicavi, ut illum patri timorem eximeret: quo enim maxime modo id ei perſuaderet, didicerat, idemque & ipſa ſuſpicari mihi viſa fuerat. Quid enim meus ille nutus ſibi vellet, ſtatim percepit: ac iam etiam ante, quam ei annuerem, nonnulla excogitaverat, ad perſuadendum quam appoſitiſſima. Cubitum enim itura, patre ſalutato, bonoque animo eſſe iuſſo: Verbis, inquit, pater, noſtris fidem habe: nemo enim noſtrûm, ita me Diana ſervet, ulla in re mentitus eſt. Poſtridie illius diei, cum victimae in promtu eſſent, Soſtratus & ſacerdos ſacris peragendis operam impenderunt. Convenit autem etiam divinae rei particeps futura concio. Deaeque magno cum plauſu acclamatum

σανδρος· ἔτυχε γὰρ καὶ αὐτὸς παρών· προσελθὼν τῷ προέδρῳ· Πρόγραψον εἰς αὔριον, ἔφη, τὰς περὶ ἡμῶν δίκας, ἐπεὶ καὶ τὸν καταγνωσθέντα σοι χθὲς, ἤδη τινὲς ἔλυσαν, καὶ ὁ Σωσθένης ἐστὶν οὐδαμοῦ. Προγέγραπτο μὲν οὖν εἰς τὴν ὑστεραίαν ἡ δίκη. παρεσκευαζόμεθα δὲ ἡμεῖς μάλα εὐπρεπῶς ἔχοντες.

η'. Ἠκούσης δὲ τῆς κυρίας, ὁ Θέρσανδρος εἶπεν ὧδε· Οὐκ οἶδα, τίνος ἄρξομαι λόγου καὶ πόθεν, οὐδὲ τίνων κατηγορήσω πρῶτον, καὶ τίνων δεύτερον. τάτε γὰρ τετολμημένα πολλὰ ὑπὸ πολλῶν, καὶ οὐδὲν οὐδενὸς τῷ μεγέθει δεύτερον· πάντα δὲ ἀλλήλων γυμνὰ, καὶ μεθ' ὧν οὐδ' ἂν ἅψωμαι κατηγορῶν. τάτε γὰρ τῆς ψυχῆς κρατούσης, φοβοῦμαι μὴ ἀτελὴς ὁ λόγος μοι γένηται, τῆς τῶν ἄλλων μνήμης τὴν γλῶτταν ἐφ' ἕκαστον ἑλκούσης. ἡ γὰρ εἰς τὸ μήπω λεχθὲν ἔπειξις

eſt. Therſander autem, aderat enim & ipſe, in praeſidis conſpectum progreſſus: Vadimonium, inquit, nobis in craſtinum differ: quem enim tu heri damnaſti, nonnulli miſſum fecerunt, Soſtheneſque nuſquam invenitur. Itaque factum fuit. Noſque interea, ut vadimonium longe paratiores obiremus, operam dedimus.

VIII. Cuius cum dies tandem adveniſſet, Therſander hunc in modum verba fecit: Quibus utar verbis, undeve initium dicendi ſumam, quos prius, & quos poſterius accuſem, non ſatis ſcio: multa enim, & a multis audacter facta, mihi dicenda ſeſe offerunt, magnitudine inter ſe paria, & manifeſtiora, quam ut hac in accuſatione referri a me debeant. Quamquam ea, quae animus concepit, vereor ut explicare oratione poſſim, aliarum praeſertim rerum memoria linguam ad ſe trahente. Quippe dum ad illa, quae nondum dicta ſunt, oratio feſtinat, fa-

τοῦ λόγου, τὸ ὁλόκληρον τῶν ἤδη λεχθέντων παραιρεῖται. ὅταν μὲν γὰρ φονεύσωσι τοὺς ἀλλοτρίους οἰκέτας οἱ μοιχοὶ, μοιχεύσωσι δὲ τὰς ἀλλοτρίας γυναῖκας οἱ φονεῖς, λύουσιν ἡμῖν τὰς θεωρίας οἱ πορνοβοσκοὶ, τὰ δὲ σεμνότατα τῶν ἱερῶν μιαίνουσιν αἱ πόρναι. τὰς ἡμέρας δὲ λογιζόμενος, ἢ ταῖς δούλαις καὶ τοῖς δεσπόταις [1], τί δράσειέ τις ἔτι, τῆς ἀνομίας ἐμοῦ καὶ μοι-

cultatem eripi mihi ſentio, quo minus res iam ſuſceptas abſolvam. Etenim cum aliorum ſervos adulteri necent, alienas coniuges ſicarii violent, damnatos a ſuppliciis lenones eripiant, ſanctiſſima Deorum templa meretrices profanent, ſint etiam, qui ancillis heriſque diem dicant; quae

1 Τὰς ἡμέρας δὲ λογιζόμενος, ἢ ταῖς δούλαις καὶ τοῖς δεσπόταις) Haec nullus intelligo. Nec omnino interpres, qui ſic reddidit: *Sint etiam, qui ancillis heriſque diem dicant, quae adulteria, quae ſacrilegia, quas caedes, quae denique flagitia non ſibi licere quivis exiſtimet.* Non melius, haec Latina quid velint, percipio, quam Graeca. Illud tamen ſcio, Graecorum ſenſum Latinis iſtis non exprimi. Sic enim habent: τὰς ἡμέρας δὲ λογιζόμενος, ἢ ταῖς δούλαις καὶ τοῖς δεσπόταις, τί δράσειέ τις ἔτι, τῆς ἀνομίας ἐμοῦ, καὶ μοιχείας, καὶ ἀσεβείας, καὶ μιαιφονίας, κέκερασμένης. Haec corruptiſſima videntur. Nec enim quaeſtio eſt de die dicta ſervis aut ancillis, neque, ſi eſſet, ex verbis, ut poſita ſunt, ea mens eliceretur. Certum eſt quidem, ad illud reſpici, quod ſupra dictum eſt de templo Dianae, cuius ingreſſus ſolis virginibus aſylum petentibus dabatur, & ſolis viris. Mulier vero ſi quae eſſet ingreſſa ad hoc, poena mortis eam manebat, niſi ſi ancilla violentiae domini vitandae eo confugiſſet. Tum magiſtratus inter illam & dominum iudicabat. Si iniuriam feciſſe convictus eſſet herus ancillae ſuae, Deae ipſi ancilla illa adiudicabatur, nec hero reddebatur. Si inſons herus eſſet pronuntiatus, recipiebat ancillam, dato iureiurando, illius perfugii, quod ancilla expetiſſet, memorem ſe non eſſe futurum. Videndum igitur, quomodo ſint conſtituenda huius loci verba, quae ſine dubio eo alludunt. Putarem ſcriptum eſſe ab auctore: τὰ ἡμέτερα δὲ λογιζόμενος ἐν ταῖς δούλαις καὶ τοῖς δεσπόταις, τί δράσειέ τις ἔτι, τῆς ἀνομίας ὁμοῦ καὶ μοιχείας, καὶ ἀσεβείας, καὶ μιαιφονίας, κεκερασμένης. De Diis prius dixit, & quae ad eos, & eorum ſacra pertinent, violatas eſſe templorum religiones ac ſacrorum legationes. Deinde addit: quod ad noſtra attinet, quae ancillas dominoſque ſpectant, dum ea reputo, quis quid amplius ſuper ea re agere velit, aut facere, ubi iniuſtitia, adulterium, impietas, & homicidium ſimul miſceantur? Minima mutatione locum, ut puto, depravatiſſimum ſanavimus.

χείας, καὶ ἀσεβείας, καὶ μιαιφονίας κεκερασμένης. Κατεγνώκατέ τινος θάνατον· ἐφ' αἷς δή ποτ' οὖν αἰτίαις; οὐδὲν γὰρ διαφέρει· καὶ δεδεμένον εἰς τὸ δεσμωτήριον ἀπεστείλατε, φυλαχθησόμενον τῇ καταδίκῃ· οὗτος δὲ παρέστηκεν ὑμῖν, ἀντὶ τῶν δεσμῶν λευκὴν ἠμφιεσμένος στολὴν, καὶ ἐν τῇ τάξει τῶν ἐλευθέρων ἕστηκεν ὁ δεσμώτης. τάχα δὲ καὶ τολμήσει καὶ φωνὴν ἀφεῖναι, καὶ ἐπιρητορεῦσαί τι κατ' ἐμοῦ, μᾶλλον δὲ καθ' ὑμῶν καὶ τῆς ὑμετέρας ψήφου. Λέγε δὲ ὧδε τῶν προέδρων καὶ συμβούλων τὸ δόγμα. ἀκούετε καθάπερ ἐψηφίσασθε, καὶ τὴν περὶ τούτου μοι γραφήν. Ἔδοξεν ἀποθνήσκειν Κλειτοφῶντα. Ποῦ τοίνυν ὁ δήμιος; ἀπαγέτω τοῦτον λαβών. δὸς ἤδη τὸ κώνειον. ἤδη τέθνηκε τοῖς νόμοις, κατάδικός ἐστιν ὑπερήμερος. Τί λέγεις, ὦ σεμνότατε καὶ κοσμιώτατε ἱερεῦ; ἐν ποίοις ἱεροῖς

adulteria, quae facrilegia, quas caedes, quae denique flagitia non fibi licere quivis exiftimet? Unum, quaefo, aliquem vos quavis de caufa, quafi nihil referret, capitis damnaftis, atque in cuftodiam fupplicio fervatum dari iusfiftis, ut is demum candida pro vinculis ftola circumdatus, veftrum in confpectum veniret, & inter liberorum hominum ordines reus federet. Quid? quod vocem forfan etiam emittere, ac verba contra me, aut potius contra vos, fanctionefque veftras facere audebit? *Recita praefidum confiliariorumque decretum.* Auditifne, quam de ifto fententiam, me accufatore, tuliftis? Decretum quidem certe femel a vobis eft, Clitophontem morte mulctandum effe. Ubinam igitur, lictor, es? Quin hunc fublimem raptum abducis? Quin ei venenum praebes? Iam enim, quod ad leges attinet, mortuus eft, fuppliciique abiit dies. Quid vero ais tu, religiofiffime atque ornatiffime antiftes? Qua-

γέγραπται νόμοις τοὺς ὑπὸ τῆς βουλῆς καὶ τῶν πρυτανέων κατεγνωσμένους, καὶ θανάτοις καὶ δεσμοῖς παραδοθέντας, ἐξαρπάζειν τῆς καταδίκης, καὶ τῶν δεσμῶν ἀπολύειν, καὶ κυριώτερον σαυτὸν ποιεῖν τῶν προέδρων καὶ τῶν δικαστηρίων; ἀνάστηθι τοῦ θώκου, πρόεδρε, παραχώρησον τῆς ἀρχῆς αὐτῷ καὶ τοῦ δικαστηρίου· οὐκ ἔτι οὐδενὸς εἶ κύριος, οὐδὲν ἔξεστί σοι κατὰ τῶν πονηρῶν ψηφίσασθαι, καὶ σήμερον ὅ, τι δόξει λύεται. τί ἕστηκας, ἱερεῦ, σὺν ἡμῖν ὡς τῶν πολλῶν εἷς; ἀνάβηθι, καὶ κάθισον ἐν τῷ τοῦ προέδρου θρόνῳ, καὶ σὺ δίκαζε λοιπὸν ἡμῖν μᾶλλον, καὶ κέλευε τυραννικῶς, μηδὲ ἀναγινωσκέσθω σοί τις νόμος, μηδὲ γνῶσις δικαστηρίου, μηθ' ὅλως ἄνθρωπον σεαυτὸν ἡγοῦ. μετὰ τῆς Ἀρτέμιδος προσκυνοῦ. καὶ γὰρ τὴν ἐκείνης τιμὴν ἐξήρπασας. αὐτῇ μόνῃ τοὺς ἐπ' αὐτῇ καταφεύ-

nam, obſecro te, lege cautum eſt, ut, qui a concione, ſummiſque magiſtratibus, vinculis & morti addicti ſunt, a iudicum ſeveritate vindicari, & catenis exſolvi debeant? Cur maior tua ſit, quam praeſidum atque magiſtratuum poteſtas? Age iam, tuo e ſolio, Praeſes, deſcende, huicque imperium ac iudiciorum auctoritatem omnem permitte: nihil enim iuris tibi amplius in quempiam eſt: nec in ſceleſtos ac nefarios homines tibi animadvertere amplius licet. Iſte enim hodie, quem vult, abſolvit. Quid vero tu tanquam privatus aliquis inter nos ſtas? Quin potius aſcendis, atque in praeſidis ſolio ſedes, ius nobis poſthac dicturus, aut, ſi mavis, tyrannice, legum omnium atque iudiciorum auctoritate neglecta, imperaturus? Nec vero te hominem tantum puta, ſed cum Diana ipſa, cuius tibi honorem turpiter arrogaſti, aeque coli iube: ea enim ſola eſt, ad quam confugientes ad ſe, illos ſcilicet,

γοντας ἔξεστι σώζειν· καὶ ταῦτα πρὸ δικαστηρίου γνώσεως. δεδεμένον δὲ οὐδένα λέλυκεν ἡ Θεὰ, οὐδὲ θανάτῳ παραδοθέντα ἠλευθέρωσεν τῆς τιμωρίας. τῶν δυστυχούντων εἰσὶν, οὐ τῶν ἀδικούντων, οἱ βωμοί. σὺ δὲ καὶ τοὺς δεθέντας ἐλευθεροῖς, καὶ τοὺς καταδίκους ἀπολύεις. οὕτως παρευδοκίμησας καὶ τὴν Ἄρτεμιν. τίς ᾤκησεν ἀντὶ δεσμωτηρίου τὸ ἱερὸν Φονεὺς καὶ μοιχὸς παρὰ τῇ καθαρᾷ θεῷ; οἴμοι μοιχὸς παρὰ τῇ παρθένῳ· συνῆν δὲ αὐτῷ καὶ γυνή τις ἀκόλαστος, ἀποδρᾶσα τοῦ δεσπότου. καὶ γὰρ ταύτην, ὡς εἴδομεν, ὑπεδέχου, καὶ μία γέγονεν αὐτοῖς ἑστία παρά σοι καὶ συμπόσιον, τάχα δὲ καὶ συνεκάθευδες ἱερεῦ. οἴκημα τὸ ἱερὸν ἐποίησας. ἡ τῆς Ἀρτέμιδος οἰκία μοιχῶν γέγονε, καὶ πόρνης θάλαμος. ταῦτα μόλις ἐν χαμαιτυπείῳ γίνεται. Εἰς

quorum causa nondum a iudicibus cognita est, servare pertinet. Ac quamvis neminem illa unquam in custodiam datum solverit, neminem unquam morti addictum e lictorum manibus eripuerit: infelicibus enim, non impiis, Deorum arae praesidio esse consueverunt: unus tamen tu inventus es, qui reos e carceribus emitteres, damnatos absolveres. Quod quid aliud sit, quam Dianae auctoritate antecedere velle, non video. At vero quis unquam delubrum loco carceris inhabitavit? Quod nunc plane fieri constat: sicarius enim atque adulter intactam apud Deam moratur. O indignum facinus, adulterum apud virginem diversari, unaque impudicam ac fugitivam mulierem adesse! tu enim, uti vidimus, illam hospitio convivioque accepisti: nisi forte vero etiam in templo, tanquam meretricia aliqua in cella, cum ea simul cubuisti, Dianaeque fanum in adulterorum & scorti contubernium commutasti: in quo non minus inhoneste, quam scortatores lenonia aliqua in domo, cuncti versati estis. Haec mihi, quae pri-

μὲν δή μοι λόγοι κατ' ἀμφοῖν. τὸν μέν τοι ἀξιῶ τῆς αὐθαδείας δοῦναι τιμωρίαν, τὸν δὲ ἀποδοθῆναι κελεύσον τῇ καταδίκῃ. Δεύτερος δέ ἐστι μοι πρὸς Μελίττην μοιχείας ἀγὼν, πρὸς ἣν οὐδὲν δέομαι λόγων. ἐν γὰρ τῇ τῶν θεραπαίνων βασάνῳ τὴν ἐξέτασιν γενέσθαι δέδοκται. ταύτας οὖν αἰτῶ, αἳ κἂν βασανιζόμεναι φήσουσιν οὐκ εἰδέναι τοῦτον τὸν κατάδικον χρόνου πολλοῦ συνόντα αὐτῇ, καὶ ἐν ἀνδρὸς χώρᾳ, τὴν οἰκίαν τὴν ἐμὴν [1], *οὐκ ἐν μοιχοῦ μόνον, καθεστηκότα, πάσης αἰτίας αὐτὴν ἀφίημι. ἂν τοίνυν τοὐναντίον, τὴν μὲν κατὰ τὸν νόμον ἀφεῖσθαι τῆς προικὸς φημὶ δεῖν ἐμοί· τὸν*

mo loco in hosce ambos dicerem, occurrerunt. Quorum alterum audaciae ac termeritatis suae poenas daturum arbitror: alterum vos iam tandem supplicio affici iubete. Nunc ut de adulterii reà Melite verba faciam, locus postulat. Qua in re nequaquam mihi oratione opus est; quandoquidem ex ancillis habita de eis quaestione veritatem inquiri debere, sancitum est. Eas igitur adduci postulo: quae si tormentis adhibitis in hoc manserint, ut dicant, nescire se damnatum istum multo cum ea tempore consuevisse, domique meae mariti, nedum adulteri, loco diversatum esse, nulla causa est, quin ego nunc ab omni eam accusatione liberam dimittam: sin minus; dote illam mihi adiudicanda, uti lege cautum est, privari: hunc ve-

1. Τὴν οἰκίαν τὴν ἐμὴν) In editione legitur, cui adstipulatur Anglicanus, *τῇ οἰκίᾳ τῇ ἐμῇ*. Si *καθεστηκότα* hic passive accipimus, ut saepe accipitur, tum *οἰκίᾳ τῇ ἐμῇ* legendum sit. *Καὶ ἐν ἀνδρὸς χώρᾳ τῇ οἰκίᾳ τῇ ἐμῇ, οὐκ ἐν μοιχοῦ μόνον, καθεστηκότα.* Sic accepisse videtur interpres, dum vertit, *domique meae mariti, nedum adulteri loco, diversatur.* Sin autem active intelligamus, *οἰκίαν τὴν ἐμὴν* fuerit scribendum, ut in melioribus libris legitur: *καθεστηκότα τὴν οἰκίαν τὴν ἐμὴν ἐν ἀνδρὸς χώρᾳ, οὐκ ἐν μοιχοῦ μόνον. Qui domum meam domicilium sibi ut marito constituit, non ut moecho tantum.* Hoc sensu melius legeretur *καθεστακότα*, quam *καθεστηκότα*. Etsi *ἕστηκα*, & *καθέστηκα* etiam legatur pro *ἕστακα* & *καθέστακα*, ut Graece periti sciunt.

δὲ ὑποσχεῖν τὴν ὀφειλομένην τοῖς μοιχοῖς τιμωρίαν· θάνατος δὲ ἔστιν αὐτῷ. ὥστε ὁποτέρως ἂν αὐτὸς ἀποθάνοι, ὡς μοιχὸς, ἢ ὡς φονεὺς, ἀμφοτέροις ἔνοχος ὢν, δίκην δεδωκὼς οὐ δέδωκε. ἀποθανὼν γὰρ ὀφείλει θάνατον ἄλλον. Ὁ δέ μοι τρίτος τῶν λόγων, πρὸς τὴν δούλην αὐτὴν τὴν ἐμὴν, καὶ τὸν σεμνὸν τοῦτον πατέρα ὑποκριτήν. ὃν εἰς ὕστερον, ὅταν τούτων καταψηφίσησθε, ταμιεύσομαι. Ὁ μὲν δὴ ταῦτα εἰπὼν ἐπαύσατο.

θ'. Παρελθὼν δὲ ὁ ἱερεύς· ἦν δὲ εἰπεῖν οὐκ ἀδύνατος, μάλιστα δὲ τὴν Ἀριστοφάνους ἐζηλωκὼς κωμῳδίαν· ἤρξατο αὐτὸς λέγειν πάνυ ἀστείως καὶ κωμῳδικῶς εἰς πορνείαν αὐτοῦ καθαπτόμενος· Παρὰ τὴν θεὸν, λέγων, λοιδορεῖσθαι μὲν οὕτως ἀκόσμως τοῖς συμβεβιωκόσι, στόματος ἐστὶν οὐ καθαροῦ. οὗτος δὲ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ πανταχοῦ τὴν γλῶτταν μεστὴν ὕβρεως ἔχει. καί τοί γε νέος ὢν, συνεγίνετο πολ-

ro morte, debita ſcilicet adulteris poena, mulctari oportere, aio. Qui ſive pereat ut adulter, ſive ut parricida, utriuſque criminis reus cum ſit, non ſane magni refert. Tametſi enim poenas dederit, non tamen dediſſe videbitur, nimirum quia morte ſemel affectus, alterius etiam mortis reus futurus eſt. Reliquum nunc eſt, ut de hac ſerva mea, venerandoque ſene iſto, eius patrem ſe mentiente, ſermonem faciam: verum eo uſque differre mihi animus eſt, dum de hiſce aliis decernatis. Atque hic ille dicendi finem fecit.

IX. Tum vero in medium progreſſus ſacerdos, homo in dicendo excellens, & Ariſtophanem inprimis aemulans, ſane quam urbane atque comice in flagitioſam Therſandri adoleſcentiam invectus: Aequales, hercule, inquit, tuos coram Dea tam petulanter maledictis inſectari, oris eſt omnino impuri. Is autem non hic modo, ſed alibi etiam paſſim impuram linguam ſemper habuit: quippe adhuc

λοῖς αἰδοίοις ἀνδράσι, καὶ τὴν ὥραν ἅπασαν ἐς τούτους δεδαπανήκει. σεμνότατα δέδρακεν, καὶ σωφροσύνην ὑπεκρίνατο, παιδείας προσποιούμενος ἐρᾷν, καὶ τοῖς εἰς ταύτην αὐτῷ χρωμένοις πάντα ὑποκύπτων, καὶ ὑποκατακλινόμενος ἀεί. καταλιπὼν γὰρ τὴν πατρῴαν οἰκίαν, ὀλίγον ἑαυτῷ μισθωσάμενος στενωπίον εἶχεν ἐνταῦθα τὸ οἴκημα, ὁμηρίζων μὲν τὰ πολλὰ, πάντας δὲ τοὺς χρησίμους, πρὸς ἅπερ ἤθελεν, προσεταιρίζετο δεχόμενος. καὶ οὕτως μὲν ἀσκεῖν τῇ ψυχῇ ἐνομίζετο. ἦν δ' ἄρα τούτῳ κακουργίας ὑπόκρισις, ἔπειτα κἀν τοῖς γυμνασίοις ἑωρῶμεν, πῶς τὸ σῶμα ὑπηλείφετο, καὶ πῶς πλέκτρον [1] περιέβαινεν, καὶ τοὺς μὲν νεανίσκους, οἷς προσεπάλαιεν, πρὸς τοὺς ἀνδρειοτέρους μάλιστα συμπλεκόμενος· οὕτως αὐτοῦ κέχρηται καὶ τῷ σώματι. ταῦτα μὲν οὖν ὡραῖος ὤν. ἐπεὶ δὲ εἰς ἄνδρας ἧκεν,

impuber cum impudicissimis quibusque versatus, omnem iis florem aetatis substravit. Cumque a pudore quam longissime abesset, disciplinarum tamen studiosum se simulans, continentiam prae se ferebat, iis interim obnoxius atque obsequens, qui pro libidine se abutebantur. Paterna enim domo relicta, conductum a se tugurium incoluit, ac partim quidem in foro cantitans, partim vero neminem vitans eorum, quos ad ea, quae cupiebat, idoneos cognosceret, quaestum fecit. Atque his artibus cum animum suum excoleret, pravitatem tamen dissimulabat. Vidimus vero ipsi, ut in gymnasiis membra inungeret, arenamque circumiret; ex adolescentibus autem, quibuscum luctabatur, ad fortiores sese inprimis applicabat: sic corpore ipse suo abutebatur. Atque haec quidem adolescens.

1 Πλέκτρον) Vox suspecta, pro qua forte cum Salmasio reponendum πλῆκτρον, *pars femoris, qua caput eius coxendici iungitur*, iuxta Hesych. & Polluc. In seqq. idem Salmas. laboranti structurae verborum ita succurrit: καὶ τοῖς μὲν νεανίσκοις ὡς προσεπάλαιεν, πρὸς τοὺς ἀ. μ. συμπλεκόμενος.

πάντα ἀπεκάλυψεν, ἃ τότε ἀπέκρυπτε. καὶ τοῦ μὲν ἄλλου σώματος ἔξωρος γενόμενος, ἠμέλησεν· μόνην δὲ τὴν γλῶτταν εἰς ἀσέλγειαν ἀκονᾷ, καὶ τῷ στόματι χρῆται πρὸς ἀναισχυντίαν, ὑβρίζων πάντας, ἐπὶ τῶν προσώπων φέρων τὴν ἀναίδειαν, ὃς οὐκ ᾐδέσθη τῶν ὑφ' ὑμῶν ἱερωσύνῃ τετιμημένων οὕτως ἀπαιδεύτως βλασφημεῖν ὑμῶν ἐναντίον. ἀλλ' εἰ μὲν ἐν ἄλλῃ που βεβιωκὼς ἔτυχον, καὶ μὴ παρ' ὑμῖν, ἔδει μοι λόγων περὶ ἐμαυτοῦ, καὶ τῶν ἐμοὶ βεβιωμένων· ἐπεὶ δὲ σύνιστέ μοι πόῤῥω τῶν τούτου βλασφημιῶν τὸν βίον ἔχοντι, φέρε εἴπω πρὸς ὑμᾶς περὶ ὧν ἐγκέκλημαι. Ἔλυσας φησὶ τὸν θανάτου κατεγνωσμένον. καὶ ἐπὶ τοῦτο πάνυ δεινῶς ἐσχετλίασεν, τύραννον ἀποκαλῶν με, καὶ ὅσα κατετραγῴδησέ μου. ἔστι δὲ οὐχ ὁ σώζων τοὺς συ-

Nam poſteaquam virilem aetatem attigit, quaecunque clam ab eo antea geſta fuerant, palam fecit. Iamque natu grandior, cum ad ea patienda, quae alteri facere collibuerat, exoleviſſet, nihil penſi habuit, niſi unam ad petulantiam linguam exacuere: qua ſemper ad turpitudinem ita uſus eſt, ut in omnes convicia evomuerit, vultu eam, quam animo conceperat, procacitatem prae ſe ferens, eouſque, ut quem vos ſacerdotio dignum iudicaviſtis, coram vobis tam petulanter exagitare veritus non ſit. Quod ſi mihi alibi, quam in veſtro omnium conſpectu vixiſſe contigiſſet, copioſius utique de me, deque iis, quorum conſuetudine uſus ſum, verba facere me, ſat ſcio, oporteret: ſed quando vos mecum ipſi ſcitis, quam procul ſemper vitam duxerim ab iis, quorum iſte me inſimulat, ea tantum refellam, quae mihi nunc ab eo crimini dantur. Solviſti, inquit, morti addictum: atque hic quidem vehementer indignatus eſt, tyrannum me appellitans, aliaque permulta maxima cum acerbitate in me iactans: quaſi de-

κοφαντηθέντας τύραννος, ἀλλ' ὁ τοὺς μηδὲν ἀδικοῦντας [1], μήτε βουλῆς, μήτε δήμου κατεγνωκότος. ἢ κατὰ ποίους νόμους, εἰπὲ, τοῦτον αὐτὸν τὸν ξένον νεανίσκον κατέκλεισας πρῶτον εἰς τὸ δεσμωτήριον; τίς προέδρων κατέγνω; ποῖον δικαστήριον ἐκέλευσε δεθῆναι τὸν ἄνθρωπον; ἔστω γὰρ πάντα ἀδικήσας, ὅσα ἂν εἴπῃς, ἀλλὰ καὶ κριθήτω πρῶτον, ἐλεγχθήτω, λόγου μετα-

mum tyrannus ille ſit, qui inſontes, neque a populo & ſenatu damnatos, non autem, qui calumniatores ſervat. Verum age, obſecro, quibuſnam legibus peregrinum tu adoleſcentem hunc in carcerem primum intruſiſti? Quis praeſidum id cenſuit? Quibus iudiciis homo vinciri iuſſus eſt? Sed ut omnium, quae aſſeris, reum eſſe fateamur: nonne legis officium eſt, inquirere, argumentiſque con-

1 Ἀλλ' ὁ τοὺς μηδὲν ἀδικοῦντας) Non intelligo, quid velit auctor hoc loco. Interpres non auctorem reddidit, ſed, quod ipſi placuit, dixit: *Quaſi demum tyrannus ille ſit, qui inſontes atque indemnatos, non autem calumniatores, ſervat.* Sententia porro Graecorum verborum, ut hodie in libris omnibus leguntur, haec eſt. Eſt autem tyrannus, non qui ſervat per calumniam oppreſſos, ſed ſervans eos, qui nihil mali fecerunt. At quomodo tyrannus ὁ σώζων τοὺς μηδὲν ἀδικοῦντας; Nulla varietas in libris, niſi quod pro μηδὲν ἀδικοῦντας, quidam habent μὴ ἀδικοῦντας. Legiſſe videtur interpres, certe ex coniectura, nam nullus hodie liber ſic habet: ἐστὶ δὲ οὐχ ὁ σώζων τοὺς συκοφαντηθέντας τύραννος, ἀλλ' ὁ τοὺς συκοφαντοῦντας. Atqui non hic quaeſtio eſt de ſervandis calumniatoribus, ſed de eripiendis exitio, quos calumniatores oppreſſerunt. Praeterea, quae ſtatim adiiciuntur, non cohaerent, nec conveniunt cum συκοφαντοῦντας, ſed cum μηδὲν ἀδικοῦντας. Sequitur enim, μήτε βουλῆς, μήτε δήμου κατεγνωκότος. Deeſt omnino vox ἀπολλύων, hoc modo: ἐστὶ δὲ οὐχ ὁ σώζων τοὺς συκοφαντηθέντας τύραννος, ἀλλ' ὁ τοὺς μὴ ἀδικοῦντας ἀπολλύων, μήτε βουλῆς, μήτε δήμου κατεγνωκότος. *Ille vero tyrannus eſt, non qui ſervat a calumnia oppreſſos, ſed qui perdit, quos nihil mali conſtat admiſiſſe, praeſertim nec populi nec ſenatus ſententia condemnatos.* SALM. Interpres in ſuis libris pro συκοφαντηθέντας habuiſſe videtur συκοφαντοῦντας. Quod ſi amplectaris, ſententia loci, ironice accepta, ſatis plana erit. Retenta tamen vulgari lectione, locus ſic videtur expediendus: *Hunc nimirum tyranni nomine notare videtur, qui ſervat a calumnia oppreſſos, at non eos, qui nihil admiſerint?* Vel ſic tamen leg. ἀλλ' οὐ τοὺς μ. ἀ.

λαβών· ὁ νόμος αὐτὸν, ὁ καὶ σοῦ καὶ πάντων κύριος, δησάτω. οὐδενὸς γὰρ οὐδείς ἐστιν ἄνευ κρίσεως δυνατότερος. κλεῖσον οὖν τὰ δικαστήρια, κάθελε τὰ βουλευτήρια, ἔκβαλε τοὺς στρατηγούς. πάντα γὰρ ὅσα σὺ πρὸς τὸν πρόεδρον εἴρηκας, ἔοικε δικαιότερον ἐρεῖν κατὰ σοῦ ἀληθῶς. ἐπανάστηθι Θερσάνδρῳ, πρόεδρε. μέχρι μόνον ὀμμάτων πρόεδρος εἶ. οὗτος τὰ σὰ ποιεῖ. μᾶλλον δὲ ὅσα οὐδὲ σύ. σὺ μὲν γὰρ συμβούλους ἔχεις, καὶ οὐδὲν ἄνευ τούτων ἔξεστί σοι· ἀλλ᾽ οὔτε τι τῆς ἐξουσίας δράσειας πλὴν ἐλθεῖν ἐπὶ τοῦτον τὸν θρόνον· οὐδὲ ἐπὶ τῆς σῆς οἰκίας δεσμὸν ἀνθρώπου ποτὲ κατέγνως. ὁ δὲ γενναῖος οὗτος πάντα ἑαυτοῦ γίνεται, δῆμος, βουλὴ, πρόεδρος, στρατηγός. οἴκοι κολάζει καὶ δικάζει, καὶ δεθῆναι κελεύει, καὶ ὁ τῆς δίκης καιρὸς ἑσπέρα ἐστίν. καλός γε καὶ ὁ νυκτερινὸς δικαστής. καὶ νῦν

vincere? nonne legis, quae in te aliosque omnes imperium habet, munus est, vinciri iubere? Neque enim cuiquam in alium sine iudicio ius est. Quod si tu hoc tibi arrogas, cur non igitur forum claudis, curiam demoliris, magistratus eiicis? Nam quae tu mihi ante praesidem obiecisti, iustius in te veriusque dici possunt. Assurge Thersandro, Praeses: apparenter tantum dignitatem hanc obtines; re autem vera hic, quae te facere decet, immo etiam, quae tu nullo modo facere auderes, omnia unus facit. Tu consiliarios habes, sine quibus nihil tibi decernere licet. Sed neque quidquam est, quod tu pro tua auctoritate statuere prius audeas, quam hoc in solio consideas: nec enim quempiam domi tuae in vincula coniici iuberes. At generosus homo iste, populus, concio, praeses, praefectus, omnia denique unus factus est. Domi punit, ius dicit, vinciri iubet: ac iudicii quidem tempus vespera est. O iudicem nocturnum, egregium sane, & lepi-

πολλάκις βοᾷ, κατάδικον ἔλυσας θανάτῳ παραδοθέντα. ποίῳ θανάτῳ; ποῖον κατάδικον; εἰπέ μοι τοῦ θανάτου τὴν αἰτίαν. ἐπὶ φόνῳ κατέγνωσθαί φησιν. πεφόνευκεν οὖν; εἰπέ μοι τίς ἐστιν; ἣν ἀπέκτεινεν καὶ ἔλεγες ἀνῃρῆσθαι, ζῶσαν βλέπεις, καὶ οὐκ ἂν ἔτι τολμήσεις τὸν αὐτὸν αἰτεῖσθαι φόνον; οὐ γὰρ δὴ τοῦτο τῆς κόρης ἐστὶν εἴδωλον, οὐδ' ἂν ἔπεμψεν ὁ ἀϊδωνεὺς κατά σου τὴν ἀνῃρημένην. δυσὶ μὲν φόνοις ἔνοχος εἶ. τὴν μὲν γὰρ ἀπέκτεινας τῷ λόγῳ· τὸν δὲ τοῖς ἔργοις ἠθέλησας, μᾶλλον δὲ καὶ ταύτην ἔμελλες. τὸ γὰρ δράμα σου καὶ ἐπὶ τῶν ἀγρῶν ἠκούσαμεν. ἡ δὲ Ἄρτεμις ἡ μεγάλη θεὸς ἀμφοτέρους ἔσωσεν· τὴν μὲν ἐκ τῶν Σωσθένους χειρῶν ἐξαρπάσασα· τὸν δὲ, τῶν σῶν. καὶ τὸν μὲν Σωσθένην ἐξήρπασας, ἵνα μὴ καταφωρος γένηται. οὐκ αἰσχύνῃ δὲ, ὅτι κατηγορῶν τοὺς

dum! qui nunc quoque identidem exclamat: Reum, necique servatum solvisti. At quem reum, quam necem? Rogo te, damnationis caussam eloquere. Caedis, inquies, condemnatus est. Interfecit igitur? At quaenam ea est, quam interfecit? Potesne ostendere? Minime hercule: quam enim necatam afferis, coram adstantem vides: neque te tamen adhuc caedis hominem accusare pudet. Haud enim id puellae simulacrum est: neque adversum te mortuam Pluto ad nos misit. Tu potius caedis, ac duplicis quidem, damnandus es: qui puellam praedicatione occidisti, adolescentem vero re occidere tentasti. Quin immo eam ipsam quoque re necaturus fuisti. Eorum enim, quae ruri conatus es, conscii facti sumus. Verum magnum Dianae numen utrique auxilio fuit, alteram e Sosthenis, alterum e tuis manibus eripiendo. Atqui Sosthenem etiam tute procul amandasti. An non te pudet, qui, hosce pere-

ξένους, ἄμφω συκοφαντῶν ἐλήλεγξαι; Τὰ μὲν ἐμὰ ἐπὶ τοσοῦτον εἰρήσθω πρὸς τὰς τούτου βλασφημίας· τὸν δὲ ὑπὲρ τῶν ξένων λόγον αὐτοῖς τούτοις παραδίδωμι.

ί. Μέλλοντος δὲ ὑπὲρ ἐμοῦ καὶ τῆς Μελίττης ἀνδρὸς οὐκ ἀδόξου μὲν ῥήτορος, ὄντος δὲ βουλῆς, λέγειν, φθάσας ῥήτωρ ἕτερος, ὄνομα Σώπατρος, Θερσάνδρου συνήγορος· Ἀλλ᾽ ἐμὸς, εἶπεν, ἐντεῦθεν ὁ λόγος κατὰ τούτων τῶν μοιχῶν, ὦ βέλτιστε Νικόστρατε· τοῦτο γὰρ ἦν ὄνομα τῷ ἐμῷ ῥήτορι· εἶτα σός· ὁ γὰρ Θέρσανδρος ἃ εἶπεν, πρὸς τὸν ἱερέα μόνον ἀπετείνατο, ὀλίγον ἁψάμενος ὅσον ἐπιψαῦσαι καὶ τοῦ κατὰ τὸν δεσμώτην μέρους. ὅταν οὖν ἀποδείξω δυσὶ θανάτοις ἔνοχον ὄντα, τότε ἂν εἴη καί σοι καιρὸς ἀπολύσασθαι τὰς αἰτίας. Ταῦτα εἰπὼν, καὶ τερατευσάμενος, καὶ τρίψας τὸ πρόσωπον· Τῆς μὲν τοῦ ἱερέως, ἔφη, κωμῳδίας

grinos accuſans, ambo ſimul criminis calumniandi redarguis? Haec habui, quibus obiecta mihi ab iſto crimina diluerem. Nam quod ad peregrinos iſtos attinet, eorum ego defendendorum locum hiſce relinquo.

X. Itaque cum nominis haud ſane obſcuri, ſimul & ſenatus patronus, pro me ac pro Melite verba facturus eſſet, alius quidam e Therſandri advocatis, cui Sopatro nomen erat, orationem eius antevertens: Atqui meus hic, inquit, optime Nicoſtrate, (ſic enim patronus meus vocabatur,) contra iſtos adulteros dicendi locus eſt: alter vero tuus. Therſandri enim oratio in accuſando ſacerdote omnis verſata eſt, nec niſi parvam admodum partem attigit eorum, quae ad reum iſtum pertinent. Quamobrem cum una, itemque altera morte dignum eum probavero, tum erit tibi quoque diluendorum criminum tempus. Quae cum dixiſſet, perfricta atque ad mentiendum parata fronte: Sacerdotis equidem, inquit, fabulam omnem petulan-

ἠκούσαμεν, πάντα ἀσελγῶς, καὶ ἀναισχύντως ὑποκριναμένου τὰ εἰς τὸν Θέρσανδρον προσκρούσματα. καὶ τοῦ λόγου τὸ προοίμιον πέμψει εἰς Θέρσανδρον ἐφ' οἷς αὐτὸν εἶπεν. ἀλλὰ Θέρσανδρος μὲν οὐδὲν ὧν εἶπεν εἰς τοῦτον ἐψεύσατο. καὶ γὰρ δεσμώτην ἔλυσε, καὶ πόρνην ὑπεδέξατο, καὶ συνέγνω μοιχῷ. ἃ δὲ αὐτὸς μᾶλλον ἀναιδῶς ἐσυκοφάντησεν, διασύρων τὸν Θερσάνδρου βίον, οὐδὲ μιᾶς ἀπήλλακται συκοφαντίας. Ἱερεῖ δὲ ἔπρεπεν, εἴπερ ἄλλο, καὶ τοῦτο, καθαρὰν ἔχειν τὴν γλῶτταν ὕβρεως. χρήσομαι γὰρ τὰ αὐτοῦ πρὸς αὐτόν. ἃ δὲ μετὰ τὴν κωμῳδίαν ἐτραγῴδησεν ἤδη, οὕτω φανερῶς καὶ οὐκέτι δι' αἰνιγμάτων, σχετλιάζων εἰ μοιχόν τινα λαβόντες ἐδήσαμεν, ὑπερτεθαύμακα. καὶ τί τοσοῦτον ἴσχυσεν πρίασθαι πρὸς τὴν τοσαύτην σπουδήν; ὑπονοεῖν γὰρ τἀληθές ἐστιν. εἶδεν γὰρ τῶν ἀκολάστων τούτων τὰ πρόσωπα, τοῦ τε μοιχοῦ καὶ τῆς

tem ſane ac turpem audivimus: qua non niſi falſa in Therſandrum crimina commentus eſt, ſumto potiſſimum ab iis ſermonis in illum exordio, quae de eo Therſander dixerat. Verum Therſander iis, quae in ipſum dixit, falſi nihil admiſcuit: nam & reum a vinculis exemit, & ſcortum hoſpitio accepit, & cum adultero diverſatus eſt. Is autem dum Therſandrum in invidiam trahere ſtudet, vitam eius culpando, omnia per ſummam calumniam egit. Sacerdotem autem, ſi quid aliud, illud certe inprimis decet, linguam a calumniis habere quam alieniſſimam: ut eius in eum dicta retorqueam. Ceterum, quae poſt actam fabulam adeo aperte, & omiſſis omnibus orationis involucris, declamavit, conquerens, manifeſto deprehenſum adulterum a nobis in vincula coniectum fuiſſe, non potui non vehementer admirari. Et quidnam tanti eſt pretii, quod acceperit, & pro quo operam ſuam locaverit? Sed, licet iam divinare verum. Nempe adulteri huius & ſcorti fa-

ἑταίρας. ὡραία μὲν γὰρ αὐτὴ καὶ νέα, ὡραῖον δὲ καὶ τοῦτο τὸ μειράκιον, καὶ οὐδέπω τὴν ὄψιν ἀργαλέον, ἀλλ᾽ ἔτι χρήσιμον καὶ πρὸς τὰς τοῦ ἱερέως ἡδονάς. ὁποτέρα σε τούτων ἐωνήσατο; κοινῇ γὰρ πάντες ἐκαθεύδετε, καὶ ἐμεθύετε κοινῇ, καὶ τῆς νυκτὸς ὑμῶν οὐδεὶς γέγονε θεατής. φοβοῦμαι μὴ τὸ τῆς Ἀρτέμιδος ἱερὸν Ἀφροδίτης πεποιήκατε. καὶ περὶ ἱερωσύνης κρινοῦμεν. οὐ δεῖ σε τὴν τιμὴν ταύτην ἔχειν. Τὸν δὲ Θερσάνδρου βίον ἴσασι πάντες καὶ ἐκ πρώτης ἡλικίας μετὰ σωφροσύνης κόσμιον. καὶ ὡς εἰς ἄνδρας ἐλθὼν, ἔγημέ τε κατὰ τοὺς νόμους, σφαλεὶς μὲν τὴν περὶ τῆς γυναικὸς κρίσιν. οὐ γὰρ εὗρεν ἣν ἤλπισεν, τῷδε ταύτης γένει, καὶ τῇ οὐσίᾳ πεπιστευκώς. εἰκὸς γὰρ, αὐτὴν καὶ πρὸς ἄλλους τινὰς ἡμαρτηκέναι τὸν πρόσθεν χρόνον· λανθάνει δὲ ἐπ᾽ ἐκείνοις χρηστὸν ἄνθρωπον. τὸ

ciem contemplatus eſt: quorum altera formoſa plane ac tenerioris aetatulae, alter non modo non deformis, ſed adſpectu etiam blandus, ad ſuas ipſius voluptates idoneus iudicatus eſt. Horum igitur uter te magis delectat? Simul enim omnes perpotaſtis, ſimul diſcubuiſtis: neque ullus eſt noctium veſtrarum ſpectator. Quam vereor, ne, Dianae quod fuit, Veneris ut ſit templum, effeceritis. Verum de ſacerdotio, an ſcilicet honorem iſtum habere te oporteat, poſt decernetur. Nam quod ad Therſandri mores attinet, nemo eſt, qui neſciat, quam modeſte ac temperanter a teneris uſque unguiculis vitam egerit: qui, cum primum per aetatem licuit, uxorem ſecundum leges duxit: quamvis in faciendo de ea iudicio ſe ipſe fefellerit. Aliam enim, atque putarat, generi & fortunis credens, invenit. Veriſimile quippe eſt, illam antea quoque cum aliis conſueviſſe: quos optimum virum celaverit. Tandem

δὲ τελευταῖον τοῦ δράματος, πᾶσαν ἀπεκάλυψε τὴν αἰδῶ. πεπλήρωται δὲ ἀναισχυντίας. τοῦ γὰρ ἀνδρὸς σπειλαμένου τινὰ μακρὰν ἀποδημίαν, καιρὸν τοῦτον νενόμικεν εὔκαιρον μοιχείας, [καὶ αὔχημα,] καὶ νεανίσκον εὑροῦσα πόρνον. τοῦτο γὰρ τὸ μεῖζον ἀτύχημα, ὅτι τοιοῦτον εὗρε τὸν ἐρώμενον, ὃς πρὸς μὲν γυναῖκας ἄνδρας ἀπομιμεῖται, γυνὴ δὲ γίνεται πρὸς ἄνδρας. οὕτως μετὰ ἀδείας οὐκ ἤρκεσεν ἐπὶ τῆς ξένης αὐτῷ συνοῦσα φανερῶς, ἀλλὰ καὶ ἐνταῦθα ἤγαγεν διὰ τοσούτου πελάγους συγκαθεύδουσα, κἀν τῷ σκάφει φανερῶς ἀσελγαίνουσα πάντων ὁρώντων. ὢ μοιχείας γῇ καὶ θαλάττῃ μεμερισμένης· ὢ μοιχείας ἀπὸ Αἰγύπτου μέχρις Ἰωνίας ἐκτεταμένης. Μοιχεύεταί τις, ἀλλὰ πρὸς μίαν ἡμέραν· ἂν δὲ καὶ δεύτερον γένηται τὸ ἀδίκημα, κλέπτει τὸ ἔργον, καὶ πάντας ἀποκρύπτεται. αὐτὴ δὲ οὐχ ὑπὸ σάλπιγγι μόνον, ἀλλὰ καὶ κήρυκι μοιχεύε-

vero pudicitiam in propatulo habuit, atque in omni libidine ſeſe effudit. Viro enim peregre profecto, tempus illud ad cupiditates ſuas explendas opportunum rata, impudicum iſtum adoleſcentem ad eam rem miſera cepit. Quae enim miſeria maior eſſe poteſt, quam eum habere amatorem, qui inter feminas viri, inter viros feminae munus obeat? Quem non ſat habuit in aliena civitate in ſtuprum illexiſſe, niſi tanto maris ſpatio peragrato huc perduxiſſet, una cum illo interim ſemper cubans, atque in navi cernentibus cunctis voluptatem capiens. O libidinem terrae marique communem! O adulterium Aegyptum Ioniamque occupans! Adulterium quidem ſunt qui committant, ſed ſemel tantum: quod ſi eandem in turpitudinem rurſus delabantur, certe factum huiuſmodi mortales omnes celant: mulier autem iſta non modo tuba, verum etiam praecone adhibito, obſcoene ſe oblectavit. Adulte-

ται. Ἔφεσος ὅλη τὸν μοιχὸν ἔγνωκε· ἡ δὲ οὐκ ᾐσχύνετο τοῦτον ἀπὸ τῆς ξένης ἐνεγκοῦσα τὸ ἀγώγιμον, ὡς φορτίον [1]. κάλλος ἐξωνημένη ἦλθε μοιχὸν ἐμπεπορευμένη. Ἀλλ' ᾤμην, φησὶν, τὸν ἄνδρα τετελευτηκέναι. οὐκοῦν, εἰ μὲν τέθνηκεν, ἀπήλλαξαι τῆς αἰτίας. οὐδὲ γάρ ἐστιν ὁ τὴν μοιχείαν παθὼν, οὐδὲ ὑβρίζεται γάμος οὐκ ἔχων ἄνδρα· εἰ δὲ ὁ γάμος, τὸ τὸν γήμαντα ζῆν οὐκ ἀνῄρηται τὴν γαμηθεῖσαν διαφθείραντος [2], ἀλλὰ λελῄστευται. ὥσπερ γὰρ μὴ μένοντος ὁ μοιχὸς οὐκ ἦν, μένοντος δὲ μοιχός ἐστιν.

rum Ephefii omnes cognoverunt, nec tamen eam vel tantulum quidem puduit unquam. Haec ornamenta, formofum fcilicet adulterum iftum, ne fine corollario a peregrina terra domum reverteretur, egregia fibi mulier comparavit, ac tanquam pretiofas aliquas merces fecum advexit. Atqui virum, inquiet illa, periffe putabam. Nonne igitur, fi ille obiit, culpa ceffat? Neque enim eft, quid adulterium patiatur; nec, viro e vivis fublato, adulterii nomen locum habet, cum labefactari matrimonium nequeat, nifi fuperftite marito pudicitiam uxor inhonefte habeat: quae alioqui, viro defuncto, adulterii argui non poteft, ficut vivo poteft.

1 Ἐνεγκοῦσα τὸ ἀγώγιμον, ὡς φορτίον) Forfitan mutanda interpunctio, ac legendum hoc modo: ἡ δὲ οὐχ ᾐσχύνετο τοῦτο ἀπὸ τῆς ξένης ἐνεγκοῦσα τὸ ἀγώγιμον, ὡς φορτίον, κάλλος ἐξωνημένη. ἦλθε μοιχὸν ἐμπεπορευμένη. *Non erubuit hoc mercimonium peregre fecum adduxiffe; mercium loco pulchritudine emta. Venit adulterum mercata.* Nihil verius. Legendum, τοῦτο τὸ ἀγώγιμον. *Hoc mercimonium.* Perperam legebatur in editione: ἐνεγκοῦσα τὸ ἀγώγιον ὡς φορτίον, ἀλλ' ὅσον ἡ μὲν, οἶμαι; μοιχὸν ἐμπεπορευμένη. In Anglicano: τὸ ἀγώγιον ὡς φορτίον, ἀλλ' ὅσον ἡ μὲν ἦλθε.

2 Οὐχ ἀνῄρηται τὴν γαμηθεῖσαν διαφθείραντος) Volueramus excudi, διὰ φθείραντος. Alioquin nullus fenfus ex edito, nec Graeca etiam conftat oratio. Interpres quidvis potius dixit, quam quod in Graecis eft. Si vir, inquit hic patronus, Melittes mortuus eft, crimine cares. Nec enim eft, qui adulterium patiatur, neque torus iniuria afficitur, qui virum non habet. Si vero matrimonium eft, cum vir vivit, non amittit uxorem per eum, qui eam ftupravit, fed patrocinio ipfi eripitur.

ια΄. Ἔτι τοῦ Σωπάτρου λέγοντος, ὑποτεμὼν αὐτοῦ τὸν λόγον ὁ Θέρσανδρος· Ἀλλ' οὐκ ἔφθη, λέγων [1]. δύο γὰρ προκαλοῦμαι προκλήσεις, Μελίττην τε ταύτην, καὶ τὴν δοκοῦσαν εἶναι τοῦ θεοπρόπου θυγατέρα· οὐκ ἔτι βασανίσων, ὡς μικρῷ πρόσθεν ἔλεγον, τῷ δὲ ὄντι δούλην ἐμήν. καὶ ἀνεγίνωσκεν· Προκαλεῖται Θέρσανδρος Μελίττην καὶ Λευκίππην. τοῦτο γὰρ ἤκουσα τὴν πόρνην καλεῖσθαι. Μελίττην μὲν, εἰ μὴ κεκοινώνηκεν εἰς Ἀφροδίτην τῷδε τῷ ξένῳ, παρ' ὃν ἀπεδήμουν χρόνον, εἰς τὸ τῆς ἱερᾶς Στυγὸς ὕδωρ εἰσβᾶσαν, καὶ ἐπομοσαμένην ἀπηλλάχθαι τῶν ἐγκλημάτων. τὴν δὲ ἑτέραν, εἰ μὲν τυγχάνει γυνὴ, δουλεύειν τῷ δεσπότῃ· δούλαις γὰρ μόναις γυναιξὶν ἔξεστιν εἰς τὸν τῆς Ἀρτέμιδος ναὸν παριέναι. εἰ δέ φησιν εἶναι παρθένος, ἐν τῷ τῆς σύριγγος ἄντρῳ κλεισθῆναι. Ἡ-

XI. Tum vero Therſander, Sopatri ſermone interrupto: Atqui, quod antea propoſueram, quaeſtionibus, inquit, amplius opus non eſt. Ego, quod ad Meliten attinet, atque eam, quae peregrini huiuſce ſacrorum auctoris filia perhibetur, vere autem ſerva mea eſt, has conditiones fero. *Recita conditiones.* Therſander de Melite ac Leucippe, ſic enim proſtitutam hanc vocari aiunt, conditiones haſce proponit, ut illa, quandoquidem nullam ſibi, me abſente, cum peregrino iſto ſtupri conſuetudinem fuiſſe ait, id iureiurando affirmet, atque in ſacrae Stygis fontem deſcendat: indeque, ſi peieraſſe non comperiatur, abſoluta dimittatur: altera vero haec, ſi mulier facta eſt, hero ſuo ſervitutem ſerviat: neque enim mulieribus, niſi ſi quae ſervae ſint, Dianae templum ingredi fas eſt: ſin virginem ſeſe affirmat, in fiſtulae antrum concludatur. Tum

1 Ἀλλ' οὐκ ἔφθη, λέγων) Senſu deſtituta haec. Lege: ἀλλ' οὐκ ἔτι, ἔφη, δεῖ λόγων, praeeunte interpretatione Latina.

μεῖς μὲν οὖν εὐθὺς ἐδεξάμεθα τὴν πρόκλησιν, καὶ γὰρ ᾔδειμεν αὐτὴν ἐσομένην [1]. ἡ δὲ Μελίττη θαῤῥήσασα τῷ παρ᾽ ὃν ἀπεδήμει χρόνον ὁ Θέρσανδρος, μηδὲν κοινὸν πρὸς αὑτὴν γεγονέναι πλὴν λόγων· Ἀλλὰ καὶ ἔγωγε, ἔφη, ταύτην δέχομαι τὴν πρόκλησιν, καὶ ἔτι πλέον αὐτὴν προστίθημι· τὸ δὲ μέγιστον οὐδὲ εἶδον τὸ παράπαν, μήτε ξένον, μήτε πολίτην ἥκειν εἰς ὁμιλίαν, καὶ ὧν λέγεις. καὶ ὧν σε δεῖ παθεῖν, ἂν συκοφάντης ἁλῷς; Ὅ, τι ἂν, ἔφη, δόξῃ προτιμῆσαι τοῖς δικασταῖς. Ἐπὶ τούτοις διελύθη τὸ δικαστήριον, καὶ εἰς τὴν ὑστεραίαν διώριστο τὰ τῆς προκλήσεως ἡμῖν γενέσθαι.

ιβ΄. Τὸ δὲ τῆς Στυγὸς ὕδωρ εἶχεν οὕτως. Παρθένος ἦν εὐειδὴς, ὄνομα Ῥοδῶπις, κυνηγίων ἐρῶσα καὶ θήρας· πόδες ταχεῖς, εὔστοχοι χεῖρες, ζώνη καὶ μί-

nos conditionem ſtatim accepimus: non enim ignorabamus, quod Leucippe virgo adhuc eſſet. Melite quoque, confiſa, nihil id temporis, quo Therſander abfuit, ſibi mecum, exceptis collocutionibus, commune fuiſſe: Atqui ego quoque, inquit, conditionem non reſpuo: illudque etiam, quod maximum eſt, addo, neminem prorſus aut civem, aut peregrinum fuiſſe, quicum eiuſmodi mihi conſuetudo fuerit, cuiuſmodi ipſe ais. Verum ſi meum falſo detuliſſe nomen deprehendaris, quas de te poenas ſumemus? Quas iudices, inquit Therſander, cenſuerint. Iis peractis concio dimiſſa, decretumque factum eſt, ut poſtridie de conditionibus experiremur.

XII. Porro autem de Stygis fonte res ita ferme ſe habet. Virgo fuit olim formoſa, Rhodopis nomine, venatu gaudens, pedum velocitate, iaculandique peritia inſignis

1 Καὶ γὰρ ᾔδειμεν αὐτὴν ἐσομένην) Interpres: *Non enim dubitabamus, quin Leucippe virgo adhuc eſſet.* Non haec auctoris mens. De προκλήσει ſermo eſt. Quae cum facta eſſet ab adverſariis Clitophontis & Leucippes, ſtatim accepta eſt ab ipſis reis, quia praeceperant animo ac ſpe, eam futuram.

τρα, καὶ ἀναζωσμένος εἰς γόνυ χιτὼν, καὶ κατὰ ἄνδρας κουρὰ τριχῶν. ὁρᾷ ταύτην Ἄρτεμις, καὶ ἐπῄνει, καὶ ἐκάλει, καὶ σύνθηρον ἐποιήσατο, καὶ τὰ πλεῖστα κοινὰ ἦν αὐταῖς θηράματα. ἀλλὰ καὶ ὤμοσεν ἀεὶ παραμένειν, καὶ τὴν πρὸς ἄνδρας ὁμιλίαν φυγεῖν, καὶ τὴν ἐξ Ἀφροδίτης ὕβριν μὴ παθεῖν. ὤμοσεν ἡ Ῥοδῶπις, καὶ ἤκουσεν ἡ Ἀφροδίτη, καὶ ὠργίζετο, καὶ ἀμύνασθαι θέλει τὴν κόρην τῆς ὑπεροψίας. Νεανίσκος ἦν Ἐφέσιος καλὸς ἐν μειρακίοις, ὅσον Ῥοδῶπις ἐν παρθένοις. Εὐθύνικον αὐτὸν ἐκάλουν. ἐθήρα δὲ καὶ αὐτὸς, ὡς Ῥοδῶπις, καὶ τὴν Ἀφροδίτην ὁμοίως οὐκ ἤθελεν εἰδέναι. ἐπ' ἀμφοτέρους οὖν ἡ θεὰ ἔρχεται, καὶ τὰς θήρας αὐτῶν εἰς ἓν συνάγει. τέως γὰρ ἦσαν κεχωρισμένοι. ἡ δὲ Ἄρτεμις τηνικαῦτα οὐ παρῆν. ἡ παραστησαμένη δὲ τὸν υἱὸν τὸν τοξότην ἡ Ἀφροδίτη, εἶπεν· Τέκνον, ζεῦγος τοῦτο ὁρᾷς ἀναφρόδιτον, καὶ ἐχθρὸν ἡμῶν, καὶ

admodum; & cingulum, & mitram, vefte genu tenus fuccincta, capilloque detonfo, geftare confueta. Eam cum vidiffet, probaffetque Diana, vocatam venatum fecum duxit: praedaque ut plurimum inter eas communis erat. Quamobrem illa virginitatem fervare, virorumque confuetudinem ufquequaque vitare, ac Veneris contumelias nunquam perpeti iuravit. Quod fimulatque Venus perfenfit, ira commota, puellae ftatuit fuperbiam ulcifci. Forte accidit, ut adolefcens effet Ephefius, inter viros aeque formofus, atque inter virgines Rhodopis: quem Euthynicum appellabant. Is & venandi ftudio, quemadmodum Rhodopis, tenebatur, & a Veneris pariter illecebris abhorrebat. Igitur cum venatum ambo exiffent, eo fe clam Venus contulit, ferafque ab eis agitatas, alium atque alium curfum tenentes, in unum compulit. Mox Diana abfente filium conveniens mater: Nonne hos, inquit, fili, arca-

τῶν ἡμετέρων μυστηρίων. ἡ δὲ παρθένος καὶ θρασύτερον ὤμοσεν κατ᾽ ἐμοῦ. ὁρᾷς δὲ αὐτοὺς ἐπὶ τὴν ἔλαφον συντρέχοντας; ἄρξαι καὶ σὺ τῆς θήρας, ἀπὸ πρώτης τῆς τολμηρᾶς κόρης· καὶ πάντως τὸ σὸν βέλος εὐστοχώτερον ἔσται. Ἐντείνουσιν ἀμφότεροι τὰ τόξα, ἡ μὲν ἐπὶ τὴν ἔλαφον, ὁ δὲ Ἔρως ἐπὶ τὴν παρθένον. καὶ ἀμφότεροι τυγχάνουσιν, καὶ ἡ κυνηγέτις μετὰ τὴν θήραν ἦν τεθηραμένη. καὶ εἶχεν ἡ μὲν ἔλαφος εἰς τὰ νῶτα τὸ βέλος, ἡ δὲ παρθένος εἰς τὴν καρδίαν, τὸ δὲ βέλος, Εὐθύνικον φιλεῖν. δεύτερον δὲ καὶ ἐπὶ τοῦτον οἰστὸν ἀφίησιν. καὶ εἶδον ἀλλήλους Εὐθύνικος καὶ ἡ Ῥοδῶπις. καὶ ἔστησαν μὲν τὸ πρῶτον τοὺς ὀφθαλμοὺς ἑκάτεροι, μηδέτερος ἐκκλίναι θέλων ἐπὶ θάτερα. κατὰ μικρὸν δὲ τὰ τραύματα ἀμφοῖν ἐξάπτεται, καὶ αὐτὸς ὁ Ἔρως αὐτοὺς ἐλαύνει κατὰ τουτὶ τὸ ἄντρον, οὗ νῦν ἐστιν ἡ

norum noſtrorum expertes, nobiſque inimicos vides? Quid, quod puella etiam conceptis verbis audaciſſimum ſane contra me iusiurandum iuravit? Tu nunc illos cervam ſequentes cernis: quapropter venari tu quoque incipe, atque ab audaci puella vindictae initium fac. Telum tuum certius omnino fuerit. Ita tunc ambo, in cervam virgo, in virginem Cupido, arcus intenderunt. Nec vani fuere ictus: nam venatrix etiam ipſa praeda fuit. Ac cerva quidem in armo, puella vero in corde vulnus accepit. Cuius ea vis fuit, ut Euthynici amore ſtatim flagraret. Qui non ita multo poſt pari & ipſe vulnere percuſſus eſt. Ac tum quidem mutuo ſeſe contueri, atque alter in alterum obtutus defigere coeperunt, atque adeo, ut neuter in diverſum aciem vellet inclinare. Ceterum utriuſque vulnera paulo poſt inflammari coeperunt, amorque illos in antrum, ubi nunc fons eſt, deduxit, ubi iu-

πηγὴ, καὶ ἐνταῦθα τὸν ὅρκον ψεύδονται. ἡ Ἄρτεμις ὁρᾷ τὴν Ἀφροδίτην γελῶσαν, καὶ τὸ πραχθὲν συνίησιν, καὶ εἰς ὕδωρ λύει τὴν κόρην, ἔνθα τὴν παρθενίαν ἔλυσε. καὶ διὰ τοῦτο, ὅταν τις αἰτίαν ἔχῃ Ἀφροδισίων, εἰς τὴν πηγὴν εἰσβᾶσα ἀπολούεται. ἡ δέ ἐστιν ὀλίγη, καὶ μέχρι κνήμης μέσης. ἡ δὲ κρίσις· ἐγγράψας τὸν ὅρκον γραμματείῳ μηρίνθῳ δεδεμένον περιεθήκατο τῇ δέρῃ. κἂν μὲν ἀψευδῆ τὸν ὅρκον, μένει κατὰ χώραν ἡ πηγή· ἂν δὲ ψεύδηται, τὸ ὕδωρ ὀργίζεται, καὶ ἀναβαίνει μέχρι τῆς δέῤῥης, καὶ τὸ γραμματεῖον ἐκάλυψεν. Ταῦτα εἰπόντες, καὶ τοῦ καιροῦ προσελθόντος εἰς τὴν ἑσπέραν, ἀπῄειμεν κοιμηθησόμενοι, χωρὶς ἕκαστος.

ιγ΄. Ἐπὶ δὲ τῇ ὑστεραίᾳ ὁ δῆμος μὲν ἅπας παρῆν· ἡγεῖτο δὲ Θέρσανδρος φαιδρῷ τῷ προσώπῳ, καὶ εἰς ἡμᾶς ἅμα βλέπων σὺν γέλωτι. ἐστολίσατο δὴ Λευκίππη ἱερᾷ στολῇ· ποδήρης χιτὼν, ὀθόνης χιτὼν, ζώνη

risiurandi fides abrogata eſt. Poſtea cum ridentem Diana Venerem conſpicata rem cognoviſſet, puellam in fontem illic, ubi pudorem amiſerat, commutavit. Hinc factum eſt, ut, cum violatae aliqua pudicitiae arguitur, eum in fontem deſcendere compellatur, cuius unda vix medias tibias attingit. Iudicium autem fieri hoc pacto conſuevit. Quae delata eſt, falſo ſe inſimulari iurat: iusiurandumque in tabella deſcriptum collo ſuo alligatum ſuſtinens, in fontem deſcendit. Ac ſi verum iusiurandum iuraverit, aqua omnino immota manet: ſin minus, intumeſcit, atque ad collum uſque ſe attollens, tabellam contegit. Haec dum loqueremur, tempuſque ad veſperam inclinaret, ſeorſum dormiturus quiſque diſceſſit.

XIII. Poſtridie multitudo univerſa convenit: cui vultu hilari Therſander praeibat, noſque identidem intuebatur. At Leucippe ſacram, atque ad pedes uſque demiſſam, ac

κατὰ μέσον τὸν χιτῶνα, ταινία περὶ τὴν κεφαλὴν φοινικοβαφὴς, ἀσάνδαλος ὁ πούς. καὶ ἡ μὲν εἰσῆλθε πάνυ κοσμίως. ἐγὼ δὲ ὡς εἶδον, εἱστήκειν τρέμων, καὶ ταῦτα πρὸς ἐμαυτὸν ἔλεγον· Ὅτι μὲν παρθένος ἡ Λευκίππη, πεπίστευκα, ἀλλὰ τὸν Πᾶνα, ὦ φιλτάτη, φοβοῦμαι. θεός ἐστι φιλοπάρθενος, καὶ δέδοικα, μὴ δευτέρα καὶ σὺ σύριγξ γένῃ. ἀλλ᾽ ἐκείνη μὲν ἔφυγεν διώκοντα αὐτὸν ἐν πεδίῳ, καὶ ἐδιώκετο ἐν πλάτει· σὲ δὲ καὶ εἴσω θυρῶν ἀπεκλείσαμεν ὡς ἐν πολιορκίᾳ, ἵνα, κἂν διώκῃ, μὴ δύνῃ φυγεῖν. ἀλλ᾽, ὦ δέσποτα Πὰν, εὐγνωμονήσειας, καὶ μὴ παραβαίνῃς τὸν νόμον τοῦ τόπου. ἡμεῖς γὰρ αὐτὸν τετηρήκαμεν. ἐξίτω πάλιν ἡμῖν ἡ Λευκίππη παρθένος· ταύτας πρὸς τὴν Ἄρτεμιν συνθήκας ἔχεις· μὴ ψεύσῃ τὴν παρθένον.

ιδ΄. Ταῦτα μοῦ πρὸς ἐμαυτὸν λαλοῦντος, μέλος ἐξηκούετο μουσικὸν, καὶ ἐλέγετο μηδὲ πώποτε λιγυ-

tenuiſſimis filis intextam, zonaque ſuccinctam ſtolam induta, & purpureis vittis redimita, nudis pedibus perquam decenter ſpeluncam ingreſſa eſt. Quae dum ipſe ſpectarem, tremore correptus ſum; mecumque ſolus: Mihi quidem certe, inquam, dubium non eſt, quin virgo adhuc ſit Leucippe: ſed tamen, cum mente agito, quid ſit Deus iſte, timere cogor, ne videlicet fiſtula etiam tu illic fias. Illa quidem Panem per aperta loca inſequentem facile effugit: nos vero te, quaſi obſidem, haſce intra valvas incluſimus, ut ne, ſi ſequatur, fugiendi tibi ſit poteſtas. Verum tu, o here Pan, propitius nobis ſis, neque loci leges, quas nos quoque obſervavimus, tranſgrediaris: quin immo intactam nobis Leucippen reddas: eiuſmodi enim cum Diana tibi foedera iſta ſunt: neque virginem fallas.

XIV. Haec dum mecum loquerer, ſuavior exaudiri ſonus coeptus eſt. Ac fuerunt, qui dicerent, ſuaviorem nun-

ρότερον οὕτως ἀκουσθῆναι· καὶ εὐθὺς ἀνεῳγμένας εἴδομεν τὰς θύρας. ὡς δὲ ἐξέθορεν ἡ Λευκίππη, πᾶς μὲν ὁ δῆμος ἐξεβόησεν ὑφ' ἡδονῆς, καὶ τὸν Θέρσανδρον ἐλοιδόρουν· ἐγὼ δὲ ὅστις ἐγεγόνειν, οὐκ ἂν εἴποιμι λόγῳ. Μίαν μὲν ταύτην νίκην καλλίστην νενικηκότες, ἀπῄειμεν· ἐπὶ δὲ τὴν δευτέραν κρίσιν ἐχωροῦμεν, τὴν Στύγα. καὶ ὁ δῆμος οὕτως μετεσκευάζετο καὶ πρὸς ταύτην τὴν θέαν, καὶ πάντα συνεπεραίνετο. κἀκεῖ ἡ Μελίττη τὸ γραμματεῖον περιέκειτο. ἡ πηγὴ δὲ ἑστήκεν ὀλίγη. ἀνέβη δὲ εἰς αὐτὴν, καὶ ἔστη φαιδρῷ τῷ προσώπῳ. τὸ δὲ ὕδωρ οἷον ἦν, κατὰ χώραν ἔμενεν, μήτε τὸ βραχύτατον ἀναθορὸν τοῦ συνήθους μέτρου. ἐπεὶ δὲ καὶ χρόνος, ὃν ἐνδιατρίβειν τῇ πηγῇ διώριστο, παρεληλύθει, τὴν μὲν ὁ πρόεδρος δεξιωσάμενος, ἐκ τοῦ ὕδατος ἐξάγει, δύο παλαίσματα τοῦ Θερσάνδρου νενικημένου. μέλλων δὲ καὶ τὸ τρίτον ἡττᾶσθαι, ὑπεκδὺς εἰς τὴν οἰ-

quam auditum fuiſſe. Antri quoque valvae ſponte ſua ſtatim patuerunt. Ita Leucippe prodiit: multitudoque univerſa prae voluptate acclamare, ac Therſandrum conviciis conſectari coepit. Ego vero, quantum laetitiae animo conceperim, nulla unquam oratione ſatis explicare poſſem. Hac una, & ea quidem praeclariſſima, victoria nobis parta, inde digreſſi ad Stygis fontem pervenimus, ut conditionis alterius periculum faceremus. Populus ad videndum iam ſe comparaverat, reliquaque omnia in promtu erant. Itaque tabellam collo Melite alligavit, intrepidoque vultu in fontem deſcendit. Unda, ut erat, humilis remanſit, nec tantulum quidem conſuetum exceſſit modum. Quamobrem, ubi tempus manendi in fonte praeteriit, praeſes mulierem dextra prehenſam ex aqua eduxit, duobus iam certaminibus devicto Therſandro. Qui cum tertio quoque ſe victum iri animadverteret, curſu do-

κίαν ἐκδιδράσκει, φοβηθεὶς μὴ καὶ καταλεύσειεν αὐτὸν ὁ δῆμος. τὸν γὰρ Σωσθένην εἷλκον ἄγοντες νεανίσκοι τέτταρες· δύο μὲν τῆς Μελίττης συγγενεῖς, δύο δὲ οἰκέται. τούτους γὰρ ἐπεπόμφει ζητήσοντας αὐτὸν ἡ Μελίττη. συνεὶς δὲ ὁ Θέρσανδρος πόῤῥωθεν, καὶ καταμηνύσειν τὸ πρᾶγμα εἰδὼς, ἂν ἐν βασάνοις γένηται, φθάσας ἀποδιδράσκει, καὶ νυκτὸς ἐπελθούσης, τῆς πόλεως ὑπεξέρχεται. τὸν δὲ Σωσθένην εἰς τὴν εἱρκτὴν ἐκέλευσαν οἱ ἄρχοντες ἐμβληθῆναι, τοῦ Θερσάνδρου φυγόντος. τότε μὲν οὖν ἀπηλαττόμεθα, κατὰ κράτος ἤδη γενόμενοι, καὶ ὑπὸ πάντων εὐφημούμενοι.

ιέ. Τῇ δ' ὑστεραίᾳ τὸν Σωσθένην ἦγον ἐπὶ τοὺς ἄρχοντας οἱ ταύτην ἔχοντες τὴν πίστην. ὁ δὲ ἐπὶ βασάνους ἑαυτὸν ἀγόμενον ἰδὼν, πάντα σαφῶς λέγει, ὅσα αὐτὸς ὑπηρέτησεν. οὐ παρέλιπε δὲ οὐδὲ ὅσα ἰδίᾳ πρὸ τῶν τῆς Λευκίππης θυρῶν διελέχθησαν πρὸς ἀλλήλους περὶ αὐτῆς. καὶ ὁ μὲν αὖθις εἰς τὴν εἱρκτὴν ἐβέ-

mum ſe recepit, veritus, ne a populo lapidibus obrueretur. Nam cum iam Soſthenem adducerent adoleſcentes duo Melites cognati, duo item famuli ad illum quaerendum ab ea miſſi, atque id Therſander procul agnoviſſet, factum indicatum iri videns, ſi de Soſthene quaeſtio haberetur, arrepta fuga urbe noctu exceſſit. Interea Soſthenem in cuſtodiam dari Archontes iuſſerunt, Therſandro per fugam elapſo. Nos modis omnibus excuſſi magna cum omnium commendatione abſoluti fuimus.

XV. Poſtridie Soſthenes ab iis, qui ei rei praeerant, ad Archontes ductus, ſimulatque parata ſibi eſſe tormenta intellexit, continuo & quae Therſander aggreſſus fuerat, & quae ipſe illi ſuggeſſiſſet, una etiam cum iis omnibus, quae ante Leucippes oſtium privatim de illa ſecum ambo diſſeruerant, palam confeſſus eſt: ideoque poenas datu-

βλητο, δώσων δίκην· τοῦ δὲ Θερσάνδρου φυγὴν ἀπόντος κατέγνωσαν· ἡμᾶς δὲ ὁ ἱερεὺς ὑπεδέχετο πάλιν τὸν εἰθισμένον τρόπον. καὶ μεταξὺ δειπνοῦντες ἐμυθολογοῦμεν ἅτε τὴν προτέραν ἐτύχομεν εἰπόντες, καὶ εἴ τι ἐπιδεέστερον ἦν ὧν ἐπάθομεν. ἡ Λευκίππη δὲ ἅτε δὴ μᾶλλον τὸν πατέρα μηκέτι αἰδουμένη, ὡς ἂν σαφῶς παρθένος εὑρεθεῖσα, τὰ συμβάντα μετὰ ἡδονῆς διηγεῖτο. ἐπεὶ δὲ κατὰ τὴν Φάρον ἐγεγόνει, καὶ τοὺς λῃστὰς, λέγω πρὸς αὐτήν· Οὐκ ἐρεῖς ἡμῖν τὸν μῦθον τῶν τῆς Φάρου λῃστῶν, καὶ τῆς ἀποτμηθείσης ἐκεῖ τὸ αἴνιγμα κεφαλῆς, ἵνα σου καὶ ὁ πατὴρ ἀκούσῃ; τοῦτο γὰρ μόνον ἐνδέει πρὸς ἀκρόασιν τοῦ παντὸς δράματος.

ιστ΄. Γυναῖκα, ἔφη, κακοδαίμονα ἐξαπατήσαντες οἱ λῃσταὶ τῶν ἐπὶ μισθῷ πωλουσῶν τὰ Ἀφροδίτης, ὡς δὴ ναυκλήρῳ τινὶ γυναῖκα ἐπισυνεσομένην ἐπὶ τοῦ σκάφους, ταύτην εἶχον ἐπὶ τῆς νεὼς, ἀγνοοῦσαν τὴν

rus in carcerem denuo conieſtus. Therſander autem, iam enim abſens erat, exſilio mulctatus fuit. Nos ab antiſtite, ut antea quoque, accepti, quae priore in coena dicenda ſuperfuerant, & praeſertim, ſi quid aerumnarum noſtrarum praetermiſeramus, recenſere perreximus. Leucippe quoque patrem non amplius verita, utpote quae vere virgo inventa fuiſſet, caſus non ſine voluptate ſuos commemorabat. Cui ego, poſteaquam ad Pharum & piratas ventum eſt: Quin tu igitur, inquam, Phariorum praedonum commentum, abſciſſique illic capitis aenigma nobis explicas, ut id etiam patri tuo innoteſcat? hoc unum enim ad rem omnem intelligendam deſideratur.

XVI. Tum illa: Mulierem, inquit, miſeram ex iis, quae pretio proſtant, cum allexiſſent, nautarum uni eam in uxorem daturos ſe eſſe pollicentes, in navi poſuerunt;

ἀλήθειαν ἐφ' ὃ παρῆν, ὑποπίνουσαν δὲ ἡσυχῇ σύν τινι τῶν πειρατῶν. λόγῳ δ' ἦν ἐραστὴς ὁ λῃστής. ἐπεὶ δὲ ἁρπάσαντές με, ὡς εἶδες, ἐνέθηκαν τῷ σκάφει, καὶ πτερώσαντες αὐτὸ ταῖς κώπαις ἔφυγον· ὁρῶντες τὴν διώκουσαν ναῦν φθάνουσαν, περιελόντες τόν τε κόσμον καὶ τὴν ἐσθῆτα τῆς ταλαιπώρου γυναικὸς ἐμοὶ περιτιθέασιν, τοὺς δὲ ἐμοὺς χιτωνίσκους ἐκείνῃ· καὶ στήσαντες αὐτὴν ἐπὶ τῆς πρύμνης ὅθεν διώκοντες ὄψεσθε, τὴν κεφαλὴν ἀποτέμνουσιν αὐτῆς, καὶ τὸ μὲν σῶμα ἔρριψαν, ὡς εἶδες, κατὰ τῆς θαλάσσης, τὴν δὲ κεφαλὴν, ὡς ἔπεσεν, εἶχον ἐπὶ τῆς νεὼς τότε. μικρὸν γὰρ ὕστερον καὶ ταύτην ἀποσκευάσαντες ἔρριψαν ὁμοίως· ὥστε μηκέτι τοὺς διώκοντας εἶχον. οὐκ οἶδα δὲ πότερον τούτου χάριν προπαρασκευάσαντες τὴν γυναῖκα, ἢ διεγνωκότες ἀνδραποδίσαντες πωλῆσαι, ὥσπερ ὕστερον πεπράκασι κἀμέ. τῷ δὲ διώκεσθαι πρὸς ἀπάτην τῶν διωκόντων ἀντ' ἐμοῦ σφάττουσιν, νομίζοντες,

quamobrem quidem adeſſet, vere neſcientem, ſed piratarum uni, qui eius amator eſſe ferebatur, occulte adiunctam. Poſtea vero, cum me rapuiſſent, remiſque ac velis fugae incumbentes navem inſequentem viderent, detracto miſerae illi veſtitu omni, eo me adornaverunt, meoque deinceps ornatu indutam illam ſumma in puppi collocarunt ita, ut a perſequentibus cerni poſſet; ac capite privarunt: cadavereque, ut vidiſti, in mare proiecto, caput aliquantiſper intra navim, uti ceciderat, tum retinuerunt: quod non ita multo poſt, cum iam, qui ſe ſequerentur, nullos amplius haberent, pariter eſt deiectum. Mihi vero incertum eſt, eane de cauſa, an potius, ut, quod de me poſtea factum eſt, venundaretur, mulierculam illam comparaſſent. Illud certe conſtat, eam mei loco, ut inſequentes eluderent, iugulatam, exiſtimantibus illis, maius ex

πλέον ἐμπολήσειν ἐκ τῆς ἐμοῦ πράσεως ἢ τῆς ἐκείνης. διὰ τοῦτο γὰρ καὶ τὸν Χαιρέαν τὴν ἀξίαν δόντα δίκην ἐπεῖδον. αὐτὸς γὰρ ἦν ὁ συμβουλεύσας ἀντ' ἐμοῦ τὴν ἄνθρωπον ἀποκτείναντας ῥίψαι. ὁ δὲ λοιπὸς τῶν λῃστῶν ὄχλος οὐκ ἔφασάν με αὐτῷ ἀφήσειν μόνῳ. φθάνειν γὰρ ἤδη λαβόντα σῶμα ἕτερον ὃ πραθὲν ἂν παρέσχεν αὐτοῖς ἀφορμὴν κέρδους· δεῖν δὲ ἀντὶ τῆς θανούσης ἐμὲ πραθεῖσαν κοινὴν ἅπασιν αὐτοῖς γενέσθαι μᾶλλον ἢ ἐκείνῳ μόνῳ. ὡς δὲ ἀντέλεγε, δικαιολογούμενος δῆθεν, καὶ τὰς συνθήκας προσφέρων, ὡς οὐκ εἰς πρᾶσιν ἁρπάσειεν αὐτοῖς, ἀλλ' ἐρωμένην αὐτῷ, καί τι θρασύτερον εἶπε· τὶς τῶν λῃστῶν, καλῶς ποιῶν, ὄπισθεν ἑστὼς, ἀποκόπτει τὴν κεφαλὴν αὐτοῦ. ὁ μὲν οὖν δίκην οὐ μεμπτὴν δοὺς τῆς ἁρπαγῆς, ἔῤῥιπτο καὶ αὐτὸς κατὰ τῆς θαλάσσης· οἱ δὲ λῃσταὶ, δύο πλεύσαντες ἡμερῶν, ἄγουσί με οὐκ οἶδ' ὅπου γε, καὶ

mei, quam illius venditione, lucrum ſe facturos. Atque hinc etiam factum eſt, ut Chaeream, qui eius necandae abiiciendaeque ſuaſor & auctor fuerat, meritas dantem poenas viderim. Nam cum reliqua piratarum multitudo ei me ſoli dimittere negaret, propterea quod paulo antea mulierem aliam, quae vendita magno eis lucro futura erat, habuiſſet, meque mortuae loco vendi, ac pecuniam in commune conferri oportere diceret; ille autem cauſam ſuam defendendo repugnaret, pactumque ſe cum iis eſſe affirmaret, ut non publicae omnium utilitatis, ſed privatae ſui ipſius gratia me raperent; aliis etiam gravioribus additis, confidenter admodum aſſeveraret: eorum unus, qui forte poſt eum conſtiterat, merito quidem caput illi abſcidit, atque ita non iniuſtas rapinae ipſe quoque poenas luens, in mare deiectus fuit. Piratae biduo poſt, neſcio quo delati, mercatori cuidam, familiari

πιπράσκουσιν ἐμπόρῳ συνήθει, κἀκεῖνος Σωσθένει.

ιζ´. Λέγει δὴ καὶ ὁ Σώστρατος· Ἐπεὶ τοίνυν τοὺς ὑμετέρους μύθους, ὦ παιδία, κατελέξατε, φέρε ἀκούσατε, ἔφη, καὶ παρ' ἐμοῦ τὰ οἴκοι πραχθέντα περὶ Καλλιγόνην τὴν σὴν, ὦ Κλειτοφῶν, ἀδελφὴν, ἵνα μὴ ἀσυμβολήσω μυθολογίας παντάπασι. Κἀγὼ ἀκούσας τὸ τῆς ἀδελφῆς ὄνομα, πάνυ τὴν γνώμην ἐπεστράφην, καί· Ἄγε, πάτερ, εἶπον, λέγε, μόνον περὶ ζώσης ἂν λέγοις. Ἄρχεται δὴ λέγειν, ἃ φθάνω προειρηκὼς ἅπαντα, τὸν Καλλισθένην, τὸν χρησμὸν, τὴν θεωρίαν, τὸν λέμβον, τὴν ἁρπαγήν. εἶτα προσέθηκεν, ὅτι μαθὼν κατὰ τὸν πλοῦν ὡς οὐκ ἦν θυγάτηρ ἐμὴ, διημαρτήθη τὸ πᾶν ἔργον αὐτῷ. ἤρα δὲ ὅμως καὶ σφόδρα τῆς Καλλιγόνης. προσπεσὼν αὐτῆς τοῖς γόνασι· Δέσποινα, εἶπε, μή με νομίσῃς λῃστὴν εἶναί τινα καὶ κακοῦργον. ἀλλὰ γάρ εἰμι τῶν εὖ γεγονότων, γένει

ſuo, mercator Soſtheni accepta pecunia me conceſſit.

XVII. Tum Soſtratus: Poſteaquam veſtros, inquit, filii, caſus commemoraſtis, agitedum, quae de Calligone, Clitophontis ſorore, domi acta ſint, ex me quoque audite; ne ſolus ipſe narrandi omnino immunis abeam. Ego vero, ſororis nomine audito, attentior factus: Ut lubet, inquam, pater, ſiquidem de vivente dicturus es. Tum ille, quae antea ipſe narravi, omnia recenſuit, Calliſthenem ſcilicet, oraculum, ſacrificium, naviculam, raptum: illud etiam addens, Calliſthenem cum inter navigandum reſciviſſet, Calligonen filiam ſuam non eſſe, tametſi rem contra, quam putarat, eveniſſe cognoviſſet, nunquam tamen amare illam deſtitiſſe, ſed ad genua eius proſtratum, huiuſmodi fere locutum eſſe: Ne me, o hera, praedonem, flagitioſumve aliquem eſſe putes, qui nobili loco natus,

Βυζάντιος, δεύτερος οὐδενός. ἔρως δέ με λῃστείας ὑποκριτὴν πεποίηκε, καὶ ταύτας ἐπί σοι πλέξαι τὰς τέχνας. δοῦλον οὖν με σεαυτῆς ἀπὸ ταύτης τῆς ἡμέρας νόμιζε. καί σοι προῖκα ἐπιδίδωμι, τὸ μὲν πρῶτον ἐμαυτὸν, ἔπειτα ὅσην οὐχ ὁ πατὴρ ἔδωκέ σοι. τηρήσω δέ σε παρθένον μέχρι περ ἄν σοι δοκῇ. καὶ ταῦτα εἰπὼν, καὶ ἔτι τούτων ἐπαγογώτερα, τὴν κόρην αὐτοῦ γενέσθαι παρεσκεύασεν. Ἦν δε καὶ ὀφθῆναι καλὸς, καὶ στωμύλος καὶ πιθανώτατος, καὶ ἐπειδὴ ἧκεν εἰς τὸ Βυζάντιον, συμβόλαιον ποιησάμενος προικὸς μεγίστης, καὶ τὰ ἄλλα πολυτελῶς παρασκευάσας, ἐσθῆτά τε, καὶ χρυσὸν, καὶ ὅσα εἰς κόσμον γυναικῶν εὐδαιμόνων περιεῖπεν· [1] εὖ καὶ καλῶς ἄχραντον τηρῶν, ὡς ἐπηγγείλατο· ὥστε καὶ αὐτὴν ἠρήκει τὴν κόρην ἤδη. ὁ δε καὶ τὰ

Byzantiorum nemini genere cedam. Has insidias tibi me latronum more parare amor coepit. Verum tuum me posthac mancipium puta: tibi enim memet inprimis, deinde fortunas, quantas nunquam tibi pater dedisset, volens lubensque trado: quin etiam a virginitate tua violanda, quamdiu voles, abstinebo. His ille, atque aliis etiam, ad persuadendum aptioribus, erat enim cum adspectu decorus, tum in dicendo & argutus & ad persuadendum aptissimus, puellam suam in sententiam pertraxit. Ac posteaquam Byzantium reversus est, dote ingenti pacta, multisque aliis, veste scilicet, auro, ceterisque rebus ad beatarum mulierum ornatum spectantibus magnifice praeparatis, puellam sane quam splendidissime adornavit, qualemque illam rapuit, virginem, uti antea promiserat, manere passus est. Sic igitur iam ipsi virgini coeperat place-

1 Καὶ ὅσα εἰς κόσμον γυναικῶν εὐδαιμόνων περιεῖπεν) Ita prius editi. Sed melius legas cum hac distinctione: καὶ ὅσα εἰς κόσμον γυναικῶν εὐδαιμόνων, περιεῖπεν εὖ καὶ καλῶς, ἄχραντον τηρῶν. Fovebat ipsam & custodiebat. Περιέπειν, θεραπεύειν, φυλάττειν.

ἀλλὰ πάντα παρεῖχεν ἑαυτὸν κοσμιώτατον, καὶ ἐπιεικῆ, καὶ σώφρονα, καὶ ἦν τις ἐξαίφνης περὶ τὸν νεανίσκον θαυμαστὴ μεταβολή. ἕδρας τε γὰρ ἐξανίστατο τοῖς πρεσβυτέροις, καὶ ἐπεμελεῖτο φθάνων προσαγορεύειν τοὺς ἐντυγχάνοντας, καὶ τὸ τέως ἄκριτον πολυτελὲς ἐκ τῆς πρὶν ἀσωτίας εἰς τὸ εὔβουλον μεταπίπτον, τὸ μεγαλόφρον ἐφύλαττε πρὸς τοὺς ἐν χρείᾳ τοῦ λαβεῖν διὰ πενίαν ὄντας. ὥστε θαυμάζειν ἅπαντας τὸ αἰφνίδιον οὕτως ἐκ τοῦ χείρονος εἰς τὸ πάνυ χρηστὸν μετελθόν. ἐμὲ δ' οὖν ἠρήκει πάντων μᾶλλον, καὶ ὑπερηγάπων αὐτὸν, καὶ τὴν πρὶν ἀσωτίαν φύσεως ἐνόμιζον εἶναι θαυμαστὴν μεγαλουργίαν, ἀλλ' οὐκ ἀκρασίαν. κἀμὲ οὖν ὑπεισῄει τὸ τοῦ Θεμιστοκλέους, ὅτι κἀκεῖνος τὴν πρώτην ἡλικίαν σφόδρα δόξας ἀκόλαστος εἶναι, πάντας ὑπερέβαλεν Ἀθηναίους ὕστερον σοφίᾳ τε, καὶ ἀνδραγαθίᾳ. καὶ δὴ μετενόουν ἀποσκορα-

re. Ipſe vero pleriſque in rebus tractandis elegantem, moderatumque ac manſuetum ſe praeſtitit: adoleſcentiſque nova quaedam mutatio repente facta eſt. Nam & ſenioribus aſſurgebat, & obviis quibuſque ſalutem prius reddere ſtudebat, quam accepiſſet: cumque antea immodice ſui profuſus eſſet, priore luxuria in prudentiam mutata, liberalitate deinceps erga eos, qui egerent, uti coepit; ut mirarentur omnes, tam ſubito ex tam pravo tam frugi evaſiſſe. Me vero prae ceteris obſervabat: ipſeque contra, illum deamabam, & priorem luxum admirabilem quandam naturae largitatem potius, quam intemperantiam, fuiſſe animadverti. Ac mihi tum venit in mentem illud, quod de Themiſtocle olim dictitatum fuit: qui cum in adoleſcentia perquam diſſolutus eſſet, omnes tamen deinceps Athenienſes prudentia & fortitudine ſuperavit. Me itaque

κίσας αὐτὸν, ὅτε μοι περὶ τοῦ τῆς θυγατρὸς διελέχθη γάμου. καὶ γάρ ἐμὲ σφόδρα ἐθεράπευε, καὶ ἐκάλει πατέρα, καὶ κατὰ τὴν ἀγορὰν ἐδορυφόρει, καὶ τῶν εἰς πόλεμον γυμνασίων οὐκ ἠμέλει. ἀλλὰ καὶ πάνυ ἐῤῥωμένως ἐν ταῖς ἱππασίαις διέπρεπεν. ἦν μὲν οὖν καὶ παρὰ τὸν τῆς ἀσωτίας χρόνον τούτοις χαίρων, καὶ χρώμενος, ἀλλ᾽ ὡς ἐν τρυφῇ καὶ παιδείᾳ. τὸ δὲ ἀνδρεῖον ὅμως αὐτῷ καὶ τὸ ἔμπειρον λεληθότως ἐτρέφετο. τέλεον δὲ ἦν αὐτῷ τὸ ἔργον πρὸς τὸ καρτερῶς καὶ ποικίλως διαπρέπειν ἐν τοῖς πολεμικοῖς. ἐπεδίδου δὲ καὶ χρήματα ἱκανὰ τῇ πόλει. κἀκεῖνον ἅμα ἐμοὶ στρατηγὸν προεβάλλοντο. ὅθεν ἔτι μᾶλλον ὑπερησπάζετό με, ὑπήκοόν μοι κατὰ πάντα παρέχων ἑαυτόν.

ιη΄. Ἐπεὶ δὲ ἐνικήσαμεν τὸν πόλεμον, ἐπιφανείᾳ τῶν θεῶν, ὑποστρέψαντες εἰς τὸ Βυζάντιον, εὐφημοῦντες τὸν Ἡρακλέα, καὶ τὴν Ἄρτεμιν, καὶ ἐχειροτονή-

poenitebat, hominem, cum filiam dari ſibi peteret, repudiaſſe: nam & maximum mihi honorem tribuebat, & patrem appellabat, armatuſque per forum comitabatur. Sed nec a bellicis ſtudiis animus eius abhorrebat: quippe in equeſtribus certaminibus perquam ſtrenue ſe gerebat, quo utpote prima illa etiam intemperanti aetate equis, quanquam temere, & ad luxum paratis, gauderet. Ceterum, cum virili eius robore aucto ſenſim rerum quoque uſu, praecipuum in eo ſtudium fuit, bellicas res fortiter multifariamque tractare. Multo quin etiam aere ſuo privato rempublicam iuvit, mecumque una militum ductor creatus eſt: unde maiorem quoque mihi honorem habuit, obſequentem ſeſe in omnibus praeſtans.

XVIII. Poſtea vero quam de hoſtibus, Diis ipſis nobis coram adſtantibus, victoriam reportavimus, Byzantium reverſi, ego huc Dianae, ille Tyrum Herculi, ad gratias

θημεν [1], ἐγὼ μὲν ἐνταῦθα τῇ Ἀρτέμιδι, ὁ δὲ εἰς Τύρον Ἡρακλεῖ λαβόμενός μου τῆς δεξιᾶς ὁ Καλλισθένης, διηγεῖται πρῶτον τὰ πεπραγμένα αὐτῷ περὶ τὴν Καλλιγόνην· Ἀλλὰ ἅπερ ἐποιησάμην, πάτερ, εἶπε, τὰ μὲν νεότητός, φησι [2], πέπρακται βίᾳ, τὰ δὲ μετὰ ταῦτα προαιρέσει. παρθένον γὰρ τὴν κόρην μέχρι τούτου τετήρηκα, καὶ ταῦτα πολέμοις ὁμιλῶν, ἐν οἷς οὐδεὶς ἀναβάλλεται τὰς ἡδονάς. νῦν οὖν εἰς τὴν Τύρον αὐτὴν ἀπαγαγεῖν ἔγνωκα πρὸς τὸν πατέρα, καὶ νόμῳ παρ' ἐκείνου λαβεῖν τὸν γάμον. ἂν μὲν οὖν ἐθελήσῃ μοι δοῦναι τὴν κόρην, ἀγαθῇ τύχῃ δέξομαι· ἂν δὲ σκαιὸς γένηται καὶ δύσκολος, παρθένον αὐτὴν ἀπολήψεται. ἐγὼ γὰρ προῖκα ἐπιδιδοὺς οὐκ εὐκαταφρόνητον, ἀγαπητῶς ἂν λάβοιμι τὸν γάμον. ἀναγνώ-

referendas miſſi ſumus. Sed prius tamen dextera prehendens me Calliſthenes, quae Calligones cauſa facta fuisſent, commemoravit: Eorum, inquiens, pater, quae antea fecimus, iuventus natura audacior cauſa fuit: quae vero poſt, iudicio adhibito commiſſa fuerunt. Virginem enim puellam hactenus ſervavi, belli praeſertim tempore, quo nemo ſibi oblatas perfruendarum voluptatum occaſiones abire pati vult. Nunc eam Tyrum ad patrem ducere, & ab eo, ſicuti leges iubent, in uxorem accipere, omnino conſtitui. Quod ſi impetravero, id optime: ſin autem difficilis ille atque moroſus ſpondere negaverit, virginem etiam filiam ſuam ſibi habeat: quam tamen ego hercule non contemnenda dote confecta uxorem lubens

1 Καὶ ἐχειροτονήθημεν) Dele καὶ, & lege: ἐπεὶ δὲ ἐνικήσαμεν - - Ἄρτεμιν, ἐχειροτονήθημεν, ἐγὼ μὲν ἐνταῦθα Ἀρτέμιδι κ. τ. λ.

2 Φησι) Abundat; praeceſſerat enim εἶπε. Legendum autem φύσει, ac locus ita diſtinguendus: Τὰ μὲν νεότητος φύσει πέπρακται βίᾳ, τὰ δὲ μετὰ ταῦτα προαιρέσει.

σομαι δέ σοι καὶ τὸ συμβόλαιον ὃ φθάνω πρὸ τοῦ πολέμου γράψας, δεόμενος συνοικῆσαι τῷ Καλλισθένει τὴν κόρην, τό, τε γένος αὐτοῦ καταλέγων, καὶ τὸ ἀξίωμα καὶ τὰς ἐν τοῖς πολέμοις ἀριστείας. τοῦτο γάρ ἐστιν ἡμῖν τὸ συγκείμενον. ἐγὼ δὲ, ἣν τὴν ἔφεσιν ἀγωνισώμεθα, διέγνωκα πρῶτον μὲν εἰς τὸ Βυζάντιον διαπλεῦσαι, μετὰ ταῦτα δὲ εἰς τὴν Τύρον. Καὶ ταῦτα διαμυθολογήσαντες ἐκοιμήθημεν τὸν αὐτὸν τρόπον.

ιθ΄. Τῇ δ' ὑστεραίᾳ παραγενόμενος ὁ Κλεινίας ἔφη Θέρσανδρον διὰ τῆς νυκτὸς ἀποδεδρακέναι. τὴν γὰρ ἔφεσιν οὐχ ὡς ἀγωνισόμενον πεποιῆσθαι· βουλόμενον δὲ μετὰ προφάσεως ἐπισχεθῆναι τὸν ἔλεγχον ὧν ἐτόλμησε. μείναντες οὖν τῶν ἑξῆς τριῶν ἡμερῶν, ὅσων ἦν ἡ προθεσμία, προσελθόντες τῷ προέδρῳ, καὶ τοὺς νόμους ἀναγνόντες, καθ' οὓς οὐδεὶς ἔτι τῷ Θερσάνδρῳ

duxerim. Tabellas vero etiam, quas, antequam ad bellum exirem, puellam Callistheni nubere optans, conscripseram, tibi recitabo: in iis enim genus illius, dignitatem, rei militaris usum recensui. Quae autem inter nos pacti eramus, haec sunt. Mihi vero, si etiam post Thersandri provocationem secundum nos iudicatum fuerit, Byzantium primum, deinde Tyrum, navigare in animo est. Hic cum ille dicendi finem fecisset, cubitum se quisque nostrûm, ubi pridie quoque somnum ceperat, contulit.

XIX. Postridie reversus ad nos Clinia, Thersandrum noctu solum vertisse, ab eoque, non quod se quidquam assecuturum speraret, provocatum fuisse; sed id causae sumtum, ut, indicio eorum, quae ausus fuerat, faciendo moram proiiceret, narravit. Nos triduum adhuc morati, (ad tantum enim temporis vadimonium durabat) Praesidem rursum convenimus: recitatisque legibus, ex quibus

λόγος πρὸς ἡμᾶς ἦν, νεὼς ἐπιβάντες καὶ οὐρίῳ χρησάμενοι πνεύματι, κατήραμεν εἰς τὸ Βυζάντιον, κἀκεῖ τοὺς πολυεύκτους ἐπιτελέσαντες γάμους, ἀπεδημήσαμεν εἰς τὴν Τύρον. δύο δὲ ὕστερον ἡμερῶν τοῦ Καλλισθένους ἐλθόντος, εὕρομεν τὸν πατέρα μέλλοντα θύειν τοὺς γάμους τῆς ἀδελφῆς εἰς τὴν ὑστεραίαν. παρῆμεν οὖν ὡς καὶ συνθύσοντες αὐτῷ καὶ εὐξόμενοι τοῖς θεοῖς, τούς τε ἐμοὺς καὶ τοὺς ἐκείνου γάμους σὺν ἀγαθαῖς φυλαχθῆναι τύχαις. καὶ διεγνώκαμεν ἐν τῇ Τύρῳ παραχειμάσαντες διελθεῖν εἰς τὸ Βυζάντιον.

ΤΕΛΟΣ

τῶν περὶ Λευκίππην καὶ Κλειτοφῶντα ἐρωτικῶν πλασμάτων.

nullam Therſandro nos accuſandi cauſam fuiſſe apparebat, navi conſcenſa, leviſſimoque flante vento, Byzantium, ubi peroptatas confecimus nuptias, deinde Tyrum navigavimus. Quo in loco, cum biduo poſt illuc adventaſſet Calliſthenes, patrem ob ſororis nuptias poſtera die ſacra facturum comperimus. Adfuimus itaque, ut una operaremur, Deoſque, ut noſtras omnium nuptias felices fortunataſque eſſe vellent, precaremur, eo conſilio, ut, hieme illic acta, Byzantium rediremus.

FINIS.



3 vols
Collated perfect
B Quaritch
[illegible]

3 vols
X5

[illegible] Heat
3435

